Sal Eccl
Sup D 6-40
Inc 1376
Han - 13452
1263

# ΨΑΛΤΗΡΙΟΝ.

BIBLIOTHECA NACIONAL DE LISBOA

Inc 1376

Ἰοῦστος ὁ Δεκάδυος, τοῖς ἐν Ἑλλάδι γραι-
κοῖς, εὖ πράττειν.

Ἄλλοι μὲν ἄλλα τῶν παρ' Ἕλλησι σοφῶν τε καὶ διδασκάλων συγγράμματα διαφόρους πραγματείας ἐμπεριέχοντα, εἰς κοινὴν τοῖς φιλομαθέσιν ὠφέλειαν ἐν τύποις ἐσπουδάκασιν. ἐγὼ δὲ εὐάρεστα μὲν θεῷ, τοῖς δ' εὐσεβείας ἐρασταῖς κεχαρισμένα πράξειν οἰόμενος, ἐὰν ὧν πολλάκις ἐν χρείᾳ καθίστανται, τούτων αὐτοὺς εὐπορεῖν προνοήσομαι, εἰς πληθυσμὸν ὅση δύναμις τὴν σπάνιν τῶν θείων γραφῶν μετακαλεῖν. διὰ φροντίδος πεποίημαι, συνεργῷ τῶν τοιούτων ἐφευρετῇ τε σοφῷ τε καθηγεμόνι χρησάμενος. ὃς, ἵνα καὶ αὐτοὶ μὴ ἀγνοῆτε τὸν ἄνδρα, τοῖς γὰρ ἐν Ἰταλίᾳ διαβόητος πᾶσι καθέστηκεν, Ἄλδος τοὐπίκλην μανούτιος ἐκ τῆς παλαιᾶς ῥώμης ἕλκων τὸ γένος. ἀνὴρ βίῳ τε καὶ λόγῳ κεκοσμημένος. οὗτος, ἀρετῆς ζήλῳ καὶ τῇ πρὸς τὰ ἡμέτερα κηδεμονίᾳ τε καὶ στοργῇ, τὴν τῶν γραμμάτων τούτων εὐαρμοστίαν καὶ σύνθεσιν, τῇ τοῦ οἰκείου νοὸς ἐφεῦρεν ὀξύτητι. ἐὰν γὰρ βλέπειν τὸν χαρακτῆρα, οὗπερ οὐκ αὖτις τῶν ἐπὶ τὸ καλλιγραφεῖν χειρισόφων, ἐχάραξεν ὡραιότερον. τούτῳ τοιγαροῦν περὶ τούτων κοινολογούμενος, οὐ μόνον ξυναιροῦντα καὶ προσεχόμενον, ἀλλὰ δὴ καὶ αὐτὸν οἴκοθεν ὡρμημένον εὗρον εἰς ταῦτα, καὶ τὴν ἐμὴν ἐπὶ πλέον χρησταῖς ἀγγελίαις ὁρμὴν ἐπιτείνοντα. τὴν γὰρ μωσέως πεντάτευχον, σὺν τῇ τῆς παλαιᾶς διαθήκης πάσῃ λοιπῇ πραγματείᾳ, ἑβραϊστί. ἑλληνιστί. ῥωμαϊστί, οὐκ εἰς μακρὰν ἐκδώσειν ἐπηγγείλατο σὺν θεῷ. ὧν ἀ-

κούσας αὐτὸς μὲν ὥσπερ ἐν ἄνθεσιν ὑφ' ἡδονῆς ἐντρυφήσειν, ἐπεὶ δὲ τὰ ἡμέτερα πεπαλαιωμένα τῷ χρόνῳ καὶ ταῖς τῶν πραγμάτων ἀνωμαλίαις ἤδη τυγχάνοντα, νῦν ὡς ἀετοῦ νεότης ἀνακαινίζεσθαι μέλλουσιν. ἐκεῖνον δὲ τοῦ τε τῶν καλῶν ἔρωτος. καὶ τῆς χρηστῆς προαιρέσεως ἐμακάρισα. οὐ γὰρ χρημάτων ἐπιθυμία. ἀνώτερον γὰρ ἀνελευθερίας ἁπάσης ἴσμεν οἱ πεπειραμένοι τὸν ἄνδρα. θείῳ δὲ μᾶλλον ζήλῳ πρὸς ταῦτα κεκίνηται. τοῦτον τοίνυν συνεργὸν εὑρικὼς πρὸς τὰ κάλλιστα, ἔδοξέ μοι τὴν θεόπνευστον βίβλον τῶν θείων πρῶτον ἐντυπῶσαι ψαλμῶν. τὸν παρίσως ταύτην καὶ ἀξίως τὸν ἐν αὐτῷ συνθέμενον πνεύματος προφήτην ἅμα καὶ βασιλέα. ὥσπερ τινα πρόδρομον καὶ κήρυκα διαπρύσιον τῶν μετ' οὐ πολὺ τυπωθησομένων ἡμῖν θείων προεκπέμψαι γραφῶν. οὐκ εἰς μακρὰν γὰρ καὶ τὸ τριῴδιον ὃ καλεῖν ἡμῖν ἔθος πεντηκοστάριον. μεθ' ὃ τὴν παρακλητικὴν, θεοῦ συναιρομένου τυπώσομεν. ταυτὶ γὰρ εὖ οἶδ' ὅτι ταῖς κατὰ τόπον ἁπάσαις τοῦ θεοῦ ἐκκλησίαις. πολλήν τε καὶ μεγάλην τὴν χρείαν παρέξεται. κατ' ἐξαίρετον δ' ἡ θεία τῶν ψαλμῶν αὕτη βίβλος. περὶ ἧς φησὶν ὁ θεῖος χρυσόστομος. μᾶλλον συμφέρειν τῷ κόσμῳ σβεσθῆναι τὸν ἥλιον. ἢ παρὰ τῇ ἐκκλησίᾳ ταύτην ὁσημέραι μὴ ψάλλεσθαι. ὅδε τις μέγας αὖθις βασιλεύς. κοινὸν ταμιεῖον ἁπάντων καλῶν αὐτὴν ἀποφαίνεται ὡς τὸ ἐκ πάντων περιεχομένην τοῖς μετὰ προσοχῆς μετερχομένοις ὠφέλιμον τό θ' ἑκάστῳ πρόσφορον κατὰ τὴν ἐπιμέλειαν ἐξευρίσκουσαν καθὼς, ἐκεῖνος διέξεισιν, ἐν τοῖς εἰς αὐτὴν πλατύτερον ἐξηγήσεσι

πρόκειται τοίνυν τὸ κοινωφελὲς τοῦτο τοῖς βουλομένοις ψαλτήριον. ὑμεῖς δ᾽ ἀνὰ χεῖρας λαβόντες ὅσοι τὰς ψυχὰς εὐρυθμότεροι, καὶ τὴν ἐξ αὐτοῦ ὠφέλειαν καρπωσάμενοι, τὴν τῶν εὐχῶν χορηγίαν ἀντίδοτε, Ἄλδῳ μὲν τῷ φιλέλληνι, ὡς δεξιότητι φύσεως ἐφευρετῇ τοι τῶν γραμμάτων γεγενημένῳ χαρακτῆρος (ὡς εἴρηται.) ἐμοὶ δ᾽ ὡς οὕτω θερμῶς προθυμησαμένῳ τετυπωθῆναι, καὶ μηδενὸς ἀμελήσαντι, τῶν συντελούντων πρὸς τὴν ὀρθότητα. ὑγιέστατα γὰρ ἐντετύπωται καὶ ὀρθότατα.

ἔρρωσθε.

BIBLIOTHECA NACIONAL DE LISBOA

Ψαλμὸς τῷ Δαβὶδ ἀνεπίγραφος παρ' ἑβραίοις.

## ΔΑΔ ΠΡΟΦΗΤΟΥ ΚΑΙ ΒΑΣΙΛΕΩΣ ΜΕΛΟΣ.

α

ΜΑΚΑΡΙΟΣ ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν· καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη· καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν· Ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ· καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός· Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων· ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ· Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται· καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται· Οὐχ οὕτως οἱ ἀσεβεῖς οὐχ οὕτως· ἀλλ' ἢ ὡσεὶ χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς· Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει· οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων· Ὅτι γινώσκει κύριος ὁδὸν δικαίων· καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται:~



Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέ-
τησαν κενά. Παρέστησαν οἱ βασιλεῖς
τῆς γῆς. καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό.
κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ. Διαρ
ρήξωμεν τοὺς δεσμοὺς αὐτῶν. καὶ ἀπορρίψωμεν
ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ὁ κατοικῶν ἐν οὐρανοῖς
ἐκγελάσεται αὐτούς. καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐ
τούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐ-
τοῦ καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.
γὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ. ἐπὶ
Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ διαγγέλλων τὸ πρό
σταγμα κυρίου. Κύριος εἶπε πρός με υἱός μου εἶ σύ, ἐγὼ
σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ καὶ
δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. καὶ τὴν κα
τάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Ποιμανεῖς
αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. ὡς σκεύη κεραμέ
ως συντρίψεις αὐτούς. Καὶ νῦν βασιλεῖς σύνε
τε. παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν.

Δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ· καὶ ἀγαλλιᾶσθε αὐ-
τῷ ἐν τρόμῳ. Δράξασθε παιδείας μήποτε
ὀργισθῇ κύριος· καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. Ὅταν
ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ μακάριοι
πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτῷ:~

Ψαλμὸς τῷ Δαυΐδ. ὁπότε ἀπεδίδρασκεν ἀπὸ
προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ. γʹ 3

Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με. πολ-
λοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ. πολλοὶ λέγουσι
τῇ ψυχῇ μου οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ. Σὺ
δὲ κύριε ἀντιλήπτωρ μου εἶ δόξα μου καὶ ὑψῶν τὴν κε-
φαλήν μου. Φωνῇ μου πρὸς κύριον ἐκέκραξα. καὶ ἐπή-
κουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Ἐγὼ δὲ ἐκοιμήθην καὶ
ὕπνωσα. ἐξηγέρθην ὅτι κύριος ἀντιλήψεταί μου.
Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύ-
κλω συνεπιτιθεμένων μοι. ἀνάστα κύριε σῶσόν με
ὁ θεός μου. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραί-
νοντάς μοι ματαίως. ὀδόντας ἁμαρτωλῶν συνέ-
τριψας. τοῦ κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

## Εἰς τὸ τέλος ἐν ὕμνοις ψαλμὸς τῷ Δαυΐδ. δ΄ 4

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου ὁ
θεὸς τῆς δικαιοσύνης μου. ἐν θλίψει ἐπλά-
τυνάς με. οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς
προσευχῆς μου. Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρ-
διοι. ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖ-
τε ψεῦδος. Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε κύριος τὸν
ὅσιον αὐτοῦ. κύριος εἰσακούσεταί μου ἐν τῷ κεκρα-
γέναι με πρὸς αὐτόν. Ὀργίζεσθε καὶ μὴ ἁμαρ-
τάνετε. ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐ-
πὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. Θύσα-
τε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ κύριον.
πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά.
Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου
κύριε. ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου
Ἀπὸ καρποῦ σίτου, οἴνου, καὶ ἐλαίου αὐτῶν
ἐπληθύνθησαν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθή-
σομαι καὶ ὑπνώσω. Ὅτι σὺ κύριε κατὰ μό-
νας ἐπ' ἐλπίδι κατῴκισάς με.

## Ὑπὲρ τῆς κληρονομούσης ψαλμὸς τῷ Δαυΐδ. ε. 5.

Ῥήματά μου ἐνώτισαι κύριε. σύνες τῆς
κραυγῆς μου πρόσχες τῇ φωνῇ τῆς δεήσε-
ώς μου. ὁ βασιλεύς μου καὶ ὁ θεός μου. Ὅτι πρὸς
σὲ προσεύξομαι κύριε. τὸ πρωῒ εἰσακούσῃ τῆς φω-
νῆς μου. Τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψει
με. ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν σὺ εἶ. Οὐ
παροικήσει σοι πονηρευόμενος. οὐδὲ διαμε-
νοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν
σου. Ἐμίσησας πάντας τοὺς ἐργαζομένους
τὴν ἀνομίαν. ἀπολεῖς πάντας τοὺς λα-
λοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλι-
ον βδελύσσεται κύριος. ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐ-
λέους σου. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου.
προσκυνήσω πρὸς ναὸν ἅγιόν σου. ἐν φόβῳ
σου. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου. ἕνε-
κα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν
μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλή-

θεια ἡ καρδία αὐτῶν ματαία. Τάφος ἀνεῳγμένος
ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν·
κρῖνον αὐτοὺς ὁ θεός. Ἀποπεσάτωσαν ἀπὸ τῶν δια
βουλιῶν αὐτῶν· κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν
ἔξωσον αὐτούς. ὅτι παρεπίκρανάν σε Κύριε. Καὶ
εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ.
εἰς αἰῶνα ἀγαλλιάσονται καὶ κατασκηνώσεις
ἐν αὐτοῖς. Καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶν
τες τὸ ὄνομά σου ὅτι σὺ εὐλογήσεις δίκαιον Κύριε.
Ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς:~

Εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης ψαλ
(μὸς τῷ Δαδ. ς' 6

Κύριε μὴ τῷ θυμῷ σου
ἐλέγξῃς με μηδὲ τῇ ὀργῇ σου παιδεύ
σῃς με. Ἐλέησόν με Κύριε ὅτι ἀσθενής εἰμι. ἴασαί
με Κύριε ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. Καὶ ἡ ψυχή
μου ἐταράχθη σφόδρα. καὶ σὺ Κύριε ἕως πότε. ἐ
πίστρεψον Κύριε ῥῦσαι τὴν ψυχήν μου. Σῶσόν με
ἕνεκεν τοῦ ἐλέους σου. ὅτι οὐκ ἔστιν ἐν τῷ θανά

τῷ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι. Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου· λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου· ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ὅτι εἰσήκουσε κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. Ἤκουσε κύριος τῆς δεήσεώς μου· κύριος τὴν προσευχήν μου προσεδέξατο. Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου· ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους:~ Δόξα.

Ψαλμὸς τῷ Δαυΐδ· ὃν ᾖσε τῷ κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεῖ. ζ′ 7

Κύριε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου· μὴ ὄντος λυτρουμένου μὴ δὲ σῴζοντος. Κύριε ὁ θεός μου

εἰ ἐποίησα τοῦτο· εἰ ἔστιν ἀδικία ἐν χερσί μου.
Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κα-
κά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κε-
νός. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου
καὶ καταλάβοι· καὶ καταπατήσαι εἰς γῆν
τὴν ζωήν μου· καὶ τὴν δόξαν μου εἰς χοῦν κα-
τασκηνώσαι. Ἀνάστηθι κε̄ ἐν ὀργῇ σου· ὑψώ-
θητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου· Καὶ ἐξεγέρ-
θητι κε̄ ὁ θς̄ μου ἐν προστάγματι ᾧ ἐνετείλω·
καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Καὶ ὑπὲρ
ταύτης εἰς ὕψος ἐπίστρεψον· κς̄ κρινεῖ λαούς.
Κρῖνόν με κε̄ κατὰ τὴν δικαιοσύνην μου· καὶ
κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί. Συντελε-
σθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευ-
θυνεῖς δίκαιον· ἐτάζων καρδίας καὶ νεφροὺς
ὁ θς̄ δικαίως. Ἡ βοήθειά μου παρὰ τοῦ θεοῦ
τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ὁ θς̄
κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος·
καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν.
Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ

στιλβώσ

στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοί-
μασεν αὐτό. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θα-
νάτου. Τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργά-
σατο. Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον καὶ
ἔτεκεν ἀνομίαν. Λάκκον ὤρυξε καὶ ἀνέσκα-
ψεν αὐτόν. καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργά-
σατο. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφα-
λὴν αὐτοῦ. καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία
αὐτοῦ καταβήσεται. Ἐξομολογήσομαι τῷ
κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ. καὶ ψαλῶ
τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

Εἰς τὸ τέλος. ὑπὲρ τῶν ληνῶν. ψαλμὸς τῷ Δαυΐδ. η' 8.

Κύριε ὁ κύριος ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά σου
ἐν πάσῃ τῇ γῇ. Ὅτι ἐπήρθη ἡ μεγαλο-
πρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Ἐκ στόματος νη-
πίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. Ἕνε-
κα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.
Ὅτι ὄψομαι τοὺς οὐρανούς ἔργα τῶν δακτύλων σου. σε-
λήνην καὶ ἀστέρας ἃ σὺ ἐθεμελίωσας. Τί ἐστιν

ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπι-
σκέπτῃ αὐτόν. Ἠλάττωσας αὐτὸν βραχύ τι
παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν·
καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν
σου. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐ-
τοῦ· πρόβατα καὶ βόας ἁπάσας· ἔτι δὲ τὰ
κτήνη τοῦ πεδίου. Τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ
τοὺς ἰχθύας τῆς θαλάσσης· τὰ διαπορευόμενα
τρίβους θαλασσῶν. Κύριε ὁ κύριος ἡμῶν ὡς θαυμα-
στὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Δόξα. κάθισμα.

Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ, ψαλ-
μὸς τῷ Δαβίδ. θʹ

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδί-
ᾳ μου· διηγήσομαι πάντα τὰ θαυμά-
σιά σου. Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι
ἐν σοί· ψαλῶ τῷ ὀνόματί σου ὕψιστε. Ἐν τῷ
ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω· ἀσθε-

νήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου. Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου. ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων τὴν δικαιοσύνην. Ἐπετίμησας ἔθνεσι καὶ ἀπώλετο ὁ ἀσεβής. τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες. Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου. καὶ ὁ κύριος εἰς τὸν αἰῶνα μένει. Ἡτοίμασας ἐν κρίσει τὸν θρόνον αὐτοῦ. καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. κρινεῖ λαοὺς ἐν εὐθύτητι. καὶ ἐγένετο κύριος καταφυγὴ τῷ πένητι. βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψεσι. Καὶ ἐλπισάτωσαν ἐπὶ σοὶ οἱ γινώσκοντες τὸ ὄνομά σου. ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε κύριε. Ψάλατε τῷ κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών. ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ. Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη. οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων. Ἐλέησόν με κύριε ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου.

Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου· ὅπως ἂν ἐ-
ξαγγείλω πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύ-
λαις τῆς θυγατρὸς σιών. Ἀγαλλιασώμεθα ἐπὶ τῷ
σωτηρίῳ σου· ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίη-
σαν. Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη
ὁ πούς αὐτῶν. Γινώσκεται κύριος κρίματα ποιῶν.
ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρ-
τωλός. Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅ-
δην. πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ θεοῦ. Ὅτι
οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός. ἡ ὑπο-
μονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος. Ἀνά-
στηθι κύριε μὴ κραταιούσθω ἄνθρωπος. κριθήτωσαν
ἔθνη ἐνώπιόν σου. Κατάστησον κύριε νομοθέτην
ἐπ' αὐτούς. γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. Ἵνα
τί κύριε ἀφέστηκας μακρόθεν. ὑπερορᾷς ἐν εὐ-
καιρίαις ἐν θλίψεσιν. Ἐν τῷ ὑπερηφανεύε-
σθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός. συλλαμ-
βάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται.
Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμί-
αις τῆς ψυχῆς αὐτοῦ. καὶ ὁ ἀδικῶν ἐνευλογεῖται.

Παρώξυνε

Παρώξυνε τὸν κύριον ὁ ἁμαρτωλός· κατὰ τὸ
πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. Οὐκ ἔ
στιν ὁ θεὸς ἐνώπιον αὐτοῦ· βεβηλοῦνται αἱ ὁδοὶ
αὐτοῦ ἐν παντὶ καιρῷ. Ἀνταναιρεῖται τὰ
κρίματά σου ἀπὸ προσώπου αὐτοῦ· πάντων
τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει. Εἶπε γὰρ
ἐν καρδίᾳ αὐτοῦ οὐ μὴ σαλευθῶ· ἀπὸ γενεᾶς
εἰς γενεὰν ἄνευ κακοῦ. Οὗ ἀρᾶς τὸ στόμα αὐ
τοῦ γέμει καὶ πικρίας καὶ δόλου· ὑπὸ τὴν γλῶσσαν
αὐτοῦ κόπος καὶ πόνος. Ἐγκάθηται ἐνέδρα
μετὰ πλουσίων· ἐν ἀποκρύφοις τοῦ ἀπο
κτεῖναι ἀθῷον. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πέ
νητα ἀποβλέπουσιν· ἐνεδρεύει ἐν ἀποκρύ
φῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ. Ἐνεδρεύει
τοῦ ἁρπάσαι πτωχόν· ἁρπάσαι πτωχὸν ἐν τῷ
ἑλκύσαι αὐτόν. Ἐν τῇ παγίδι αὐτοῦ ταπει
νώσει αὐτόν· κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν
κατακυριεῦσαι τῶν πενήτων. Εἶπε γὰρ ἐν
καρδίᾳ αὐτοῦ ἐπιλέλησται ὁ θεός· ἀπέστρεψε
τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος.

Ἀνάστηθι κύριε ὁ θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπι-
λάθῃ τῶν πενήτων σου εἰς τέλος. Ἕνεκεν τίνος
παρώξυνεν ὁ ἀσεβὴς τὸν θεόν. εἶπε γὰρ ἐν καρδίᾳ
αὐτοῦ, οὐκ ἐκζητήσει. Βλέπεις ὅτι σὺ πόνον καὶ
θυμὸν κατανοεῖς. τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖ-
ράς σου. Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός. ὀρ-
φανῷ σὺ ἦσθα βοηθός. Σύντριψον τὸν βραχίονα
τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ. ζητηθήσεται ἡ ἁμαρτία
αὐτοῦ καὶ οὐ μὴ εὑρεθῇ. Κύριος βασιλεύσει εἰς τὸν αἰ-
ῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἀπολεῖσθε ἔ-
θνη ἐκ τῆς γῆς αὐτοῦ. Τὴν ἐπιθυμίαν τῶν πενή-
των εἰσήκουσας κύριε. τὴν ἑτοιμασίαν τῆς καρδί-
ας αὐτῶν προσέσχε τὸ οὖς σου. Κρῖναι ὀρφα-
νῷ καὶ ταπεινῷ. ἵνα μὴ προσθῇ ἔτι τοῦ με-
γαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ, ι. 10.

Ἐπὶ τῷ κυρίῳ πέποιθα. πῶς ἐρεῖτε τῇ ψυχῇ μου.
μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον.
Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον. ἡτοίμα-

σαν βέλη εἰς φαρέτραν· τοῦ κατατοξεῦσαι ἐν σκοτο
μήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ὅτι ἃ σὺ κατηρτί
σω αὐτοὶ καθεῖλον· ὁ δὲ δίκαιος τί ἐποίησε. Κύριος
ἐν ναῷ ἁγίῳ αὐτοῦ· κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ.
Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέ
πουσι· τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς
τῶν ἀνθρώπων. Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ.
ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ
ψυχήν. Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας.
πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτη
ρίου αὐτῶν. Ὅτι δίκαιος κύριος καὶ δικαιοσύνας
ἠγάπησεν. εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαυΐδ. ια. ii.

Σῶσόν με κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος· ὅτι
ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν
ἀνθρώπων. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλη
σίον αὐτοῦ· χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν
καρδίᾳ ἐλάλησε κακά. Ἐξολοθρεύσαι

κς πάντα τὰ χείλη τὰ δόλια. γλῶσσαν μεγα
λοῤῥήμονα. Τοὺς εἰπόντας τὴν γλῶσσαν ἡ-
μῶν μεγαλυνοῦμεν. τὰ χείλη ἡμῶν παρ᾽ ἡ-
μῖν ἐστι. τίς ἡμῶν κς ἐστιν. Ἕνεκεν τῆς ταλαι
πωρείας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενή-
των, νῦν ἀναστήσομαι λέγει κς. Θήσομαι
ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ. Τὰ λό
για κυ, λόγια ἁγνά. ἀργύριον πεπυρωμένον
δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλα-
σίως. Σὺ κε φυλάξαις ἡμᾶς καὶ διατηρήσαις
ἡμᾶς, ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα.
Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι. κατὰ τὸ ὕ
ψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

## Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαδ. ιβ

Ὡς πότε κε ἐπιλήσῃ μου εἰς τέλος.
Ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου
ἀπ᾽ ἐμοῦ. Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ
μου. ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός:

Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ· ἐ-
πίβλεψον, εἰσάκουσόν μου κύριε ὁ θεός μου· Φώτι-
σον τοὺς ὀφθαλμούς μου μήποτε ὑπνώσω εἰς
θάνατον· μήποτε εἴποι ὁ ἐχθρός μου ἴσχυσα
πρὸς αὐτόν. Οἱ θλίβοντές με ἀγαλλιάσονται
ἐὰν σαλευθῶ· ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα.
Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου·
ᾄσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με· καὶ ψαλῶ τῷ ὀ-
νόματι κυρίου τοῦ ὑψίστου.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ιγ΄. 13.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός.
Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπι-
τηδεύμασιν· οὐκ ἔστι ποιῶν χρηστότητα. Κύριος
ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων· τοῦ
ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν θεόν. Πάντες
ἐξέκλιναν ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν
χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Οὐχὶ γνώσονται
πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ ἐσθίον-

τὰς τὸν λαόν μου ἐν βρώσει ἄρτου. Τὸν κν̄
οὐκ ἐπεκαλέσαντο. ἐκεῖ ἐδειλίασαν φόβον, οὗ
οὐκ ἦν φόβος. Ὅτι κς̄ ἐν γενεᾷ δικαίων. βου
λὴν πτωχοῦ κατῃσχύνατε, ὁ δὲ κς̄ ἐλπὶς αὐ
τοῦ ἐστι. Τίς δώσει ἐκ σιὼν τὸ σωτήριον τοῦ ἰσραήλ.
ἐν τῷ ἐπιστρέψαι κν̄ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ
αὐτοῦ. ἀγαλλιάσεται ἰακὼβ καὶ εὐφρανθή-
σεται ἰσραήλ:~ Δόξα.

## Εἰς τὸ τέλος ψαλμὸς τῷ δα̅δ. ΙΔ' 14

Κῦ, τίς παροικήσει ἐν τῷ σκηνώματί σου
ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου.
Πορευόμενος ἄμωμος. καὶ ἐργαζόμενος δικαιοσύ
νην. Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ. ὃς
οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ. Καὶ οὐκ ἐ-
ποίησε τῷ πλησίον αὐτοῦ κακόν. καὶ ὀνειδισμὸν
οὐκ ἔλαβεν ἐπὶ τοῖς ἔγγιστα αὐτοῦ. Ἐξουδένωται
ἐνώπιον αὐτοῦ πονηρευόμενος. τοὺς δὲ φοβουμέ-
νους τὸν κν̄ δοξάζει. Ὁ ὀμνύων τῷ πλησίον αὐ-

του καὶ οὐκ ἀθετῶν. τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδω-
κεν ἐπὶ τόκῳ. καὶ δῶρα ἐπ᾽ ἀθῴοις οὐκ ἔλαβεν.
Ὁ ποιῶν ταῦτα, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

## Στηλογραφία τῷ Δαβίδ. ιε΄. 15.

Φύλαξόν με κύριε ὅτι ἐπὶ σοὶ ἤλπισα. εἶ-
πα τῷ κυρίῳ, κύριός μου εἶ σύ. ὅτι τῶν ἀγαθῶν μου
οὐ χρείαν ἔχεις. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ
ἐθαυμάστωσεν ὁ κύριος. πάντα τὰ θελήματα
αὐτοῦ ἐν αὐτοῖς. Ἐπληθύνθησαν αἱ ἀσθένειαι
αὐτῶν. μετὰ ταῦτα ἐτάχυναν. Οὐ μὴ συνα-
γάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων. οὐ-
δοῦ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέ-
ων μου. Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ πο-
τηρίου μου. σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομί-
αν μου ἐμοί. Σχοινία ἐπέπεσέ μοι ἐν τοῖς κρα-
τίστοις μου. καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοι
ἐστίν. Εὐλογήσω τὸν κύριον τὸν συνετίσαντά με. ἔ-
τι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.

Προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντός· ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ· Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου· καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι· Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην· οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν· Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου· τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος·

## Προσευχὴ τοῦ Δαυίδ· ιϛ΄· 16.

Εἰσάκουσον κύριε δικαιοσύνης μου· πρόσχες τῇ δεήσει μου· Ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις· Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι· οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας· Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός· ἐπύρωσάς με καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία· Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων· διὰ τοὺς λόγους τῶν χειλέων σου

ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. Κατάρτισαι
τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου· ἵνα μὴ
σαλευθῶσι τὰ διαβήματά μου. Ἐγὼ ἐκέκραξα
ὅτι ἐπήκουσάς μου ὁ θεός· κλῖνον τὸ οὖς σου ἐμοὶ, καὶ
εἰσάκουσον τῶν ῥημάτων μου. Θαυμάστωσον τὰ ἐλέη
σου ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. Ἐκ τῶν ἀνθε-
στηκότων τῇ δεξιᾷ σου. φύλαξόν με κύριε ὡς κό-
ρην ὀφθαλμοῦ. Ἐν σκέπῃ τῶν πτερύγων σου
σκεπάσεις με. ἀπὸ προσώπου ἀσεβῶν τῶν τα-
λαιπωρησάντων με. Οἱ ἐχθροί μου τὴν ψυχήν
μου περιέσχον. τὸ στέαρ αὐτῶν συνέκλεισαν. τὸ
στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν. Ἐκβα-
λόντες με νυνὶ περιεκύκλωσάν με. τοὺς ὀ-
φθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.
Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν.
καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις. Ἀνά-
στηθι κύριε πρόφθασον αὐτοὺς, καὶ ὑποσκέλισον αὐ-
τούς. ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς. ῥομφαίαν
σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου. Κύριε ἀπὸ ὀλίγων
ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν

καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐ-
τῶν. Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ
κατάλοιπα τοῖς νηπίοις αὐτῶν. Ἐγὼ δὲ ἐν
δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου.
Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δό-
ξαν σου. Δόξα. Κάθισμα β΄.

Εἰς τὸ τέλος τῷ παιδὶ κυρίου τῷ Δαβίδ. ἃ ἐλάλη-
σε τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης. ἐν ἡμέ-
ρᾳ ᾗ ἐρρύσατο αὐτὸν ὁ κύριος ἐκ χειρὸς πάντων τῶν
ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαοὺλ καὶ εἶπεν. ιζ΄. 17.

Ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου. κύριος στερέωμά
μου, καὶ καταφυγή μου καὶ ῥύστης μου. Ὁ θεός
μου βοηθός μου καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὑπερασπι-
στής μου καὶ κέρας σωτηρίας μου καὶ ἀντιλήπτωρ μου.
Αἰνῶν ἐπικαλέσομαι τὸν κύριον, καὶ ἐκ τῶν ἐχθρῶν
μου σωθήσομαι. Περιέσχον με ὠδῖνες θανάτου
καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με. Ὠδῖ-
νες ᾅδου περιεκύκλωσάν με. Προέφθα-

σάν με παγίδες θανάτου. Καὶ ἐν τῷ θλίβε-
σθαί με ἐπεκαλεσάμην τὸν κύριον. καὶ πρὸς τὸν θεόν
μου ἐκέκραξα. Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ
φωνῆς μου. καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰ-
σελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. Καὶ ἐσαλεύθη
καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. καὶ τὰ θεμέλια τῶν ὀ-
ρέων ἐταράχθησαν. καὶ ἐσαλεύθησαν ὅτι ὠργί-
σθη αὐτοῖς ὁ θεός. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ.
καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγή-
σεται. ἄνθρακες ἀνήφθησαν ἀπ᾽ αὐτοῦ. Καὶ
ἔκλινεν οὐρανοὺς καὶ κατέβη. καὶ γνόφος ὑπὸ τοὺς
πόδας αὐτοῦ. Καὶ ἐπέβη ἐπὶ χερουβὶμ καὶ
ἐπετάσθη. ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.
Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ. κύ-
κλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ. σκοτεινὸν ὕδωρ
ἐν νεφέλαις ἀέρων. Ἀπὸ τῆς τηλαυγήσε-
ως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον. χά-
λαζα καὶ ἄνθρακες πυρός. Καὶ ἐβρόντησεν
ἐξ οὐρανοῦ ὁ κύριος. καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐ-
τοῦ. Ἐξαπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς.

Καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐ-
τούς. Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ
ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης.
Ἀπὸ ἐπιτιμήσεώς σου κύριε, ἀπὸ ἐμπνεύσεως
πνεύματος ὀργῆς σου. Ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλα-
βέ με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν. Ῥύσε-
ταί με ἐξ ἐχθρῶν μου δυνατῶν, καὶ ἐκ τῶν μισούν-
των με ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ. Προέφθα-
σάν με ἐν ἡμέρᾳ κακώσεώς μου, καὶ ἐγένετο κύριος ἀν-
τιστήριγμά μου. Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν.
ῥύσεταί με, ὅτι ἠθέλησέ με. Καὶ ἀνταποδώ-
σει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ
τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταπο-
δώσει μοι. Ὅτι ἐφύλαξα τὰς ὁδοὺς κυρίου, καὶ
οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου. Ὅτι πάντα τὰ
κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώ-
ματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ. Καὶ ἔσο-
μαι ἄμωμος μετ' αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς
ἀνομίας μου. Καὶ ἀνταποδώσει μοι κύριος κατὰ
τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα

τῶν χειρῶν μου, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ·
Μετὰ ὁσίου ὅσιος ἔσῃ· καὶ μετὰ ἀνδρὸς ἀ-
θώου ἀθῷος ἔσῃ· Καὶ μετὰ ἐκλεκτοῦ ἐκλε-
κτὸς ἔσῃ· καὶ μετὰ στρεβλοῦ διαστρέψεις· Ὅ-
τι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς
ὑπερηφάνων ταπεινώσεις. Ὅτι σὺ φωτιεῖς
λύχνον μου κύριε· ὁ θεός μου φωτιεῖς τὸ σκότος
μου. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατη-
ρίου· καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος.
Ὁ θεός μου ἄμωμος ἡ ὁδὸς αὐτοῦ· τὰ λόγια κυρίου
πεπυρωμένα· ὑπερασπιστής ἐστι πάντων τῶν ἐλ-
πιζόντων ἐπ' αὐτόν. Ὅτι τίς θεὸς πάρεξ τοῦ κυρίου.
ἢ τίς θεὸς πλὴν τοῦ θεοῦ ἡμῶν. Ὁ θεὸς ὁ περιζωννύ-
ων με δύναμιν· καὶ ἔθετο ἄμωμον τὴν ὁδόν
μου. Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ
ἐλάφου· καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με.
Διδάσκων χεῖράς μου εἰς πόλεμον· καὶ
ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου.
Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας·
καὶ ἡ δεξιά σου ἀντελάβετό μου. Καὶ ἡ

παιδεία σου ἀνώρθωσέ με εἰς τέλος. καὶ ἡ-
παιδεία σου, αὐτή με διδάξει. Ἐπλάτυνας
τὰ διαβήματά μου ὑποκάτω μου. καὶ οὐκ ἠ-
σθένησε τὰ ἴχνη μου. Καταδιώξω τοὺς ἐχθροὺς
μου καὶ καταλήψομαι αὐτούς. καὶ οὐκ ἀπο-
στραφήσομαι ἕως ἂν ἐκλείπωσιν. Ἐκθλί-
ψω αὐτοὺς καὶ οὐ μὴ δύνωνται στῆναι. πεσοῦνται
ὑπὸ τοὺς πόδας μου. Καὶ περιέζωσάς με δύνα-
μιν εἰς πόλεμον. συνεπόδισας πάντας τοὺς
ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου. Καὶ
τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον. καὶ τοὺς
μισοῦντάς με ἐξωλόθρευσας. Ἐκέκραξαν
καὶ οὐκ ἦν ὁ σώζων. πρὸς κύριον καὶ οὐκ εἰσήκουσεν
αὐτῶν. Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χνοῦν κα-
τὰ πρόσωπον ἀνέμου. ὡς πηλὸν πλατειῶν
λεανῶ αὐτούς. Ῥῦσαί με ἐξ ἀντιλογίας λα-
οῦ. καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν. Λα-
ὸς ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι. εἰς ἀκοὴν ὠτίου
ὑπήκουσέ μου. υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι.
υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ

τῶν τρίβων αὐτῶν. Ζῇ κύριος καὶ εὐλογητὸς ὁ θεός.
καὶ ὑψωθήτω ὁ θεὸς τῆς σωτηρίας μου. Ὁ θεὸς ὁ
διδοὺς ἐκδικήσεις ἐμοί. καὶ ὑποτάξας λαοὺς
ὑπ' ἐμέ. ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων.
Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με. ἀ-
πὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. Διὰ τοῦτο ἐξομο
λογήσομαί σοι ἐν ἔθνεσι κύριε, καὶ τῷ ὀνόματί -
σου ψαλῶ. Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέ
ως. καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ. τῷ δαυὶδ
καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος:~ Δόξα.

## Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ. ιη. 18.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ. ποίη-
σιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέ
ωμα. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα. καὶ
νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. Οὐκ εἰσὶ λα-
λιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ
αὐτῶν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐ
τῶν. καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν

Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ· καὶ αὐτὸς
ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ·
Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν· ἀπ᾽ ἄ-
κρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ· Καὶ τὸ κα-
τάντημα αὐτοῦ, ἕως ἄκρου τοῦ οὐρανοῦ· καὶ
οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ·
Ὁ νόμος κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς· ἡ-
μαρτυρία κυρίου πιστὴ σοφίζουσα νήπια·
Τὰ δικαιώματα κυρίου εὐθέα εὐφραίνοντα
καρδίαν· ἡ ἐντολὴ κυρίου τηλαυγὴς φωτίζου
σα ὀφθαλμούς· Ὁ φόβος κυρίου ἁγνὸς, διαμένων εἰς
αἰῶνα αἰῶνος· τὰ κρίματα κυρίου ἀληθινά· δε-
δικαιωμένα, ἐπὶ τὸ αὐτό· Ἐπιθυμητὰ ὑπὲρ
χρυσίον καὶ λίθον τίμιον πολύν· καὶ γλυκύ
τερα ὑπὲρ μέλι καὶ κηρίον· Καὶ γὰρ ὁ δοῦλος
σου φυλάσσει αὐτά· ἐν τῷ φυλάσσειν αὐ-
τὰ ἀνταπόδοσις πολλή· Παραπτώματα τίς
συνήσει· ἐκ τῶν κρυφίων μου καθάρισόν με·
καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου· Ἐὰν
μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι·

καὶ κα

καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης. Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου. καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός. Κύριε βοηθέ μου καὶ λυτρωτά μου.

## Εἰς τὸ τέλος ψαλμὸς τῷ δαυίδ. ιθ'.

Ἐπακούσαι σου κύριος ἐν ἡμέρᾳ θλίψεως. ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ θεοῦ ἰακώβ. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου. καὶ ἐκ σιὼν ἀντιλάβοιτό σου. Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. Δώη σοι κύριος κατὰ τὴν καρδίαν σου. καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου. καὶ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. Πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου. νῦν ἔγνων ὅτι ἔσωσε κύριος τὸν χριστὸν αὐτοῦ. Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ. ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν

ἵπποις· ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν ἐπι-
καλεσόμεθα. Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπε-
σον· ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνορθώθημεν. Κύριε
σῶσον τὸν βασιλέα καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν
ἡμέρᾳ ἐπικαλεσώμεθά σε:~

## Ψαλμὸς τῷ Δαυίδ. κ΄ 20

Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ
βασιλεύς· καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλι-
άσεται σφόδρα. Τὴν ἐπιθυμίαν τῆς καρδίας
αὐτοῦ, ἔδωκας αὐτῷ· καὶ τὴν θέλησιν τῶν χειλέ-
ων αὐτοῦ, οὐκ ἐστέρησας αὐτόν. Ὅτι προέφθα-
σας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· ἔθηκας ἐ-
πὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τι-
μίου. Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μα-
κρότητα ἡμερῶν, εἰς αἰῶνα αἰῶνος. Μεγάλη ἡ
δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου· δόξαν καὶ μεγαλοπρέ-
πειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν. Ὅτι δώσεις αὐτῷ
εὐλογίαν εἰς αἰῶνα αἰῶνος· εὐφρανεῖς αὐτὸν

ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου. Ὅτι ὁ βα-
σιλεὺς ἐλπίζει ἐπὶ κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου
οὐ μὴ σαλευθῇ. Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐ-
χθροῖς σου. ἡ δεξιά σου εὕροι, πάντας τοὺς μισοῦν-
τάς σε. Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυ-
ρὸς εἰς καιρὸν τοῦ προσώπου σου. κύριος ἐν ὀργῇ
αὐτοῦ συνταράξει αὐτούς. καὶ καταφάγεται
αὐτοὺς πῦρ. Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπο-
λεῖς. καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων. Ὅτι
ἔκλιναν εἰς σὲ κακά. διελογίσαντο βουλὰς αἷς
οὐ μὴ δύνωνται στῆναι. Ὅτι θήσεις αὐτοὺς νῶτον
ἐν τοῖς περιλοίποις σου. ἑτοιμάσεις τὸ πρόσω-
πον αὐτῶν. Ὑψώθητι κύριε ἐν τῇ δυνάμει σου. ᾄσω-
μεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου. Δόξα.

### Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς
### ἑωθινῆς, ψαλμὸς τῷ Δαυΐδ. κα. 21.

Ὁ Θεὸς ὁ θεός μου πρόσχες μοι, ἵνα τί ἐγκα-
τέλιπές με. μακρὰν ἀπὸ τῆς σωτη-

ρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.
Ὁ θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακού-
σῃ· καὶ νυκτὸς καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. Σὺ δὲ
ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τοῦ ἰσραήλ. Ἐπὶ
σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν· ἤλπισαν καὶ ἐρ-
ρύσω αὐτούς. Πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθη-
σαν· ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν. Ἐγὼ
δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος· ὄνειδος ἀνθρώπων καὶ ἐξου-
θένημα λαοῦ. Πάντες οἱ θεωροῦντές με ἐξεμυ-
κτήρισάν με· ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν
κεφαλήν· Ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν·
σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν. Ὅτι σὺ εἶ ὁ ἐκ-
σπάσας με ἐκ γαστρός· ἡ ἐλπίς μου ἀπὸ μαστῶν
τῆς μητρός μου· ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας.
Ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ, μὴ ἀπο-
στῇς ἀπ᾿ ἐμοῦ. Ὅτι θλῖψις ἐγγύς· ὅτι οὐκ ἔστιν
ὁ βοηθῶν μοι. Περιεκύκλωσάν με μόσχοι πολ-
λοί· ταῦροι πίονες περιέσχον με. Ἤνοιξαν ἐπ᾿ ἐ-
μὲ τὸ στόμα αὐτῶν· ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος.
Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα

τὰ ὀστᾶ μου. Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τη
κόμενος ἐν μέσῳ τῆς κοιλίας μου. Ἐξηράνθη ὡς ὄ
στρακον ἡ ἰσχύς μου· καὶ ἡ γλῶσσα μου κεκόλληται
τῷ λάρυγγί μου· καὶ εἰς χοῦν θανάτου κατή
γαγές με. Ὅτι ἐκύκλωσάν με κύνες πολλοί·
συναγωγὴ πονηρευομένων περιέσχον με. Ὤρυ
ξαν χεῖράς μου καὶ πόδας μου. ἐξηρίθμησαν πάν
τα τὰ ὀστᾶ μου· αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖ
δόν με. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυ-
τοῖς· καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆ
ρον. Σὺ δὲ κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σου
ἀπ' ἐμοῦ· εἰς τὴν ἀντίληψίν μου πρόσχες. Ῥῦ-
σαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου· καὶ ἐκ χει
ρὸς κυνὸς τὴν μονογενῆ μου. Σῶσόν με ἐκ στό
ματος λέοντος· καὶ ἀπὸ κεράτων μονοκερώ
των, τὴν ταπείνωσίν μου. Διηγήσομαι τὸ ὄνο
μά σου τοῖς ἀδελφοῖς μου· ἐν μέσῳ ἐκκλησί
ας ὑμνήσω σε. Οἱ φοβούμενοι τὸν κύριον αἰνέσα
τε αὐτόν. ἅπαν τὸ σπέρμα ἰακὼβ δοξάσα-
τε αὐτόν. Φοβηθήτω δὴ ἀπ' αὐτοῦ ἅπαν τὸ

σπέρμα Ἰσραήλ. Ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προ-
σώχθισε τῇ δεήσει τοῦ πτωχοῦ. Οὐδὲ ἀπέστρεψε
τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ· καὶ ἐν τῷ κεκρα-
γέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου. Παρὰ
σοῦ ὁ ἔπαινός μου· ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομο-
λογήσομαί σοι. τὰς εὐχάς μου ἀποδώσω ἐνώ-
πιον τῶν φοβουμένων αὐτόν. Φάγονται πένη-
τες καὶ ἐμπλησθήσονται· καὶ αἰνέσουσι κύριον οἱ ἐκ-
ζητοῦντες αὐτόν. Ζήσονται αἱ καρδίαι αὐτῶν
εἰς αἰῶνα αἰῶνος. Μνησθήσονται καὶ ἐπιστρα-
φήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς.
Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ, πᾶσαι
αἱ πατριαὶ τῶν ἐθνῶν. Ὅτι τοῦ κυρίου ἡ βασιλεία,
καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. Ἔφαγον καὶ
προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς. ἐνώ-
πιον αὐτοῦ προπεσοῦνται πάντες οἱ κα-
ταβαίνοντες εἰς γῆν. Καὶ ἡ ψυχή μου αὐ-
τῷ ζῇ. καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ.
Ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη.
καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ.

λαῷ τῷ τεχθησομένῳ ὃν ἐποίησεν ὁ κς :~

Ψαλμὸς τῷ Δαδ. κβ

Κς ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει.
εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.
Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με. τὴν
ψυχήν μου ἐπέστρεψεν. Ὁδήγησέ με ἐπὶ τρίβους
δικαιοσύνης. ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.
Ἐὰν γὰρ καὶ πορευθῶ, ἐν μέσῳ σκιᾶς θανά-
του, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ᾽ ἐμοῦ
εἶ. Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗται
με παρεκάλεσαν. Ἡτοίμασας ἐνώπιόν
μου τράπεζαν. ἐξεναντίας τῶν θλιβόντων
με. Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου
καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτι-
στον. Καὶ τὸ ἔλεός σου καταδιώξει με πά-
σας τὰς ἡμέρας τῆς ζωῆς μου. Καὶ τὸ κα-
τοικεῖν με ἐν οἴκῳ κυ εἰς μακρότητα ἡμε-
ρῶν :~

## Ψαλμὸς τῷ Δαδ. τῆς μιᾶς σαββάτων. κγ΄. 23.

Τοῦ κῡ ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Αὐτὸς ἐπὶ θαλασσῶν, ἐθεμελίωσεν αὐτήν. καὶ ἐπὶ ποταμῶν, ἡτοίμασεν αὐτήν. Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κῡ. ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ. Ἀθῶος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ. ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ. καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ. Οὗτος λήψεται εὐλογίαν παρὰ κῡ. καὶ ἐλεημοσύνην παρὰ θῡ σωτῆρος αὐτοῦ. Αὕτη ἡ γενεὰ, ζητούντων τὸν κν̄. ζητούντων τὸ πρόσωπον τοῦ θῡ ἰακώβ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης. κς̄ κραταιὸς καὶ δυνατός. κς̄ δυνατὸς ἐν πολέμῳ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν,

καὶ ἐπάρθητε πύλαι αἰώνιοι· καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης· κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης:~ Δόξα, Κάθισμα. γ΄

## Ψαλμὸς τῷ Δαυΐδ. κδ΄

Πρὸς σὲ κύριε ἦρα τὴν ψυχήν μου· ὁ θεός μου ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε, οὐ μὴ καταισχυνθῶσιν. Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. Τὰς ὁδούς σου κύριε, γνώρισόν μοι· καὶ τὰς τρίβους σου, δίδαξόν με. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου· καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ θεὸς ὁ σωτήρ μου· καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. Μνήσθητι τῶν οἰκτιρμῶν σου κύριε, καὶ τὰ ἐλέη σου ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου, μὴ μνησθῇς. Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνεκεν τῆς χρηστότητός σου κύριε.

Χρηστὸς καὶ εὐθὴς ὁ κύριος· διὰ τοῦτο νομοθετήσει ἁ-
μαρτάνοντας ἐν ὁδῷ. Ὁδηγήσει πραεῖς ἐν κρί-
σει· διδάξει πραεῖς ὁδοὺς αὐτοῦ. Πᾶσαι αἱ ὁδοὶ
κυρίου ἔλεος καὶ ἀλήθεια. τοῖς ἐκζητοῦσι τὴν διαθή-
κην αὐτοῦ· καὶ τὰ μαρτύρια αὐτοῦ. Ἕνεκεν τοῦ ὀνό-
ματός σου κύριε· καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου
πολλὴ γάρ ἐστι. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν
κύριον· νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο.
Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται· καὶ
τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. Κραταί-
ωμα κύριος τῶν φοβουμένων αὐτόν· καὶ ἡ διαθή-
κη αὐτοῦ δηλώσει αὐτοῖς. Οἱ ὀφθαλμοί μου
διὰ παντὸς πρὸς τὸν κύριον· ὅτι αὐτὸς ἐκσπάσει
ἐκ παγίδος τοὺς πόδας μου. Ἐπίβλεψον ἐ-
π' ἐμὲ καὶ ἐλέησόν με· ὅτι μονογενὴς καὶ πτω-
χός εἰμι ἐγώ. Αἱ θλίψεις τῆς καρδίας μου ἐ-
πληθύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ
με. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον
μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
Ἴδε τοὺς ἐχθρούς μου ὅτι ἐπληθύνθησαν, καὶ

μῖσος ἄδικον ἐμίσησάν με. Φύλαξον τὴν
ψυχήν μου καὶ ῥῦσαί με. μὴ καταισχυνθεί-
ην ὅτι ἤλπισα ἐπὶ σέ. Ἄκακοι καὶ εὐθεῖς ἐ-
κολλῶντό μοι, ὅτι ὑπέμεινά σε κε. Λύτρω
σαι ὁ θς τὸν ἰσραήλ, ἐκ πασῶν τῶν θλίψε-
ων αὐτοῦ:~

## Ψαλμὸς τῷ Δαδ. κε.

Κρῖνόν μοι κε ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου
ἐπορεύθην. καὶ ἐπὶ τῷ κῷ ἐλπίζων,
οὐ μὴ ἀσθενήσω. Δοκίμασόν με κε καὶ πεί
ρασόν με. πύρωσον τοὺς νεφρούς μου καὶ τὴν
καρδίαν μου. Ὅτι τὸ ἔλεός σου κατέναντι
τῶν ὀφθαλμῶν μου ἐστί. καὶ εὐηρέστησα ἐν
τῇ ἀληθείᾳ σου. Οὐκ ἐκάθισα μετὰ συνεδρί
ου ματαιότητος. καὶ μετὰ παρανομούν-
των οὐ μὴ εἰσέλθω. Ἐμίσησα ἐκκλησί-
αν πονηρευομένων. καὶ μετὰ ἀσεβῶν οὐ μὴ
καθίσω. Νίψομαι ἐν ἀθώοις τὰς χεῖ-

ρας μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου
κε. Τοῦ ἀκοῦσαι με φωνῆς αἰνέσεώς σου καὶ
διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κε
ἠγάπησα εὐπρέπειαν οἴκου σου. καὶ τόπον σκη
νώματος δόξης σου. Μὴ συναπολέσῃς με-
τὰ ἀσεβῶν τὴν ψυχήν μου. καὶ μετὰ ἀνδρῶν
αἱμάτων τὴν ζωήν μου. Ὧν ἐν χερσὶν αἱ ἀνο
μίαι. ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ
ἐν ἀκακίᾳ μου ἐπορεύθην. λύτρωσαί με κε καὶ
ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι. ἐν ἐκ
κλησίαις εὐλογήσω σε κε.

Ψαλμὸς τῷ Δαυὶδ πρὸ τοῦ χρισθῆναι. κϛ. 26.

Κς φωτισμός μου καὶ σωτήρ μου, τίνα φο
βηθήσομαι. Κς ὑπερασπιστὴς τῆς ζωῆς μου,
ἀπὸ τίνος δειλιάσω. Ἐν τῷ ἐγγίζειν ἐπ᾽ ἐμὲ κακοῦν
τας, τοῦ φαγεῖν τὰς σάρκας μου. Οἱ θλίβοντές με καὶ
οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον. Ἐὰν παρατά
ξηται ἐπ᾽ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου.

Ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ
ἐλπίζω. Μίαν ᾐτησάμην παρὰ κυρίου, ταύτην
ζητήσω· τοῦ κατοικεῖν με ἐν οἴκῳ κυρίου πάσας τὰς
ἡμέρας τῆς ζωῆς μου. Τοῦ θεωρεῖν με τὴν τερ-
πνότητα κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅ-
γιον αὐτοῦ. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ, ἐν
ἡμέρᾳ κακῶν μου. ἐσκέπασέ με ἐν ἀποκρύφῳ
τῆς σκηνῆς αὐτοῦ. Ἐν πέτρᾳ ὕψωσέ με. καὶ
νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθρούς μου.
Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ. θυσί-
αν αἰνέσεως καὶ ἀλαλαγμοῦ, ᾄσω καὶ ψαλῶ τῷ
κυρίῳ. Εἰσάκουσον κύριε τῆς φωνῆς μου ἧς, ἐκέκρα-
ξα. ἐλέησόν με καὶ εἰσάκουσόν μου. Σοὶ εἶπεν
ἡ καρδία μου, κύριον ζητήσω. ἐξεζήτησέ σε τὸ πρόσω-
πόν μου. τὸ πρόσωπόν σου κύριε ζητήσω. Μὴ ἀπο-
στρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλί-
νῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. Βοηθός μου γενοῦ μὴ
ἀποσκορακίσῃς με. καὶ μὴ ἐγκαταλίπῃς
με ὁ θεὸς ὁ σωτήρ μου. Ὅτι ὁ πατήρ μου καὶ
ἡ μήτηρ μου ἐγκατέλιπόν με. ὁ δὲ κύριος προσε-

λάβετό με. Νομοθέτησόν με κε̄ ἐν τῇ ὁ-
δῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ, ἕνε-
κα τῶν ἐχθρῶν μου. Μὴ παραδῷς με εἰς
ψυχὰς θλιβόντων με. ὅτι ἐπανέστησάν μοι
μάρτυρες ἄδικοι καὶ ἐψεύσατο ἡ ἀδικία
ἑαυτῇ. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κῡ
ἐν γῇ ζώντων. Ὑπόμεινον τὸν κν̄. ἀνδρίζου
καὶ κραταιούσθω ἡ καρδία σου καὶ ὑπόμει-
νον τὸν κν̄ :~

Δόξα.

### Ψαλμὸς τῷ Δαδ̄. κζ 27

Πρὸς σὲ κε̄ κεκράξομαι. ὁ θς̄ μου μὴ πα-
ρασιωπήσῃς ἀπ' ἐμοῦ. καὶ ὁμοιωθήσο-
μαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Εἰσά-
κουσον κε̄ τῆς φωνῆς τῆς δεήσεώς μου. ἐν τῷ
δέεσθαί με πρὸς σέ. ἐν τῷ αἴρειν με χεῖρας μου
πρὸς ναὸν ἅγιόν σου. Μὴ συνελκύσῃς με
μετὰ ἁμαρτωλῶν. καὶ μετὰ ἐργαζομένων

ἀδικίαν, μὴ συναπολέσῃς με. Τῶν λαλούν-
των εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν· κακὰ
δὲ ἐν ταῖς καρδίαις αὐτῶν. Δὸς αὐτοῖς κε
κατὰ τὰ ἔργα αὐτῶν· καὶ κατὰ τὴν πονηρίαν
τῶν ἐπιτηδευμάτων αὐτῶν. Κατὰ τὰ ἔργα
τῶν χειρῶν αὐτῶν, δὸς αὐτοῖς· ἀπόδος τὸ ἀν-
ταπόδομα αὐτῶν, αὐτοῖς. Ὅτι οὐ συνῆκαν
εἰς τὰ ἔργα κυ· καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐ-
τοῦ· καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις
αὐτούς. Εὐλογητὸς κς ὅτι εἰσήκουσε τῆς
φωνῆς τῆς δεήσεώς μου. Κς βοηθός μου καὶ
ὑπερασπιστής μου· ἐπ᾽ αὐτῷ ἤλπισεν ἡ καρ-
δία μου· καὶ ἐβοηθήθην. Καὶ ἀνέθαλεν ἡ
σάρξ μου· καὶ ἐκ θελήματός μου ἐξομολογή-
σομαι αὐτῷ. Κς κραταίωμα τοῦ λαοῦ
αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ
χριστοῦ αὐτοῦ ἐστι. Σῶσον τὸν λαόν σου καὶ
εὐλόγησον τὴν κληρονομίαν σου· καὶ ποί-
μανον αὐτούς, καὶ ἔπαρον αὐτοῖς ἕως τοῦ
αἰῶνος:~

## Ψαλμὸς τῷ Δαυΐδ, ἐξοδίου σκηνῆς. κη'. 28.

Ἐνέγκατε τῷ κυρίῳ υἱοὶ θεοῦ· ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν· Ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν· ἐνέγκατε τῷ κυρίῳ, δόξαν ὀνόματι αὐτοῦ· προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων· ὁ θεὸς τῆς δόξης ἐβρόντησε, κύριος ἐπὶ ὑδάτων πολλῶν. Φωνὴ κυρίου ἐν ἰσχύϊ· φωνὴ κυρίου ἐν μεγαλοπρεπείᾳ. Φωνὴ κυρίου συντρίβοντος κέδρους· καὶ συντρίψει κύριος τὰς κέδρους τοῦ Λιβάνου. Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον· καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων. Φωνὴ κυρίου διακόπτοντος φλόγα πυρός· φωνὴ κυρίου συσσείοντος ἔρημον· καὶ συσσείσει κύριος τὴν ἔρημον Καδής. Φωνὴ κυρίου καταρτιζομένη ἐλάφους· καὶ ἀποκαλύψει δρυμούς· καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν. Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ· καὶ καθίεται κύριος βασιλεὺς εἰς τὸν αἰῶνα. Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει

τοῦ δώσει· κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ·

## Ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου τῷ Δαυΐδ. κθ'

Ὑψώσω σε κύριε ὅτι ὑπέλαβές με· καὶ οὐκ εὔ-
φρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ· Κύριε ὁ
θεός μου ἐκέκραξα πρὸς σὲ καὶ ἰάσω με· Κύριε ἀνή-
γαγες ἐξ ᾅδου τὴν ψυχήν μου· ἔσωσάς με ἀπὸ
τῶν καταβαινόντων εἰς λάκκον· Ψάλατε
τῷ κυρίῳ οἱ ὅσιοι αὐτοῦ· καὶ ἐξομολογεῖσθε τῇ μνή-
μῃ τῆς ἁγιωσύνης αὐτοῦ· Ὅτι ὀργὴ ἐν τῷ θυ-
μῷ αὐτοῦ· καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ·
Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς
τὸ πρωῒ ἀγαλλίασις· Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθη-
νίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα· Κύριε ἐν τῷ
θελήματί σου παρέσχου τῷ κάλλει μου δύνα-
μιν· Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου καὶ ἐγε-
νήθην τεταραγμένος· Πρὸς σὲ κύριε κεκράξο-
μαι, καὶ πρὸς τὸν θεόν μου δεηθήσομαι· Τίς
ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαί-

ναί με εἰς διαφθοράν. Μὴ ἐξομολογήσεταί σοι χοῦς; ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου; Ἤκουσε κς καὶ ἠλέησέ με. κς ἐγενήθη βοηθός μου. Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί. διέῤῥηξας τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην. Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου καὶ οὐ μὴ κατανυγῶ. κε ὁ θς μου εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι:~ Δόξα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαδ. ἐκστάσεως. λ΄

Ἐπὶ σοὶ κε ἤλπισα μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με. Κλῖνον πρός με τὸ οὖς σου. τάχυνον τοῦ ἐξελέσθαι με. Γενοῦ μοι εἰς θν ὑπερασπιστήν. καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με. Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ. καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με. Ἐξάξεις με ἐκ παγίδος ταύτης ἧς ἔκρυψάν μοι. ὅτι σὺ εἶ ὁ ὑπερα

ασπιστής μου κύριε. εἰς χεῖράς σου παραθήσομαι τὸ
πνεῦμά μου. Ἐλυτρώσω με κύριε ὁ θεὸς τῆς ἀλη-
θείας. Ἐμίσησας τοὺς διαφυλάσσοντας μα-
ταιότητας διακενῆς. Ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἤλ-
πισα. ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐ-
πὶ τῷ ἐλέει σου. Ὅτι ἐπεῖδες τὴν ταπεί-
νωσίν μου. ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν
μου. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν.
ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. Ἐλέη-
σόν με κύριε, ὅτι θλίβομαι. ἐταράχθη ἐν θυμῷ ὁ
ὀφθαλμός μου. ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.
Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου. καὶ τὰ ἔτη
μου ἐν στεναγμοῖς. Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰ-
σχύς μου. καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν. Πα-
ρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος. καὶ
τοῖς γείτοσί μου σφόδρα. καὶ φόβος τοῖς γνωστοῖς μου.
Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ. ἐπελή-
σθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας. Ἐγενήθην ὡσεὶ
σκεῦος ἀπολωλός. ὅτι ἤκουσα ψόγον πολλῶν παροικούν-
των κυκλόθεν. Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅ-

μα ἐπ' ἐμέ· τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαν
το· Ἐγὼ δὲ ἐπὶ σοὶ κε ἤλπισα· εἶπα, σὺ εἶ ὁ θς μου
ἐν ταῖς χερσί σου οἱ κλῆροί μου· Ῥῦσαί με ἐκ
χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων
με· Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦ-
λον σου· σῶσόν με ἐν τῷ ἐλέει σου· κε μὴ καται
σχυνθείην ὅτι ἐπεκαλεσάμην σε· Αἰσχυνθείη-
σαν ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου· Ἄλα
λα γενηθήτω τὰ χείλη τὰ δόλια τὰ λαλοῦν
τα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφα-
νίᾳ καὶ ἐξουδενώσει· Ὡς πολὺ τὸ πλῆθος τῆς
χρηστότητός σου κε· ἧς ἔκρυψας τοῖς φοβουμέ
νοις σε· Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σέ· ἐ-
ναντίον τῶν υἱῶν τῶν ἀνθρώπων· Κατακρύψεις αὐ
τοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου· ἀπὸ
ταραχῆς ἀνθρώπων· Σκεπάσεις αὐτούς· ἐν
σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν· Εὐλογητὸς
κς ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ· ἐν πόλει πε
ριοχῆς· Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου ἀπέρ
ριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου·

Διὰ τοῦ

Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς
μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. Ἀγαπή-
σατε τὸν κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ· ὅτι ἀληθεί-
ας ἐκζητεῖ κύριος· καὶ ἀνταποδίδωσι τοῖς πε-
ρισσῶς ποιοῦσιν ὑπερηφανίαν. Ἀνδρίζεσθε
καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ
ἐλπίζοντες ἐπὶ κύριον:~

## Ψαλμὸς τῷ Δαβὶδ συνέσεως. λα'

Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ
ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.
Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρ-
τίαν· οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.
Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου· ἀπὸ τοῦ
κράζειν με ὅλην τὴν ἡμέραν. Ὅτι ἡμέρας καὶ
νυκτὸς, ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου· ἐστράφην εἰς
ταλαιπωρείαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκαν-
θα. Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρ-
τίαν μου οὐκ ἐκάλυψα. Εἶπα ἐξαγορεύσω

κατ' ἐμοῦ, τὴν ἀνομίαν μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας
τὴν ἀσέβειαν τῆς καρδίας μου. Ὑπὲρ ταύτης προ
σεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ. Πλὴν
ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν
οὐκ ἐγγιοῦσι. Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως
τῆς περιεχούσης με. τὸ ἀγαλλίαμά μου λύτρωσαί
με ἀπὸ τῶν κυκλωσάντων με. Συνετιῶ σε καὶ συμ
βιβῶ σε, ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ. ἐπιστηριῶ ἐπὶ
σὲ τοὺς ὀφθαλμούς μου. Μὴ γίνεσθε ὡς ἵππος καὶ
ἡμίονος οἷς οὐκ ἔστι σύνεσις. Ἐν κημῷ καὶ χαλι
νῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων
πρὸς σέ. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ. τὸν
δὲ ἐλπίζοντα ἐπὶ κύριον, ἔλεος κυκλώσει. Εὐφράν
θητε ἐπὶ κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι. καὶ καυχᾶσθε
πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Δόξα, κάθισμα. δ

## Ψαλμὸς τῷ Δαυΐδ. ἀνεπίγραφος παρ' Ἑβραίοις. λβ' 32

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ. τοῖς εὐθέσι

πρέπει αἴνεσις· Ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν
κιθάρᾳ· ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλα-
τε αὐτῷ· Ἄσατε αὐτῷ ᾆσμα καινόν·
καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ·
Ὅτι εὐθὴς ὁ λόγος τοῦ κυρίου, καὶ πάντα τὰ ἔρ-
γα αὐτοῦ ἐν πίστει· Ἀγαπᾷ, ἐλεημοσύνην
καὶ κρίσιν ὁ κύριος· τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ·
Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύ
ματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐ
τῶν· Συνάγων ὡσεὶ ἀσκὸν, ὕδατα θαλάσ
σης· τιθεὶς ἐν θησαυροῖς ἀβύσσοις· Φοβη-
θήτω τὸν κύριον πᾶσα ἡ γῆ· ἀπ' αὐτοῦ δὲ σαλευ-
θήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκου-
μένην· Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν. αὐτὸς ἐνετείλατο
καὶ ἐκτίσθησαν. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν·
ἀθετεῖ δὲ λογισμοὺς λαῶν· καὶ ἀθετεῖ βουλὰς
ἀρχόντων· Ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα
μένει· λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενε
ὰν καὶ γενεάν· Μακάριον τὸ ἔθνος οὗ ἐστι
κύριος ὁ θεὸς αὐτοῦ· λαὸς ὃν ἐξελέξατο εἰς κληρο-

νομίαν ἑαυτῷ. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος. εἶ-
δε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἐξ ἑτοί-
μου κατοικητηρίου αὐτοῦ. ἐπέβλεψεν ἐπὶ
πάντας τοὺς κατοικοῦντας τὴν γῆν.
Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐ-
τῶν. ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.
Οὐ σώζεται βασιλεὺς, διὰ πολλὴν δύναμιν.
καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐ-
τοῦ. Ψευδὴς ἵππος εἰς σωτηρίαν. ἐν δὲ πλή-
θει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. Ἰδοὺ οἱ
ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν.
τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ.
Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν. καὶ
διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Ἡ δὲ ψυχὴ ἡ-
μῶν ὑπομενεῖ τῷ κυρίῳ. ὅτι βοηθὸς καὶ ὑπε-
ρασπιστὴς ἡμῶν ἐστιν. Ὅτι ἐν αὐτῷ εὐφραν-
θήσεται ἡ καρδία ἡμῶν. καὶ ἐν τῷ ὀνόματι
τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν. Γένοιτο κύριε
τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν
ἐπὶ σέ:~

Ψαλμὸς τῷ Δαδ. Ὅτε ἠλλοίωσε τὸ πρόσω-
πον αὐτοῦ ἐναντίον ἀβιμέλεχ καὶ ἀπέλυ-
σεν αὐτὸν καὶ ἀπῆλθεν. λγ΄ 33.

Εὐλογήσω τὸν κν̄ ἐν παντὶ καιρῷ. δια-
παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί
μου. Ἐν τῷ κῷ ἐπαινεθήσεται ἡ ψυχή μου.
ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.
Μεγαλύνατε τὸν κν̄ σὺν ἐμοί. καὶ ὑψώσωμεν
τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν
κν̄, καὶ ἐπήκουσέ μου. καὶ ἐκ πασῶν τῶν θλίψε-
ών μου, ἐρρύσατό με. Προσέλθετε πρὸς αὐτὸν
καὶ φωτίσθητε. καὶ τὰ πρόσωπα ὑμῶν, οὐ μὴ
καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ
ὁ κς̄ εἰσήκουσεν αὐτοῦ. καὶ ἐκ πασῶν τῶν θλίψε-
ων αὐτοῦ ἔσωσεν αὐτόν. Παρεμβαλεῖ ἄγ-
γελος κῡ κύκλω τῶν φοβουμένων αὐτόν, καὶ
ῥύσεται αὐτούς. Γεύσασθε καὶ ἴδετε ὅτι χρη-
στὸς ὁ κς̄. μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐ-

τόν. Φοβήθητε τὸν κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ ὅ-
τι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.
Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦν-
τες τὸν κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.
Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον κυρίου διδάξω
ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν ἀγαπῶν ἡμέ-
ρας ἰδεῖν ἀγαθάς. Παῦσον τὴν γλῶσσάν σου ἀ-
πὸ κακοῦ· καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκ-
κλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρή-
νην καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ κυρίου ἐπὶ δικαί-
ους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Πρόσωπον δὲ κυρίου
ἐπὶ ποιοῦντας κακὰ τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνη-
μόσυνον αὐτῶν. Ἐκέκραξαν οἱ δίκαιοι καὶ ὁ κύριος
εἰσήκουσεν αὐτῶν. καὶ ἐκ πασῶν τῶν θλίψεων αὐ-
τῶν, ἐρρύσατο αὐτούς. Ἐγγὺς κύριος τοῖς συντε-
τριμμένοις τὴν καρδίαν. καὶ τοὺς ταπεινοὺς τῷ
πνεύματι σώσει. Πολλαὶ αἱ θλίψεις τῶν δικαί-
ων. καὶ ἐκ πασῶν αὐτῶν, ῥύσεται αὐτοὺς ὁ κύριος. Φυ-
λάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτῶν. ἓν ἐξ αὐτῶν
οὐ συντριβήσεται. Θάνατος ἁμαρτωλῶν πο

νηρός· καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι. Λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι, πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.~ Δόξα.

## Ψαλμὸς τῷ Δαυίδ. λδʹ. 34

Δίκασον κύριε τοὺς ἀδικοῦντάς με· πολέμησον τοὺς πολεμοῦντάς με. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με· εἰπὸν τῇ ψυχῇ μου, σωτηρία σου εἰμὶ ἐγώ. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά. Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου· καὶ ἄγγελος κυρίου ἐκθλίβων αὐτούς. Γενηθήτω ἡ ὁδὸς αὐτῶν, σκότος καὶ ὀλίσθημα· καὶ ἄγγελος

κυρίου καταδιώκων αὐτούς. Ὅτι δωρεὰν ἔκρυ-
ψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην
ὠνείδισαν τὴν ψυχήν μου. Ἐλθέτω αὐτῷ πα-
γὶς ἣν οὐ γινώσκει, καὶ ἡ θήρα ἣν ἔκρυψε, συλλα-
βέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ. Ἡ δὲ
ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ κυρίῳ, τερφθή-
σεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ. Πάντα τὰ ὀστᾶ μου
ἐροῦσι κύριε, κύριε, τίς ὅμοιός σοι. Ῥυόμενος πτωχὸν
ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ
πένητα, ἀπὸ τῶν διαρπαζόντων αὐτόν. Ἀνα-
στάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον
ἠρώτων με. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀν-
τὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. Ἐγὼ δὲ ἐν
τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον.
Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ
προσευχή μου, εἰς κόλπον μου ἀποστραφήσεται.
Ὡς πλησίον, ὡς ἀδελφῷ ἡμετέρῳ οὕτως εὐη-
ρέστουν. ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕ-
τως ἐταπεινούμην. Καὶ κατ' ἐμοῦ εὐφράν-
θησαν καὶ συνήχθησαν. συνήχθησαν ἐπ' ἐ-

μὲ μάστιγες καὶ οὐκ ἔγνων. Διεσχίσθησαν
καὶ οὐ κατενύγησαν. ἐπείρασάν με ἐξεμυκτή-
ρισάν με μυκτηρισμῷ. ἔβρυξαν ἐπ' ἐμὲ τοὺς
ὀδόντας αὐτῶν. Κύριε πότε ἐπόψῃ. ἀποκατά-
στησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐ-
τῶν. ἀπὸ λεόντων τὴν μονογενῆ μου. Ἐξομο-
λογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ. ἐν λαῷ βα-
ρεῖ αἰνέσω σε. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραί-
νοντές μοι ἀδίκως. οἱ μισοῦντές με δωρεὰν
καὶ διανεύοντες ὀφθαλμοῖς. Ὅτι ἐμοὶ μὲν εἰ-
ρηνικὰ ἐλάλουν. καὶ ἐπ' ὀργὴν δόλους διελο-
γίζοντο. Ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν.
εἶπον εὖγε εὖγε εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν. Εἶδες
κύριε μὴ παρασιωπήσῃς. κύριε μὴ ἀποστῇς ἀπ' ἐμοῦ.
Ἐξεγέρθητι κύριε καὶ πρόσχες τῇ κρίσει μου. ὁ θεός
μου, καὶ ὁ κύριός μου εἰς τὴν δίκην μου. Κρῖνόν
με κύριε κατὰ τὴν δικαιοσύνην σου. κύριε ὁ θεός μου
καὶ μὴ ἐπιχαρείησάν μοι. Μὴ εἴποισαν ἐν καρ-
δίαις αὐτῶν, Εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν. μηδὲ εἴ-
ποιεν κατεπίομεν αὐτόν. Αἰσχυνθείησαν καὶ

ἐντραπείησαν, ἅμα οἱ ἐπιχαίροντες τοῖς
κακοῖς μου. Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντρο
πὴν οἱ μεγαλορρημονοῦντες ἐπ' ἐμέ. Ἀγαλλι-
άσθωσαν καὶ εὐφρανθήτωσαν, οἱ θέλοντες τὴν
δικαιοσύνην μου. Καὶ εἰπάτωσαν διαπαν
τὸς μεγαλυνθήτω ὁ κύριος οἱ θέλοντες τὴν εἰρή-
νην τοῦ δούλου αὐτοῦ. Καὶ ἡ γλῶσσά μου με-
λετήσει τὴν δικαιοσύνην σου. ὅλην τὴν ἡμέραν
τὸν ἔπαινόν σου:~

Εἰς τὸ τέλος τῷ παιδὶ κυρίου τῷ Δαυίδ. λέ

ΦΗσὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυ
τῷ. οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν
ὀφθαλμῶν αὐτοῦ. Ὅτι ἐδόλωσεν ἐνώπιον
αὐτοῦ. τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆ-
σαι. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία
καὶ δόλος. οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι.
Ἀνομίαν διελογίσατο, ἐπὶ τῆς κοίτης αὐτοῦ.
παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ. κακίᾳ δὲ οὐ προ-

σώχθισε. Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου. καὶ ἡ ἀ-
λήθειά σου ἕως τῶν νεφελῶν. Ἡ δικαιοσύνη
σου ὡς ὄρη θεοῦ. τὰ κρίματά σου, ἄβυσσος πολ-
λή. Ἀνθρώπους καὶ κτήνη σώσεις κύριε. ὡς ἐπλή-
θυνας τὸ ἔλεός σου ὁ θεός. Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν
σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. Μεθυσθήσον-
ται ἀπὸ πιότητος οἴκου σου. καὶ τὸν χειμάρρουν
τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. Ὅτι παρὰ σοὶ
πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
Παράτεινον τὸ ἔλεός σου, τοῖς γινώσκουσί σε.
καὶ τὴν δικαιοσύνην σου, τοῖς εὐθέσι τῇ καρδίᾳ.
Μὴ ἐλθέτω μοι ποῦς ὑπερηφανίας. καὶ χεὶρ
ἁμαρτωλοῦ μὴ σαλεύσαι με. Ἐκεῖ ἔπεσον πάν-
τες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ἐξώσθησαν
καὶ οὐ μὴ δύνωνται στῆναι. Δόξα.

## Ψαλμὸς τῷ Δαβίδ. λϛʹ 36.

Μὴ παραζήλου ἐν πονηρευομένοις μηδὲ
ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν.

Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται· καὶ
ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται·
Ἔλπισον ἐπὶ κύριον καὶ ποίει χρηστότητα· καὶ κα-
τασκήνου τὴν γῆν καὶ ποιμανθήσῃ ἐπὶ τῷ
πλούτῳ αὐτῆς· Κατατρύφησον τοῦ κυρίου καὶ
δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου· Ἀπο-
κάλυψον πρὸς κύριον τὴν ὁδόν σου· καὶ ἔλπισον
ἐπ᾽ αὐτὸν καὶ αὐτὸς ποιήσει· Καὶ ἐξοίσει ὡς
φῶς τὴν δικαιοσύνην σου· καὶ τὸ κρίμα σου ὡς
μεσημβρίαν· ὑποτάγηθι τῷ κυρίῳ καὶ ἱκέτευσον
αὐτόν· Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ
ἐν τῇ ὁδῷ αὐτοῦ· ἐν ἀνθρώπῳ ποιοῦντι παρα-
νομίαν· Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε
θυμόν· μὴ παραζήλου ὥστε πονηρεύεσθαι·
Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται· οἱ δὲ
ὑπομένοντες τὸν κύριον· αὐτοὶ κληρονομήσουσι
γῆν· Καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρ-
τωλός· καὶ ζητήσεις τὸν τόπον αὐτοῦ καὶ οὐ μὴ εὕ-
ρῃς· Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν· καὶ κα-
τατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης· Παρα-
τηρήσεται

τηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύ-
ξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ. Ὁ δὲ κύριος ἐκ-
γελάσεται αὐτὸν· ὅτι προβλέπει, ὅτι ἥξει ἡ ἡ-
μέρα αὐτοῦ. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρ-
τωλοὶ, ἐνέτειναν τόξον αὐτῶν. Τοῦ καταβαλεῖν
πτωχὸν καὶ πένητα· τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρ-
δίᾳ. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρ-
δίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη.
Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁ-
μαρτωλῶν πολύν. Ὅτι βραχίονες ἁμαρτω-
λῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαί-
ους ὁ κύριος. Γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀμώ-
μων, καὶ ἡ κληρονομία αὐτῶν, εἰς αἰῶνα ἔσται.
Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ.
καὶ ἐν ἡμέραις λιμοῦ, χορτασθήσονται. ὅτι οἱ ἁ-
μαρτωλοὶ ἀπολοῦνται. Οἱ δὲ ἐχθροὶ τοῦ κυρίου,
ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι.
ἐκλείποντες, ὡσεὶ καπνὸς ἐξέλιπον. Δανεί-
ζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει. ὁ δὲ
δίκαιος, οἰκτείρει καὶ δίδωσιν. Ὅτι οἱ εὐλογοῦν-

τες αὐτὸν κληρονομήσουσι γῆν· οἱ δὲ καταρώ-
μενοι αὐτὸν, ἐξολοθρευθήσονται. Παρὰ κῦ
τὰ διαβήματα ἀνου κατευθύνεται· καὶ τὴν ὁ-
δὸν αὐτοῦ θελήσει σφόδρα. Ὅταν πέσῃ οὐ κα-
ταρραχθήσεται· ὅτι κς ἀντιστηρίζει χεῖρα αὐ-
τῶν. Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα· καὶ οὐκ
εἶδον δίκαιον ἐγκαταλελειμμένον· οὐδὲ τὸ σπέρ-
μα αὐτοῦ ζητοῦν ἄρτους. Ὅλην τὴν ἡμέραν
ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος· καὶ τὸ σπέρμα αὐτοῦ
εἰς εὐλογίαν ἔσται. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίη-
σον ἀγαθόν· καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος.
Ὅτι κς ἀγαπᾷ κρίσιν· καὶ οὐκ ἐγκαταλείψει
τοὺς ὁσίους αὐτοῦ· εἰς τὸν αἰῶνα φυλαχθήσονται.
Ἄνομοι δὲ ἐκδιωχθήσονται· καὶ σπέρμα ἀσε-
βῶν ἐξολοθρευθήσεται. Δίκαιοι δὲ κληρονο-
μήσουσι γῆν· καὶ κατασκηνώσουσιν εἰς αἰῶνα
αἰῶνος ἐπ᾽ αὐτῆς. Στόμα δικαίου, μελετή-
σει σοφίαν· καὶ ἡ γλῶσσα αὐτοῦ, λαλήσει κρί-
σιν. Ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐ-
τοῦ· καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήμα-

τὰ αὐτοῦ. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δί-
καιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν. Ὁ δὲ κς
οὐ μὴ ἐγκαταλίποι αὐτὸν, εἰς τὰς χεῖρας αὐ-
τοῦ. οὐδὲ μὴ καταδικάσηται αὐτὸν, ὅταν κρί-
νηται αὐτῷ. Ὑπόμεινον τὸν κν καὶ φύλαξον
τὴν ὁδὸν αὐτοῦ. καὶ ὑψώσει σε τοῦ κατακλη-
ρονομῆσαι γῆν. ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτω-
λοὺς ὄψει. Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον,
καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ λιβάνου.
Καὶ παρῆλθον καὶ ἰδοὺ οὐκ ἦν. καὶ ἐζήτησα αὐ-
τὸν καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. Φύλασσε
ἀκακίαν καὶ ἴδε εὐθύτητα. ὅτι ἐστὶν ἐγκα-
τάλειμμα ἀνθρώπῳ εἰρηνικῷ. Οἱ δὲ παράνομοι
ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτό. τὰ ἐγκατα-
λείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται. Σω-
τηρία δὲ τῶν δικαίων παρὰ κυ. καὶ ὑπερασπιστὴς
αὐτῶν ἐστιν, ἐν καιρῷ θλίψεως. Καὶ βοηθήσει
αὐτοῖς κς καὶ ῥύσεται αὐτούς. καὶ ἐξελεῖται αὐ-
τοὺς ἐξ ἁμαρτωλῶν. καὶ σώσει αὐτοὺς, ὅτι ἤλ-
πισαν ἐπ᾽ αὐτόν :~ Δόξα, κάθισμα, ε´

## Ψαλμὸς τῷ Δαδ εἰς ἀνάμνησιν περὶ τοῦ σαββάτου. λζ'

Κέ μὴ τῷ θυμῷ σου ἐλέγξῃς με· μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι· καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου, ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου· Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους· ὅλην τὴν ἡμέραν, σκυθρωπάζων ἐπορευόμην. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Κέ ἐναντίον σου πᾶσα

σου πᾶσα ἡ ἐπιθυμία μου καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀ-
πεκρύβη. Ἡ καρδία μου ἐταράχθη· ἐγκατέλι-
πέ με ἡ ἰσχύς μου· καὶ τὸ φῶς τῶν ὀφθαλμῶν
μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ. Οἱ φίλοι μου
καὶ οἱ πλησίον μου, ἐξ ἐναντίας μου ἤγγισαν καὶ
ἔστησαν. Καὶ οἱ ἔγγιστά μου, ἀπὸ μακρόθεν ἔστη-
σαν· καὶ ἐξεβιάζοντο, οἱ ζητοῦντες τὴν ψυχήν
μου. Καὶ οἱ ζητοῦντες τὰ κακά μοι, ἐλάλη-
σαν ματαιότητας· καὶ δολιότητας ὅλην τὴν
ἡμέραν ἐμελέτησαν. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ
ἤκουον· καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα
αὐτοῦ. Καὶ ἐγενόμην, ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων·
καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
Ὅτι ἐπὶ σοὶ κύριε ἤλπισα· σὺ εἰσακούσῃ κύριε ὁ θεός μου.
Ὅτι εἶπον, μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου·
καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ᾽ ἐμὲ ἐμεγα-
λορρημόνησαν. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοι-
μος· καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ δια-
παντός. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ·
καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ· καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως. Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην. Μὴ ἐγκαταλίπῃς με κύριε ὁ θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, κύριε τῆς σωτηρίας μου.

Εἰς τὸ τέλος τῷ Ἰδιθοὺμ ᾠδὴ τῷ Δαυίδ. λη΄. 38

Εἶπα, Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου. Ἐθέμην τῷ στόματί μου φυλακήν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου. Ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν· καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη. Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου· καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. Ἐλάλησα ἐν γλώσσῃ μου· γνώρισόν μοι κύριε τὸ πέρας μου. Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ. Ἰδοὺ παλαι

στὰς ἔθου τὰς ἡμέρας μου· καὶ ἡ ὑπόστασίς μου
ὡσεὶ οὐθὲν ἐνώπιόν σου· Πλὴν τὰ σύμπαντα
ματαιότης· πᾶς ἄνθρωπος ζῶν· μέντοι γε ἐν εἰκό
νι διαπορεύεται ἄνθρωπος· πλὴν μάτην ταράσσε-
ται· Θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει
αὐτά· καὶ νῦν τίς ἡ ὑπομονή μου· οὐχὶ κύριος; καὶ
ἡ ὑπόστασίς μου, παρὰ σοῦ ἐστιν· Ἀπὸ πασῶν
τῶν ἀνομιῶν μου, ῥῦσαί με· ὄνειδος ἄφρονι ἔδω
κάς με· Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα
μου· ὅτι σὺ ἐποίησας· ἀπόστησον ἀπ᾽ ἐμοῦ τὰς
μάστιγάς σου· Ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός
σου, ἐγὼ ἐξέλιπον· ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας
ἐπαίδευσας ἄνθρωπον· Καὶ ἐξέτηξας ὡς ἀρά-
χνην τὴν ψυχὴν αὐτοῦ· πλὴν μάτην πᾶς ἄνθρωπος·
Εἰσάκουσον τῆς προσευχῆς μου κύριε, καὶ τῆς δεή-
σεώς μου· ἐνώτισαι τῶν δακρύων μου· Μὴ πα
ρασιωπήσῃς· ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοί·
καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες
μου· Ἄνες μοι ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελ
θεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω:~

## Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

Ὑπομένων ὑπέμεινα τὸν κύριον, καὶ προσέσχε μοι· καὶ εἰσήκουσε τῆς δεήσεώς μου. Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου. Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου, ᾆσμα καινόν, ὕμνον τῷ θεῷ ἡμῶν. Ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ κύριον. Μακάριος ἀνήρ, οὗ ἐστι τὸ ὄνομα κυρίου ἐλπὶς αὐτοῦ· καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς. Πολλὰ ἐποίησας σὺ κύριε ὁ θεός μου τὰ θαυμάσιά σου· καὶ τοῖς διαλογισμοῖς σου, οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι. Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν. Θυσίαν καὶ προσφορὰν, οὐκ ἠθέλησας· σῶμα δὲ κατηρτίσω μοι. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζή-

ᾐτησας· τότε εἶπον, ἰδοὺ ἥκω· Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ· τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ θεός μου ἠβουλήθην· καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ· ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω· κύριε σὺ ἔγνως. Τὴν δικαιοσύνην σου, οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου· τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα. Οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς. Σὺ δὲ κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ· τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου, διαπαντὸς ἀντιλάβοιντό μου. Ὅτι περιέσχον με κακά, ὧν οὐκ ἔστιν ἀριθμός· κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου· καὶ ἡ καρδία μου ἐγκατέλιπέ με. Εὐδόκησον κύριε τοῦ ῥύσασθαί με· κύριε εἰς τὸ βοηθῆσαί μοι πρόσχες. Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα· οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν. Ἀποστραφείησαν εἰς τὰ ὀπίσω

σω καταισχυνθείησαν, οἱ θέλοντές μοι κακά. Κο
μισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν, οἱ λέ
γοντές μοι εὖγε εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφραν
θήτωσαν ἐπὶ σοὶ, πάντες οἱ ζητοῦντές σε κύριε. Καὶ
εἰπάτωσαν διαπαντὸς μεγαλυνθήτω ὁ κύριος. οἱ
ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχός εἰμι
καὶ πένης, κύριος φροντιεῖ μου. Βοηθός μου καὶ ὑπερα
σπιστής μου εἶ σὺ ὁ θεός μου, μὴ χρονίσῃς:~ Δόξα.

## Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. μ΄ 40

Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πέ
νητα. ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν
ὁ κύριος. Κύριος διαφυλάξαι αὐτὸν καὶ ζῆσαι αὐτόν.
καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ. καὶ μὴ παραδῴη αὐ
τὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. Κύριος βοηθήσαι αὐ
τῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ. ὅλην τὴν κοί-
την αὐτοῦ, ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.
Ἐγὼ εἶπα, κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου
ὅτι ἥμαρτόν σοι. Οἱ ἐχθροί μου εἶπον κακά μοι.

πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐ-
τοῦ. Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν· μάτην ἐλάλει
ἡ καρδία αὐτοῦ· συνήγαγεν ἀνομίαν ἑαυτῷ·
ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. Κα-
τ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου· κα-
τ' ἐμοῦ ἐλογίζοντο κακά μοι. Λόγον παράνο-
μον κατέθεντο κατ' ἐμοῦ· μὴ ὁ κοιμώμενος οὐχὶ
προσθήσει τοῦ ἀναστῆναι; Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰ-
ρήνης μου ἐφ' ὃν ἤλπισα· ὁ ἐσθίων ἄρτους μου ἐμε-
γάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. Σὺ δὲ κύριε ἐλέησόν
με· καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.
Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με· ὅτι οὐ μὴ
ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ. Ἐμοῦ δὲ διὰ τὴν
ἀκακίαν ἀντελάβου· καὶ ἐβεβαίωσάς με ἐνώ-
πιόν σου εἰς τὸν αἰῶνα. Εὐλογητὸς κύριος ὁ θεὸς ἰσραήλ
ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα· γένοιτο γένοιτο:~

Εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ. μα. 41.

ΟΝ τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς

πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου
πρὸς σὲ ὁ θεός. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θεὸν
τὸν ἰσχυρὸν τὸν ζῶντα. Πότε ἥξω καὶ ὀφθήσομαι
τῷ προσώπῳ τοῦ θεοῦ. Ἐγενήθη τὰ δάκρυά μου
ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός· ἐν τῷ λέγεσθαί
μοι καθ᾽ ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ θεός σου.
Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ᾽ ἐμὲ τὴν ψυχήν
μου. ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυ-
μαστῆς ἕως τοῦ οἴκου τοῦ θεοῦ. Ἐν φωνῇ ἀγαλλι-
άσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος.
Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συν-
ταράσσεις με. Ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομο-
λογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ
θεός μου. Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταρά-
χθη· διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορ-
δάνου καὶ ἑρμωνιεὶμ, ἀπὸ ὄρους μικροῦ.
Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν
τῶν καταρρακτῶν σου. Πάντες οἱ μετεωρι-
σμοί σου, καὶ τὰ κύματά σου, ἐπ᾽ ἐμὲ διῆλθον.
Ἡμέρας ἐντελεῖται κύριος τὸ ἔλεος αὐτοῦ.

καὶ νυκτὸς ᾠδὴ αὐτῷ παρ' ἐμοί. Προσευχὴ τῷ
θεῷ τῆς ζωῆς μου. ἐρῶ τῷ θεῷ ἀντιλήπτωρ μου
εἶ. Διὰ τί μου ἐπελάθου, καὶ ἵνα τί σκυθρω-
πάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν.
Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με
οἱ ἐχθροί μου. Ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκά-
στην ἡμέραν, ποῦ ἐστιν ὁ θεός σου. Ἵνα τί περίλυ-
πος εἶ ἡ ψυχή μου καὶ ἵνα τί συνταράσσεις με.
Ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐ-
τῷ. σωτήριον τοῦ προσώπου μου καὶ ὁ θεός μου:~

Ψαλμὸς τῷ Δαυίδ. ἀνεπίγραφος παρ' Ἑβραίοις. μβ' 42

Κρῖνόν μοι ὁ θεός, καὶ δίκασον τὴν δίκην
μου, ἐξ ἔθνους οὐχ ὁσίου. ἀπὸ ἀνθρώπου ἀδί-
κου καὶ δολίου ῥῦσαί με. Ὅτι σὺ εἶ ὁ θεός κρα-
ταίωμά μου. ἵνα τί ἀπώσω με καὶ ἵνα τί σκυ-
θρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν
ἐχθρόν. Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν
ἀλήθειάν σου. αὐτά με ὡδήγησαν καὶ ἤγα-

γόν με εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώ-
ματά σου. Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσια-
στήριον τοῦ θεοῦ. πρὸς τὸν θεὸν τὸν εὐφραίνοντα
τὴν νεότητά μου. Ἐξομολογήσομαί σοι ἐν κι-
θάρᾳ ὁ θεὸς ὁ θεός μου. ἵνα τί περίλυπος εἶ ἡ ψυχή
μου, καὶ ἵνα τί συνταράσσεις με. Ἔλπισον
ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ. σωτήριον τοῦ
προσώπου μου καὶ ὁ θεός μου. Δόξα.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν. μγ΄. 43

Ὁ θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν. καὶ οἱ
πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν.
Ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡ-
μέραις ἀρχαίαις. Ἡ χείρ σου, ἔθνη ἐξωλό-
θρευσε καὶ κατεφύτευσας αὐτούς. ἐκάκω-
σας λαούς, καὶ ἐξέβαλες αὐτούς. Οὐ γὰρ ἐν
τῇ ῥομφαίᾳ αὐτῶν, ἐκληρονόμησαν γῆν. καὶ
ὁ βραχίων αὐτῶν, οὐκ ἔσωσεν αὐτούς.
Ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτι-

σμὸς τοῦ προσώπου σου· ὅτι εὐδόκησας ἐν αὐτοῖς·
Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου, καὶ ὁ θεός μου, ὁ ἐντελλό-
μενος τὰς σωτηρίας ἰακώβ· Ἐν σοὶ τοὺς ἐχθροὺς
ἡμῶν κερατιοῦμεν· καὶ ἐν τῷ ὀνόματί σου ἐξου-
δενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν· Οὐ
γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου
οὐ σώσει με· Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων
ἡμᾶς· καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας·
Ἐν τῷ θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν·
καὶ ἐν τῷ ὀνόματί σου, ἐξομολογησόμεθα εἰς
τὸν αἰῶνα· Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡ-
μᾶς· καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν
ἡμῶν· Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ
τοὺς ἐχθροὺς ἡμῶν· καὶ οἱ μισοῦντες ἡμᾶς διήρπα-
ζον ἑαυτοῖς· Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώ-
σεως· καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς· Ἀπέ-
δου τὸν λαόν σου ἄνευ τιμῆς· καὶ οὐκ ἦν πλῆθος
τοῖς ἀλαλάγμασιν ἡμῶν· Ἔθου ἡμᾶς ὄ-
νειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευ-
ασμὸν τοῖς κύκλῳ ἡμῶν· Ἔθου ἡμᾶς εἰς παραβολὴν

ἐν τοῖς ἔθνεσι. κίνησιν κεφαλῆς ἐν τοῖς λα-
οῖς. Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατέ-
ναντίον μου ἐστί. καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου
ἐκάλυψέ με. Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ κα-
ταλαλοῦντος. ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκ-
διώκοντος. Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ
οὐκ ἐπελαθόμεθά σου. καὶ οὐκ ἠδικήσαμεν ἐν τῇ
διαθήκῃ σου. Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ
καρδία ἡμῶν. καὶ ἐξέκλινας τὰς τρίβους ἡ-
μῶν ἀπὸ τῆς ὁδοῦ σου. Ὅτι ἐταπείνωσας
ἡμᾶς ἐν τόπῳ κακώσεως. καὶ ἐπεκάλυψεν
ἡμᾶς σκιὰ θανάτου. Εἰ ἐπελαθόμεθα τοῦ ὀ-
νόματος τοῦ θεοῦ ἡμῶν. καὶ εἰ διεπετάσαμεν
χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον, Οὐχὶ ὁ θεὸς ἐκ-
ζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύ-
φια τῆς καρδίας. Ὅτι ἕνεκά σου θανα-
τούμεθα ὅλην τὴν ἡμέραν. ἐλογίσθημεν ὡς
πρόβατα σφαγῆς. Ἐξεγέρθητι. ἵνα τί ὑπνοῖς
κύριε. ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος. Ἵνα τί τὸ
πρόσωπόν σου ἀποστρέφεις. ἐπιλανθάνῃ τῆς
πτωχείας

πτωχείας ἡμῶν, καὶ τῆς θλίψεως ἡμῶν. Ὅτι
ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν. ἐκολλήθη
εἰς γῆν ἡ γαστὴρ ἡμῶν. Ἀνάστα κύριε βοήθησον ἡ-
μῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου :~

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς
υἱοῖς κορὲ εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ. μδʹ 44

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγα-
θόν. λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασι-
λεῖ. Ἡ γλῶσσά μου κάλαμος γραμματέως
ὀξυγράφου. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς
τῶν ἀνθρώπων. ἐξεχύθη χάρις ἐν χείλεσί σου. διὰ τοῦ-
το εὐλόγησέ σε ὁ θεὸς εἰς τὸν αἰῶνα. Περίζωσαι
τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ.
Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. καὶ ἔν-
τεινε καὶ κατευοδοῦ καὶ βασίλευε. Ἕνεκεν ἀ-
ληθείας καὶ πραότητος καὶ δικαιοσύνης. καὶ
ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. Τὰ βέλη
σου ἠκονημένα δυνατέ. λαοὶ ὑποκάτω σου

πεσοῦνται· ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέ-
ως. Ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου.
Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνο-
μίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου, ἔλαιον ἀ-
γαλλιάσεως παρὰ τοὺς μετόχους σου. Σμύρ-
να καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου· ἀ-
πὸ βάρεων ἐλεφαντίνων ἐξ ὧν εὔφρανάν σε·
θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου. Παρέ-
στη ἡ βασίλισσα ἐκ δεξιῶν σου· ἐν ἱματισμῷ
διαχρύσῳ, περιβεβλημένη πεποικιλμένη.
Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου·
καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πα-
τρός σου. Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλ-
λους σου· ὅτι αὐτός ἐστι κύριός σου καὶ προσκυνή-
σεις αὐτῷ. Καὶ θυγάτηρ τύρου ἐν δώροις· τὸ
πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ
λαοῦ. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως
ἔσωθεν· ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλη-
μένη πεποικιλμένη. Ἀπενεχθήσονται τῷ βα

σιλεῖ παρθένοι ὀπίσω αὐτῆς· αἱ πλησίον αὐ-
τῆς ἀπενεχθήσονταί σοι. Ἀπενεχθήσονται ἐν εὐ-
φροσύνῃ καὶ ἀγαλλιάσει· ἀχθήσονται εἰς να-
ὸν βασιλέως. Ἀντὶ τῶν πατέρων σου, ἐγεννή-
θησαν οἱ υἱοί σου· καταστήσεις αὐτοὺς ἄρχον-
τας ἐπὶ πᾶσαν τὴν γῆν. Μνησθήσομαι τοῦ ὀ-
νόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Διὰ
τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα.
καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος:~

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ ὑπὲρ τῶν κρυ-
φίων ψαλμός. με.

Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις.
βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡ-
μᾶς σφόδρα. Διὰ τοῦτο οὐ φοβηθησόμεθα
ἐν τῷ ταράσσεσθαι τὴν γῆν· καὶ μετατίθεσθαι
ὄρη ἐν καρδίαις θαλασσῶν. Ἤχησαν καὶ ἐταρά-
χθησαν τὰ ὕδατα αὐτῶν· ἐταράχθησαν τὰ ὄρη ἐν
τῇ κραταιότητι αὐτοῦ. Τοῦ ποταμοῦ τὰ ὁρμή-

ματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ· ἡγίασε
τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος· Ὁ θεὸς ἐν μέσῳ
αὐτῆς καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ
θεὸς τὸ πρὸς πρωῒ πρωΐ· Ἐταράχθησαν ἔθνη· ἔ-
κλιναν βασιλεῖαι· ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕ-
ψιστος, ἐσαλεύθη ἡ γῆ· Κύριος τῶν δυνάμεων μεθ' ἡ-
μῶν· ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς ἰακώβ· Δεῦτε
καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ· ἃ ἔθετο τέρατα ἐπὶ
τῆς γῆς· ἀνταναιρῶν πολέμους μέχρι τῶν πε-
ράτων τῆς γῆς· Τόξον συντρίψει καὶ συνθλάσει
ὅπλον· καὶ θυρεοὺς κατακαύσει ἐν πυρί·
Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ θεός· ὑψω-
θήσομαι ἐν τοῖς ἔθνεσιν· ὑψωθήσομαι ἐν τῇ γῇ·
Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν· ἀντιλήπτωρ ἡ-
μῶν ὁ θεὸς ἰακώβ:~ Δόξα κάθισμα· ς

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν κορὲ ψαλμός· μϛ

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας· ἀλα-
λάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως·
Ὅτι

Ὅτι κς ὕψιστος· φοβερός· βασιλεὺς μέγας, ἐπὶ
πᾶσαν τὴν γῆν. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ
ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. Ἐξελέξατο ἡ-
μῖν τὴν κληρονομίαν ἑαυτῷ. τὴν καλλονὴν
ἰακὼβ, ἣν ἠγάπησεν. Ἀνέβη ὁ θς ἐν ἀλαλαγ-
μῷ· κς ἐν φωνῇ σάλπιγγος. Ψάλατε τῷ θῷ
ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψά-
λατε. Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θς, ψά-
λατε συνετῶς. Ἐβασίλευσεν ὁ θς ἐπὶ τὰ ἔθνη.
ὁ θς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. Ἄρχον-
τες λαῶν συνήχθησαν μετὰ τοῦ θῦ ἀβραάμ· ὅτι
τοῦ θῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν:~

Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς κορὲ δευτέρᾳ σαββάτου. μζ′

Μέγας κς, καὶ αἰνετὸς σφόδρα. ἐν πόλει
τοῦ θῦ ἡμῶν ἐν ὄρει ἁγίῳ αὐτοῦ. Εὐρί-
ζων ἀγαλλιάματι πάσης τῆς γῆς· ὄρη σιὼν τὰ
πλευρὰ τοῦ βορρᾶ. ἡ πόλις τοῦ βασιλέως τοῦ
μεγάλου. Ὁ θς ἐν ταῖς βάρεσιν αὐτῆς γινώ-

σεται. ὅταν ἀντιλαμβάνηται αὐτῆς.
Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν ἐπὶ τὸ
αὐτό. Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν. ἐτα-
ράχθησαν, ἐσαλεύθησαν. τρόμος ἐπελάβετο
αὐτῶν. Ἐκεῖ ὠδῖνες ὡς τικτούσης. ἐν πνεύ-
ματι βιαίῳ συντρίψεις πλοῖα θαρσεῖς. Κα-
θάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν. ἐν πόλει
κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ θεοῦ ἡμῶν. Ὁ θεὸς
ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. ὑπελάβο-
μεν ὁ θεὸς τὸ ἔλεός σου, ἐν μέσῳ τοῦ λαοῦ σου.
Κατὰ τὸ ὄνομά σου ὁ θεός, οὕτως καὶ ἡ αἴνεσίς σου
ἐπὶ τὰ πέρατα τῆς γῆς. δικαιοσύνης πλήρης
ἡ δεξιά σου. Εὐφρανθήτω ὄρος σιών, καὶ ἀγαλ-
λιάσθωσαν αἱ θυγατέρες τῆς ἰουδαίας ἕνεκεν
τῶν κριμάτων σου κύριε. Κυκλώσατε σιών, καὶ πε-
ριλάβετε αὐτήν, διηγήσασθε ἐν τοῖς πύργοις αὐ-
τῆς. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύνα-
μιν αὐτῆς. καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς.
ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. Ὅτι οὗ-
τός ἐστιν ὁ θεὸς ἡμῶν. εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα

τοῦ αἰῶνος· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας:~

Εἰς τὸ τέλος τοῖς υἱοῖς κορὲ ψαλμός. μή

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη· ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· Οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων· ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου· ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. Ἵνατί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ· ἡ ἀνομία τῆς πτέρνης μου, κυκλώσει με. Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; οὐ δώσει τῷ θεῷ ἐξίλασμα ἑαυτοῦ. Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ· καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα καὶ ζήσεται εἰς τέλος. Οὐκ ὄψεται καταφθορὰν ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας· ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται. Καὶ

καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐ-
τῶν· καὶ οἱ τάφοι αὐτῶν, οἰκίαι αὐτῶν εἰς τὸν
αἰῶνα. Σκηνώματα αὐτῶν, εἰς γενεὰν καὶ γενε-
άν. ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν
γαιῶν. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε· παρασυ-
νεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοι-
ώθη αὐτοῖς. Αὕτη ἡ ὁδὸς αὐτῶν, σκάνδα-
λον αὐτοῖς· καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐ-
τῶν εὐδοκήσουσιν. Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο.
θάνατος ποιμανεῖ αὐτούς. Καὶ κατακυρι-
εύσουσιν αὐτῶν, οἱ εὐθεῖς τὸ πρωΐ· καὶ ἡ βοήθεια,
αὐτῶν, παλαιωθήσεται ἐν τῷ ᾅδῃ· ἐκ τῆς δό-
ξης αὐτῶν ἐξώσθησαν. Πλὴν ὁ θεὸς λυτρώσεται
τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου· ὅταν λαμβάνῃ
με. Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν
πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. Ὅτι οὐκ
ἐν τῷ ἀποθνήσκειν αὐτὸν, λήψεται τὰ πάν-
τα. οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐ-
τοῦ. Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐ-
λογηθήσεται· ἐξομολογήσεταί σοι ὅταν ἀγα-

θύνῃς αὐτῷ. Εἰσελεύσεται ἕως γενεᾶς πατέ-
ρων αὐτοῦ. ἕως αἰῶνος οὐκ ὄψεται φῶς. Καὶ
ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε. παρασυνε-
βλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοι-
ώθη αὐτοῖς:~ Δόξα.

## Ψαλμὸς τῷ ἀσάφ. μθ'

Θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν
γῆν. ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυ-
σμῶν. Ἐκ σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐ-
τοῦ. Ὁ θεὸς ἐμφανῶς ἥξει. ὁ θεὸς ἡμῶν καὶ οὐ πα-
ρασιωπήσεται. Πῦρ ἐνώπιον αὐτοῦ καυθή-
σεται. καὶ κύκλῳ αὐτοῦ, καταιγὶς σφοδρά.
Προσκαλέσεται τὸν οὐρανὸν ἄνω. καὶ τὴν γῆν τοῦ
διακρῖναι τὸν λαὸν αὐτοῦ. Συναγάγετε αὐ-
τῷ τοὺς ὁσίους αὐτοῦ. τοὺς διατιθεμένους τὴν
διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. Καὶ ἀναγγελοῦ-
σιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ. ὅτι ὁ θεὸς κρι-
τής ἐστιν. Ἄκουσον λαός μου, καὶ λαλή-

σω σοι· ἰσραὴλ καὶ διαμαρτύρομαί σοι· ὁ θεὸς ὁ
θεός σου εἰμὶ ἐγώ· Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐ
λέγξω σε· τὰ δὲ ὁλοκαυτώματά σου, ἐνώπι
όν μου ἐστὶ διαπαντός· Οὐ δέξομαι ἐκ τοῦ οἴκου
σου μόσχους· οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους·
Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ· κτή
νη ἐν τοῖς ὄρεσι καὶ βόες· Ἔγνωκα πάντα τὰ
πετεινὰ τοῦ οὐρανοῦ· καὶ ὡραιότης ἀγροῦ μετ᾽ ἐμοῦ
ἐστιν· Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν
ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς· Μὴ φάγω
μαι κρέα ταύρων· ἢ αἷμα τράγων πίομαι;
Θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως· καὶ ἀπόδος
τῷ ὑψίστῳ τὰς εὐχάς σου· Καὶ ἐπικάλεσαί με
ἐν ἡμέρᾳ θλίψεώς σου· καὶ ἐξελοῦμαί σε, καὶ δο
ξάσεις με· Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός· ἵνα-
τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου· καὶ ἀναλαμ
βάνεις τὴν διαθήκην μου διὰ στόματός σου·
Σὺ δὲ ἐμίσησας παιδείαν· καὶ ἐξέβαλες τοὺς
λόγους μου εἰς τὰ ὀπίσω· Εἰ ἐθεώρεις κλέ-
πτην συνέτρεχες αὐτῷ καὶ μετὰ μοιχοῦ τὴν

μερίδα σου ἐτίθεις. Τὸ στόμα σου, ἐπλεόνασε
κακίαν. καὶ ἡ γλῶσσά σου, περιέπλεκε δολιό
τητας. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου
κατελάλεις. καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου
ἐτίθεις σκάνδαλον. Ταῦτα ἐποίησας, καὶ ἐσί-
γησα. ὑπέλαβες ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοι
ος. Ἐλέγξω σε. καὶ παραστήσω κατὰ πρόσω-
πόν σου τὰς ἁμαρτίας σου. Σύνετε δὴ ταῦ
τα οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ. μήποτε ἁρπά
σῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. Θυσία αἰνέσεως δο
ξάσει με. καὶ ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτή-
ριόν μου:~

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ, ἐν τῷ εἰσελθεῖν
πρὸς αὐτὸν νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλ
θε πρὸς βηρσαβεὲ τὴν γυναῖκα οὐρίου. ν' 50

Ἐλέησόν με ὁ θεός, κατὰ τὸ μέγα ἔλεός σου.
Καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου,
ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπιπλεῖον πλῦνόν με

με ἀπὸ τῆς ἀνομίας μου· καὶ ἀπὸ τῆς ἁμαρτίας μου,
καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώ-
σκω· καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαν-
τός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν
σου ἐποίησα. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις
σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν
ἀνομίαις συνελήφθην· καὶ ἐν ἁμαρτίαις ἐ-
κίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠ-
γάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφί-
ας σου, ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ,
καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιό-
να λευκανθήσομαι. Ἀκουτιεῖς μοι, ἀγαλλία-
σιν, καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τε-
ταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου
ἀπὸ τῶν ἁμαρτιῶν μου· καὶ πάσας τὰς ἀνομίας
μου, ἐξάλειψον. Καρδίαν καθαρὰν κτί-
σον ἐν ἐμοὶ ὁ θεός· καὶ πνεῦμα εὐθὲς, ἐγκαίνι-
σον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς
με ἀπὸ τοῦ προσώπου σου· καὶ τὸ πνεῦμά
σου τὸ ἅγιον, μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπὸ

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ
πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀ-
νόμους τὰς ὁδούς σου. καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπι-
στρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ θεὸς ὁ θεὸς τῆς
σωτηρίας μου. ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δι-
καιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις. καὶ τὸ
στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέ-
λησας θυσίαν, ἔδωκα ἄν. ὁλοκαυτώματα οὐκ
εὐδοκήσεις. Θυσία τῷ θεῷ, πνεῦμα συντετριμ-
μένον. καρδίαν συντετριμμένην καὶ τεταπει-
νωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον κύριε ἐν
τῇ εὐδοκίᾳ σου τὴν σιών. καὶ οἰκοδομηθήτω τὰ
τείχη ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δι-
καιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. τότε
ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Δόξα.

Εἰς τὸ τέλος συνέσεως τῷ Δαυΐδ, ἐν τῷ ἐλθεῖν Δω-
ὴκ τὸν ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ καὶ εἰπεῖν αὐ-
τῷ, ἦλθε Δαυΐδ εἰς τὸν οἶκον Ἀβιμέλεχ. να'

Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός. ἀνο-

μίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο
ἡ γλῶσσά σου. Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίη-
σας δόλον. Ἠγάπησας κακίαν ὑπὲρ ἀγα-
θωσύνην. ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιο-
σύνην. Ἠγάπησας πάντα ῥήματα κατα-
ποντισμοῦ. Γλῶσσαν δολίαν. Διὰ τοῦτο ὁ
θεὸς καθελοῖ σε εἰς τέλος. ἐκτίλαι σε καὶ με-
ταναστεῦσαί σε, ἀπὸ σκηνώματός σου. Καὶ τὸ
ῥίζωμά σου ἐκ γῆς ζώντων. Ὄψονται δί-
καιοι καὶ φοβηθήσονται. καὶ ἐπ' αὐτὸν γελά-
σονται καὶ ἐροῦσιν. Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔ-
θετο τὸν θεὸν βοηθὸν αὐτοῦ. Ἀλλ' ἐπήλπισεν ἐπὶ
τῷ πλήθει τοῦ πλούτου αὐτοῦ. καὶ ἐνεδυνα-
μώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ. Ἐγὼ δὲ
ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ.
Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ εἰς τὸν αἰῶνα, καὶ
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐξομολογήσο-
μαί σοι εἰς τὸν αἰῶνα ὅτι ἐποίησας. καὶ ὑπο-
μενῶ τὸ ὄνομά σου ὅτι χρηστὸν ἐναντίον τῶν
ὁσίων σου:~

46

## Εἰς τὸ τέλος ὑπὲρ μαελὲθ συνέσεως τῷ Δαβίδ. νβ΄ 52

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι θεός. Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις· οὐκ ἔστι ποιῶν ἀγαθόν. Ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων· τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός.
Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου. Τὸν κύριον οὐκ ἐπεκαλέσαντο· ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος. Ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· κατῃσχύνθησαν ὅτι ὁ θεὸς ἐξουδένωσεν αὐτούς. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ· ἐν τῷ ἐπιστρέψαι τὸν θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ. Ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ:~

Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως. τῷ Δαδ. ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαοὺλ, οὐκ ἰδοὺ Δαδ κέκρυπται παρ' ἡμῖν; νϛ

Ὁ θς ἐν τῷ ὀνόματί σου σῶσόν με· καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Ὁ θς εἰσάκουσον τῆς προσευχῆς μου· ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου. Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ· καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου· καὶ οὐ προέθεντο τὸν θν ἐνώπιον αὐτῶν. Ἰδοὺ γὰρ ὁ θς βοηθεῖ μοι· καὶ ὁ κς ἀντιλήπτωρ τῆς ψυχῆς μου.

Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου· ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

Ἑκουσίως θύσω σοι· ἐξομολογήσομαι τῷ ὀνόματί σου κε, ὅτι ἀγαθόν. Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με· καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου:~

Εἰς τὸ

## Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ ἀσάφ. νδ'

Ἐνώτισαι ὁ θεὸς τὴν προσευχήν μου, καὶ
μὴ ὑπερίδῃς τὴν δέησίν μου· πρόσχες
μοι καὶ εἰσάκουσόν μου· Ἐλυπήθην ἐν τῇ ἀ-
δολεσχίᾳ μου καὶ ἐταράχθην· ἀπὸ φωνῆς ἐ-
χθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ· Ὅτι
ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν· καὶ ἐν ὀργῇ ἐνεκό-
τουν μοι· Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί·
καὶ δειλία θανάτου, ἐπέπεσεν ἐπ' ἐμέ· Φό-
βος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ
με σκότος· Καὶ εἶπα, τίς δώσει μοι πτέρυ-
γας ὡσεὶ περιστερᾶς· καὶ πετασθήσομαι καὶ
καταπαύσω· Ἰδοὺ ἐμάκρυνα φυγαδεύων
καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ· Προσεδεχόμην τὸν
θεὸν τὸν σώζοντά με, ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ
καταιγίδος· Καταπόντισον κύριε καὶ καταδίε-
λε τὰς γλώσσας αὐτῶν· ὅτι εἶδον ἀνομίαν καὶ ἀν-
τιλογίαν ἐν τῇ πόλει· Ἡμέρας καὶ νυκτὸς κυ-

κλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς· καὶ ἀνομία·
καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία. Καὶ
οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος
καὶ δόλος. Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με ὑπή
νεγκα ἄν. Καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγα-
λορρημόνησεν· ἐκρύβην ἂν ἀπ' αὐτοῦ. Σὺ δὲ
ἄνθρωπε ἰσόψυχε, ἡγεμόν μου καὶ γνωστέ μου.
Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα· ἐν
τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ. Ἐλ
θέτω δὴ θάνατος ἐπ' αὐτούς· καὶ καταβήτωσαν
εἰς ᾅδου ζῶντες. Ὅτι πονηρία ἐν ταῖς παροικί
αις αὐτῶν· ἐν μέσῳ αὐτῶν. Ἐγὼ πρὸς τὸν θεὸν ἐκέ-
κραξα, καὶ ὁ κύριος εἰσήκουσέ μου. Ἑσπέρας καὶ πρωῒ
καὶ μεσημβρίας, διηγήσομαι καὶ ἀπαγγελῶ· καὶ εἰ
σακούσεται τῆς φωνῆς μου. Λυτρώσεται ἐν εἰρή-
νῃ τὴν ψυχήν μου· ἀπὸ τῶν ἐγγιζόντων μοι ὅτι ἐν
πολλοῖς ἦσαν σὺν ἐμοί. Εἰσακούσεται ὁ θεὸς καὶ τα
πεινώσει αὐτούς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.
Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα· ὅτι οὐκ ἐφοβή
θησαν τὸν θεόν· ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀ-

ποδιδόναι· βεβήλωσαν τὴν διαθήκην αὐ
τοῦ· διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου
αὐτοῦ· καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν· Ἡπα-
λύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον· καὶ αὐ
τοί εἰσι βολίδες· Ἐπίρριψον ἐπὶ κύριον τὴν μέρι
μνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς
τὸν αἰῶνα σάλον τῷ δικαίῳ· Σὺ δὲ ὁ θεὸς κα-
τάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς· Ἄν-
δρες αἱμάτων καὶ δολιότητος, οὐ μὴ ἡμισεύ-
σωσι τὰς ἡμέρας αὐτῶν· ἐγὼ δὲ κύριε ἐλπιῶ ἐ-
πὶ σέ:~

Δόξα κάθισμα. ζ´

Εἰς τὸ τέλος ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων
μεμακρυμμένου· τῷ Δαυῒδ εἰς στηλογραφίαν,
ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ. ΝΕ 55

Ἐλέησόν με ὁ θεὸς, ὅτι κατεπάτησέ με
ἄνθρωπος· ὅλην τὴν ἡμέραν πο-
λεμῶν ἔθλιψέ με· Κατεπάτησάν με
οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν· ὅτι πολλοὶ οἱ

πολεμοῦντές με ἀπὸ ὕψους. Ἡμέρας οὐ
φοβηθήσομαι· ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ. Ἐν τῷ
θεῷ ἐπαινέσω τοῖς λόγοις μου· ἐπὶ τῷ θεῷ ἤλ-
πισα, οὐ φοβηθήσομαι, τί ποιήσει μοι σάρξ.
Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσ-
σοντο· κατ᾽ ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐ-
τῶν εἰς κακόν. Παροικήσουσι καὶ κατακρύ-
ψουσιν αὐτοί· τὴν πτέρναν μου φυλάξουσι.
Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου, ὑπὲρ τοῦ
μηθενὸς σώσεις αὐτούς· ἐν ὀργῇ λαοὺς κατά-
ξεις. Ὁ θεός, τὴν ζωήν μου ἐξήγγειλά σοι· ἔθου
τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐ-
παγγελίᾳ σου. Ἐπιστρέψουσιν οἱ ἐχθροί μου
εἰς τὰ ὀπίσω· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί
σε, ἰδοὺ ἔγνων ὅτι θεός μου εἶ σύ. Ἐπὶ τῷ θεῷ αἰ-
νέσω ῥῆμα· ἐπὶ τῷ κυρίῳ αἰνέσω λόγον· ἐπὶ τῷ
θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄν-
θρωπος. Ἐν ἐμοὶ ὁ θεός, αἱ εὐχαὶ ἃς ἀποδώσω αἰ-
νέσεώς σου. Ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ
θανάτου· τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων·
καὶ τοὺς

καὶ τοὺς πόδας μου, ἀπὸ ὀλισθήματος. Εὐαρε-
στήσω ἐνώπιον κυρίου, ἐν φωτὶ ζώντων:~

Εἰς τὸ τέλος μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς στη-
λογραφίαν ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ
προσώπου σαοὺλ εἰς τὸ σπήλαιον. νϛ´

Ἐλέησόν με ὁ θεός, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ
πέποιθεν ἡ ψυχή μου. Καὶ ἐν τῇ σκιᾷ
τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθοι ἡ ἀ-
νομία. Κεκράξομαι πρὸς τὸν θεὸν τὸν ὕψιστον, τὸν
θεὸν τὸν εὐεργετήσαντά με. Ἐξαπέστειλεν ἐξ οὐρανοῦ
καὶ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τοὺς κατα-
πατοῦντάς με. Ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος αὐ-
τοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρρύσατο τὴν
ψυχήν μου ἐκ μέσου σκύμνων, ἐκοιμήθην τε-
ταραγμένος. Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν, ὅ-
πλα καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν, μάχαιρα
ὀξεῖα. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶ-
σαν τὴν γῆν ἡ δόξα σου. Παγίδα ἡτοίμασαν τοῖς

ποσί μου· καὶ κατέκαμψαν τὴν ψυχήν μου· Ὤρυ
ξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσον εἰς αὐ
τόν· Διάψαλμα. Ἑτοίμη ἡ καρδία μου ὁ θεός
ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δό
ξῃ μου. Ἐξεγέρθητι ἡ δόξα μου· ἐξεγέρθητι ψαλ
τήριον καὶ κιθάρα· ἐξεγερθήσομαι ὄρθρου. Ἐξο
μολογήσομαί σοι ἐν λαοῖς κύριε, ψαλῶ σοι ἐν ἔ-
θνεσιν. Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός
σου· καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Ὑψώθητι
ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου:~

Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ δαυῒδ εἰς στηλογραφίαν.

Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖ- νζ'
τε, εὐθεῖα κρίνατε υἱοὶ τῶν ἀνθρώπων. Καὶ γὰρ ἐν
καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ· ἀδικίαν αἱ
χεῖρες ὑμῶν συμπλέκουσιν. Ἀπηλλοτριώθη
σαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας· ἐπλανήθησαν
ἀπὸ γαστρός· ἐλάλησαν ψευδῆ. Θυμὸς αὐτοῖς
κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως· ὡσεὶ ἀσπίδος κωφῆς
καὶ βυούσης τὰ ὦτα αὐτῆς. Ἥτις οὐκ εἰσακούσεται

φωνῆς ἐπαδόντων· φαρμακοῦ τε φαρμακευο-
μένη παρὰ σοφοῦ. Ὁ θεὸς συνέτριψε τοὺς ὀδόντας
αὐτῶν ἐν τῷ στόματι αὐτῶν· τὰς μύλας τῶν λεόν-
των συνέθλασεν ὁ κύριος. Ἐξουδενωθήσονται ὡσεὶ
ὕδωρ διαπορευόμενον· ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως
οὗ ἀσθενήσουσιν. Ὡσεὶ κηρὸς τακεὶς ἀνταναι-
ρεθήσονται· ἐπέπεσε πῦρ ἐπ' αὐτοὺς, καὶ οὐκ εἶδον
τὸν ἥλιον. Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν
τὴν ῥάμνον· ὡσεὶ ζῶντας ὡσεὶ ἐν ὀργῇ καταπίεται
αὐτούς. Εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ ἐκ-
δίκησιν· τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁ-
μαρτωλοῦ. Καὶ ἐρεῖ ἄνθρωπος, εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ·
ἄρα ἐστὶν ὁ θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ. Δόξα.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαβὶδ εἰς στηλο-
γραφίαν, ὁπότε ἀπέστειλε Σαοὺλ καὶ ἐφύλα-
ξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν. νη

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ θεός· καὶ ἐκ τῶν ἐπα-
νισταμένων ἐπ' ἐμὲ, λύτρωσαί με. Ῥῦ

σαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν· καὶ ἐξ ἀν
δρῶν αἱμάτων σῶσόν με. Ὅτι ἰδοὺ ἐθήρευσαν
τὴν ψυχήν μου· ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί. Οὔ
τε ἡ ἀνομία μου· οὔτε ἡ ἁμαρτία μου κύριε· ἄνευ ἀνο
μίας ἔδραμον καὶ κατεύθυνα. Ἐξεγέρθητι
εἰς συνάντησίν μου καὶ ἴδε· καὶ σὺ κύριε ὁ θεὸς τῶν δυνά
μεων ὁ θεὸς τοῦ ἰσραήλ. Πρόσχες τοῦ ἐπισκέψασθαι
πάντα τὰ ἔθνη· μὴ οἰκτειρήσῃς πάντας τοὺς
ἐργαζομένους τὴν ἀνομίαν. Ἐπιστρέψουσιν εἰς
ἑσπέραν· καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώ
σουσι πόλιν. Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ
στόματι αὐτῶν· καὶ ῥομφαία ἐν τοῖς χείλεσιν
αὐτῶν· ὅτι τίς ἤκουσε. Καὶ σὺ κύριε ἐκγελάσεις
αὐτούς· ἐξουδενώσεις πάντα τὰ ἔθνη. Τὸ
κράτος μου πρὸς σὲ φυλάξω· ὅτι σὺ ὁ θεὸς ἀν
τιλήπτωρ μου εἶ. Ὁ θεός μου, τὸ ἔλεος αὐτοῦ
προφθάσει με· ὁ θεὸς μου δείξει μοι ἐν τοῖς ἐχθροῖς
μου. Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπι-
λάθωνται τοῦ νόμου σου. Διασκόρπισον αὐ
τοὺς ἐν τῇ δυνάμει σου· καὶ κατάγαγε αὐτοὺς

ὁ ὑπερασπιστής μου κε. Ἀμαρτίας στόματος
αὐτῶν, λόγος χειλέων αὐτῶν. καὶ συλληφθήτω
σαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν. Καὶ ἐξ ἀρᾶς
καὶ ψεύδους διαγγελήσονται ἐν συντελείᾳ. ἐν
ὀργῇ συντελείας καὶ οὐ μὴ ὑπάρξωσι. Καὶ γνώ
σονται ὅτι ὁ θεὸς δεσπόζει τοῦ ἰακὼβ, καὶ τῶν πε
ράτων τῆς γῆς. Ἐπιστρέψουσιν εἰς ἑσπέραν. καὶ
λιμώξουσιν ὡς κύων. καὶ κυκλώσουσι πό-
λιν. Αὐτοὶ διασκορπισθήσονται τοῦ φα-
γεῖν. ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσιν. Ἐγὼ
δὲ ᾄσομαι τῇ δυνάμει σου. καὶ ἀγαλλιάσο-
μαι τὸ πρωῒ τὸ ἔλεός σου. Ὅτι ἐγενήθης ἀν-
τιλήπτωρ μου καὶ καταφυγή μου. ἐν ἡμέρᾳ
θλίψεώς μου. Βοηθός μου εἶ, σοὶ ψαλῶ. ὅτι
σὺ ὁ θεὸς ἀντιλήπτωρ μου εἶ, ὁ θεός μου τὸ ἔλεός μου:~

Εἰς τὸ τέλος τοῖς ἀλλοιωθησομένοις εἰς στηλο
γραφίαν τῷ Δαδ εἰς διδαχήν. ὁπότε ἐνεπύρι
σε τὴν μεσοποταμίαν συρίας καὶ τὴν συρίαν σο

βάλ· καὶ ἐπέστρεψεν ἰωὰβ, καὶ ἐπάταξε τὴν ἐδὼμ
ἐν τῇ φάραγγι τῶν ἁλῶν· δώδεκα χιλιάδας. νθ΄

Ο θς ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς·
ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς. Συνέ
σεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· ἴασαι
τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη. Ἔδει
ξας τῷ λαῷ σου σκληρά· ἐπότισας ἡμᾶς οἶνον
κατανύξεως. Ἔδωκας τοῖς φοβουμένοις σε ση
μείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. Διά
ψαλμα. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου·
σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου. Ὁ θς ἐλά
λησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ἀγαλλιάσομαι καὶ διαμε
ριῶ σίκιμα· καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρή
σω. Ἐμός ἐστι γαλαὰδ καὶ ἐμός ἐστι μανασσῆς·
καὶ ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου. Ἰού
δας βασιλεύς μου, μωὰβ λέβης τῆς ἐλπίδος μου.
Ἐπὶ τὴν ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου·
ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. Τίς ἀπάξει με
εἰς πόλιν περιοχῆς, ἢ τίς ὁδηγήσει με ἕως τῆς
ἰδουμαίας. Οὐχὶ σὺ ὁ θς ὁ ἀπωσάμενος ἡ-

μᾶς; καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν
ἡμῶν. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως· καὶ μα-
ταία σωτηρία ἀνθρώπου. Ἐν τῷ θεῷ ποιήσομεν δύνα-
μιν· καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς:~

## Εἰς τὸ τέλος ἐν ὕμνοις τῷ Δαυὶδ ψαλμός. ξʹ 60

Εἰσάκουσον ὁ θεὸς τῆς δεήσεώς μου, πρό-
σχες τῇ προσευχῇ μου. Ἀπὸ τῶν περά-
των τῆς γῆς, πρὸς σὲ ἐκέκραξα. ἐν τῷ ἀκηδι-
άσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με.
Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου· πύρ-
γος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ. Παροικήσω ἐν τῷ
σκηνώματί σου εἰς τοὺς αἰῶνας· σκεπασθήσο-
μαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Ὅτι σὺ ὁ θεὸς
εἰσήκουσας τῶν εὐχῶν μου· ἔδωκας κληρονομίαν
τοῖς φοβουμένοις τὸ ὄνομά σου. Ἡμέρας ἐφ᾽ ἡ-
μέρας τοῦ βασιλέως προσθήσεις· τὰ ἔτη αὐτοῦ
ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς. Διαμενεῖ εἰς τὸν
αἰῶνα ἐνώπιον τοῦ θεοῦ· ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς

ἐκζητήσει. Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς
τοὺς αἰῶνας, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου
ἡμέραν ἐξ ἡμέρας. Δ

## Εἰς τὸ τέλος ὑπὲρ ἰδιθοὺμ ψαλμὸς τῷ Δαυΐδ. ξα'

Οὐχὶ τῷ θεῷ ὑποταγήσεται ἡ ψυχή μου;
παρ' αὐτῷ γὰρ τὸ σωτήριόν μου. Καὶ γὰρ αὐ-
τὸς θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ
σαλευθῶ ἐπὶ πλεῖον. Ἕως πότε ἐπιτίθεσθε
ἐπ' ἄνθρωπον; φονεύετε πάντες ὑμεῖς, ὡς τοίχῳ
κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ. Πλὴν τὴν
τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, ἔδραμον ἐν
δίψει. Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ
αὐτῶν κατηρῶντο. Πλὴν τῷ θεῷ ὑποτάγηθι ἡ ψυχή
μου, ὅτι παρ' αὐτῷ ἡ ὑπομονή μου. Ὅτι αὐτὸς θεός
μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ μετα-
ναστεύσω. Ἐπὶ τῷ θεῷ τὸ σωτήριόν μου, καὶ ἡ δό-
ξα μου. Ὁ θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς
μου ἐπὶ τῷ θεῷ. ἐλπίσατε ἐπ' αὐτὸν πᾶσα

συναγωγὴ λαῶν. Ἐκχέατε ἐνώπιον αὐτοῦ
τὰς καρδίας ὑμῶν. ὅτι ὁ θεὸς βοηθὸς ἡμῶν.
Πλὴν μάταιοι, οἱ υἱοὶ τῶν ἀνθρώπων. ψευδεῖς οἱ υἱοὶ τῶν
ἀνθρώπων. ἐν ζυγοῖς τοῦ ἀδικῆσαι, αὐτοὶ ἐκ
ματαιότητος ἐπὶ τὸ αὐτό. Μὴ ἐλπίζετε ἐπὶ ἀ-
δικίαν. καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. πλοῦ-
τος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. Ἅπαξ
ἐλάλησεν ὁ θεός, δύο ταῦτα ἤκουσα. ὅτι τὸ κρά-
τος τοῦ θεοῦ. καὶ σοῦ κύριε τὸ ἔλεος. Ὅτι σὺ ἀπο-
δώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ:~

Ψαλμὸς τῷ Δαβὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρή-
μῳ τῆς Ἰουδαίας. ξβ΄ 62

Θεὸς ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω. ἐδίψησέ
σοι ἡ ψυχή μου. ποσαπλῶς σοι ἡ σάρξ μου.
Ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. οὕτως ἐν
τῷ ἁγίῳ ὤφθην σοι. τοῦ ἰδεῖν τὴν δύναμίν
σου καὶ τὴν δόξαν σου. Ὅτι κρεῖσσον τὸ ἔλεός
σου ὑπὲρ ζωάς. τὰ χείλη μου ἐπαινέσουσί σε.

Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου· ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου· Ὡσεὶ ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου· καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου· Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ· Ὅτι ἐγενήθης βοηθός μου· καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι· Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου· Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας· μερίδες ἀλωπέκων ἔσονται· Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ θεῷ· ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ· Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα:~

## Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαδ'. ξγʹ

Εἰσάκουσον ὁ θεὸς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ· ἀπὸ φόβου ἐχθροῦ

ἐξελοῦ τὴν ψυχήν μου. Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων. ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν. Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν. ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρόν. Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. ἐξάπινα κατατοξεύσουσιν αὐτόν, καὶ οὐ φοβηθήσονται. Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν. διηγήσαντο τοῦ κρύψαι παγίδα. Εἶπον, τίς ὄψεται αὐτούς. ἐξηρεύνησαν ἀνομίαν. ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις. Προσελεύσεται ἄνθρωπος καὶ καρδία βαθεῖα. καὶ ὑψωθήσεται ὁ θεός. Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν. καὶ ἐξησθένησαν ἐπ᾽ αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς. καὶ ἐφοβήθη πᾶς ἄνθρωπος. Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ θεοῦ. καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν. Εὐφρανθήσεται δίκαιος ἐν τῷ κυρίῳ, καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν. Καὶ ἐπαινεσθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ:~

Δόξα κάθισμα. ιγ

Εἰς τὸ τέλος ψαλμὸς ᾠδῆς τῷ Δαυΐδ. ᾠδὴ Ἱερεμίου καὶ Ἰεζεκιὴλ τοῦ λαοῦ τῆς παροικίας. ὅτε ἔμελλον ἐκπορεύεσθαι. ξδʹ 64

Σοὶ πρέπει ὕμνος ὁ θεὸς ἐν σιών. καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν ἱερουσαλήμ. Εἰσάκουσον προσευχῆς μου. πρὸς σὲ πᾶσα σὰρξ ἥξει. Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς. καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ. Μακάριος, ὃν ἐξελέξω καὶ προσελάβου. κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. ἅγιος ὁ ναός σου. θαυμαστὸς ἐν δικαιοσύνῃ. Ἐπάκουσον ἡμῶν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν. ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν. Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ. περιεζωσμένος ἐν δυναστείᾳ. Ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης. ἤχους κυμάτων αὐτῆς, τίς ὑποστήσεται. Ταραχθήσονται τὰ ἔθνη καὶ φοβηθήσονται

οἱ κατοι

55.

οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων
σου. Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις. ἐπε
σκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν. Ἐπλήθυ-
νας τοῦ πλουτίσαι αὐτήν. ὁ ποταμὸς τοῦ θεοῦ ἐπλη
ρώθη ὑδάτων. Ἡτοίμασας τὴν τροφὴν αὐτῶν
ὅτι οὕτως ἡ ἑτοιμασία. τοὺς αὔλακας αὐτῆς
μέθυσον. Πλήθυνον τὰ γεννήματα αὐτῆς. ἐν
ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλ
λουσα. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ
τῆς χρηστότητός σου. καὶ τὰ πεδία σου πλη-
σθήσονται πιότητος. Πιανθήσονται τὰ ὡ-
ραῖα τῆς ἐρήμου. καὶ ἀγαλλίασιν οἱ βουνοὶ
περιζώσονται. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προ
βάτων. καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον. κε-
κράξονται, καὶ γὰρ ὑμνήσουσιν:~

Εἰς τὸ τέλος ᾠδὴ ψαλμοῦ ἀναστάσεως. ξέ. 65

Ἀλαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ, ψάλα
τε δὴ τῷ ὀνόματι αὐτοῦ. Δότε δό-

ξαν αἰνέσει αὐτοῦ. εἴπατε τῷ θεῷ ὡς φοβερὰ
τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύ
σονταί σε οἱ ἐχθροί σου. Πᾶσα ἡ γῆ προσκυνησάτω
σάν σοι καὶ ψαλάτωσάν σοι. ψαλάτωσαν δὴ τῷ
ὀνόματί σου ὕψιστε. Διάψαλμα. Δεῦτε καὶ
ἴδετε τὰ ἔργα τοῦ θεοῦ. ὡς φοβερὸς ἐν βουλαῖς
ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ὁ μεταστρέφων τὴν
θάλασσαν εἰς ξηράν. ἐν ποταμῷ διελεύσονται πο
δί. Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ. Τῷ δε-
σπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος.
Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπου-
σιν. οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν
ἑαυτοῖς. Διάψαλμα. Εὐλογεῖτε ἔθνη τὸν
θεὸν ἡμῶν. καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσε
ως αὐτοῦ. Τοῦ θεμένου τὴν ψυχήν μου εἰς
ζωήν. καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.
ὅτι ἐδοκίμασας ἡμᾶς ὁ θεός. Ἐπύρωσας ἡ-
μᾶς ὡς πυροῦται τὸ ἀργύριον. εἰσήγαγες ἡ-
μᾶς εἰς τὴν παγίδα. Ἔθου θλίψεις ἐπὶ τὸν νῶ
τον ἡμῶν. ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφα

λὰς ἡμῶν. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος.
καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Εἰσελεύσομαι
εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν. ἀποδώ-
σω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου.
Καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. Ὁλο-
καυτώματα μεμυελωμένα ἀνοίσω σοι μετὰ
θυμιάματος καὶ κριῶν. ἀνοίσω σοι βόας μετὰ
χιμάρων. Διάψαλμα. Δεῦτε ἀκούσατε καὶ
διηγήσομαι ὑμῖν πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅ-
σα ἐποίησε τῇ ψυχῇ μου. Πρὸς αὐτὸν τῷ στόμα-
τί μου ἐκέκραξα. καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν
μου. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ
εἰσακουσάτω μου Κύριος. Διὰ τοῦτο εἰσήκουσέ
μου ὁ Θεός. προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου.
Εὐλογητὸς ὁ Θεὸς ὃς οὐκ ἀπέστησε τὴν προσευ-
χήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ:~

Εἰς τὸ τέλος ἐν ὕμνοις ψαλμὸς ᾠδῆς τῷ Δαυίδ. ξς'

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς

ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ
ἐλεῆσαι ἡμᾶς. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν
σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. Ἐξομολο-
γησάσθωσάν σοι λαοὶ ὁ θεός, ἐξομολογησάσθωσάν
σοι λαοὶ πάντες. Εὐφρανθήτωσαν καὶ ἀγαλ-
λιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι,
καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Ἐξομολογησάσθω-
σάν σοι λαοὶ ὁ θεός, ἐξομολογησάσθωσάν σοι λα-
οὶ πάντες. γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Εὐ-
λογήσαι ἡμᾶς ὁ θεός, ὁ θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς
ὁ θεός. Καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέ-
ρατα τῆς γῆς:~ Δόξα.

## Εἰς τὸ τέλος ᾠδῆς ψαλμὸς τῷ Δαδ. ξζʹ 67

Ἀναστήτω ὁ θεὸς καὶ διασκορπισθήτω-
σαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀ-
πὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν, ὡς τή-
κεται κηρὸς ἀπὸ προσώπου πυρός. Οὕτως

ἀπολοῦνται

ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου
τοῦ θεοῦ. καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. Ἀγαλ-
λιάσθωσαν ἐνώπιον τοῦ θεοῦ. τερφθήτωσαν ἐν
εὐφροσύνῃ. Ἄσατε τῷ θεῷ. ψάλατε τῷ ὀνό-
ματι αὐτοῦ. ὁδοποιήσατε τῷ ἐπιβεβηκότι
ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ. καὶ ἀγαλλιᾶ-
σθε ἐνώπιον αὐτοῦ. Ταραχθήτωσαν ἀπὸ προ-
σώπου αὐτοῦ. τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ
τῶν χηρῶν. ὁ θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ. Ὁ θεὸς κα-
τοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξάγων πεπεδη-
μένους ἐν ἀνδρείᾳ. Ὁμοίως τοὺς παραπι-
κραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις.
Ὁ θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ
σου. ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ, Γῆ ἐσεί-
σθη. καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν. ἀπὸ προσώπου τοῦ
θεοῦ τοῦ σινᾶ. ἀπὸ προσώπου τοῦ θεοῦ ἰσραήλ.
Βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ θεὸς τῇ κληρονο-
μίᾳ σου. καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.
Τὰ ζῷά σου κατοικοῦσιν ἐν αὐτῇ. ἡτοίμα-
σας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ θεός. Κς

δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει
πολλῇ. ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπη-
τοῦ. τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.
Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, πτέρυ-
γες περιστερᾶς περιηργυρωμέναι. καὶ τὰ με-
τάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.
Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐ-
τῆς, χιονωθήσονται ἐν Σελμών. Ὄρος τοῦ θεοῦ
ὄρος πῖον. ὄρος τετυρωμένον, ὄρος πῖον. Ἵνα
τί ὑπολαμβάνετε ὄρη τετυρωμένα. τὸ ὄρος
ὃ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ. Καὶ γὰρ
ὁ κύριος κατασκηνώσει εἰς τέλος. τὸ ἅρμα τοῦ
θεοῦ μυριοπλάσιον. χιλιάδες εὐθηνούντων. Κύριος
ἐν αὐτοῖς ἐν Σινᾷ ἐν τῷ ἁγίῳ. ἀνέβης εἰς ὕψος
ᾐχμαλώτευσας αἰχμαλωσίαν. Ἔλαβες δό-
ματα ἐν ἀνθρώποις. καὶ γὰρ ἀπειθοῦντας τοῦ κατα-
σκηνῶσαι. Κύριος ὁ θεὸς εὐλογητός. εὐλογητὸς κύριος ἡμέ-
ραν καθ' ἡμέραν. Κατευοδώσαι ἡμῖν ὁ θεὸς τῶν
σωτηρίων ἡμῶν. ὁ θεὸς ἡμῶν, ὁ θεὸς τοῦ σώζειν, καὶ τοῦ κυρίου κυρίου
αἱ διέξοδοι τοῦ θανάτου. Πλὴν ὁ θεὸς συνθλάσει

κεφαλὰς ἐχθρῶν αὐτοῦ· κορυφὴν τριχὸς δια
πορευομένων ἐν πλημμελείαις αὐτῶν. Εἶπε κύριος· ἐκ
βασὰν ἐπιστρέψω· ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης.
Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι· ἡ γλῶσ
σα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ. Ἐθεωρή
θησαν αἱ πορεῖαί σου ὁ θεός· αἱ πορεῖαι τοῦ θεοῦ μου
τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. Προέφθασαν
ἄρχοντες ἐχόμενα ψαλλόντων· ἐν μέσῳ νεανί
δων τυμπανιστριῶν. Ἐν ἐκκλησίαις εὐλογεῖ
τε τὸν θεόν· κύριον ἐκ πηγῶν ἰσραήλ. Ἐκεῖ βενια
μὶν νεώτερος ἐν ἐκστάσει· ἄρχοντες ἰούδα ἡ
γεμόνες αὐτῶν· ἄρχοντες ζαβουλὼν· ἄρχον
τες νεφθαλείμ. Ἔντειλαι ὁ θεὸς τῇ δυνάμει
σου· Δυνάμωσον ὁ θεὸς, τοῦτο, ὃ κατειργάσω ἐν
ἡμῖν· ἀπὸ τοῦ ναοῦ σου ἐπὶ ἱερουσαλήμ. Σοὶ οἴ
σουσι βασιλεῖς δῶρα. ἐπιτίμησον τοῖς θη
ρίοις τοῦ καλάμου. Ἡ συναγωγὴ τῶν ταύρων ἐν
ταῖς δαμάλεσι τῶν λαῶν· τοῦ ἐκκλεισθῆναι τοὺς
δεδοκιμασμένους τῷ ἀργυρίῳ. Διασκόρ-
πισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.

ἥξουσι πρέσβεις ἐξ αἰγύπτου. αἰθιοπία προ-
φθάσει χεῖρα αὐτῆς τῷ θεῷ. Αἱ βασιλεῖαι
τῆς γῆς, ᾄσατε τῷ θεῷ, ψάλατε τῷ κυρίῳ. Διά-
ψαλμα. Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐ-
ρανοῦ κατὰ ἀνατολάς. Ἰδοὺ δώσει τῇ φω-
νῇ αὐτοῦ, φωνὴν δυνάμεως. δότε δόξαν τῷ θεῷ.
Ἐπὶ τὸν ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ. καὶ
ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. Θαυμα-
στὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. ὁ θεὸς ἰσραήλ. Αὐ-
τὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ
αὐτοῦ, εὐλογητὸς ὁ θεός :~ Δόξα.

## Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων ψαλ-μὸς τῷ δαβίδ. ξη΄

Σῶσόν με ὁ θεὸς ὅτι εἰσήλθοσαν ὕδατα
ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ἰλὺν βυ-
θοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. ἦλθον εἰς τὰ βάθη τῆς
θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. Ἐκο-
πίασα κράζων. ἐβραχίασεν ὁ λάρυγξ μου. Ἐξέ-

λιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ
τὸν θεόν μου. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας
τῆς κεφαλῆς μου, οἱ μισοῦντές με δωρεάν.
Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκον-
τές με ἀδίκως. Ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυ-
ον. Ὁ θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μου· καὶ αἱ πλημ-
μέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν. Μὴ αἰσχυν-
θείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε κύριε· κύριε τῶν δυ-
νάμεων. μὴ δὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζη-
τοῦντές σε ὁ θεὸς τοῦ ἰσραήλ. Ὅτι ἕνεκα σοῦ ὑ-
πήνεγκα ὀνειδισμόν· ἐκάλυψεν ἐντροπὴ τὸ
πρόσωπόν μου. Ἀπηλλοτριωμένος ἐγενή-
θην τοῖς ἀδελφοῖς μου· καὶ ξένος τοῖς υἱοῖς
τῆς μητρός μου. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου
κατέφαγέ με· καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόν-
των σε ἐπέπεσον ἐπ' ἐμέ. Καὶ συνεκάλυ-
ψα ἐν νηστείᾳ τὴν ψυχήν μου· καὶ ἐγενήθη εἰς
ὀνειδισμοὺς ἐμοί. Καὶ ἐθέμην τὸ ἔνδυμά μου
σάκκον· καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.
Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις.

καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον. Ἐγὼ δὲ
τῇ προσευχῇ μου πρὸς σέ. κύριε καιρὸς εὐδοκίας.
Ὁ θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου.
ἐν ἀληθείᾳ τῆς σωτηρίας σου, σῶσόν με ἀπὸ πη-
λοῦ, ἵνα μὴ ἐμπαγῶ. Ῥυσθείην ἐκ τῶν μισούντων
με. καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. Μή με κατα-
ποντισάτω καταιγὶς ὕδατος. μηδὲ καταπι-
έτω με βυθός. μηδὲ συσχέτω ἐπ᾽ ἐμὲ φρέαρ τὸ
στόμα αὐτοῦ. Εἰσάκουσόν μου κύριε, ὅτι χρηστὸν τὸ
ἔλεός σου. κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐ-
πίβλεψον ἐπ᾽ ἐμέ. Μὴ ἀποστρέψῃς τὸ πρόσω-
πόν σου ἀπὸ τοῦ παιδός σου. ὅτι θλίβομαι, τα-
χὺ ἐπάκουσόν μου. πρόσχες τῇ ψυχῇ μου, καὶ λύ-
τρωσαι αὐτήν. Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.
σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰ-
σχύνην μου, καὶ τὴν ἐντροπήν μου. Ἐναντίον σου
πάντες οἱ θλίβοντές με. ὀνειδισμὸν προσεδό-
κησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν. Καὶ ὑ-
πέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε. καὶ
παρακαλοῦντας, καὶ οὐχ εὗρον. Καὶ ἔδωκαν

εἰς τὸ βρῶμά μου χολήν· καὶ εἰς τὴν δίψαν
μου, ἐπότισάν με ὄξος. Γενηθήτω ἡ τράπεζα
αὐτῶν, ἐνώπιον αὐτῶν, εἰς παγίδα καὶ εἰς ἀν-
ταπόδοσιν καὶ εἰς σκάνδαλον. Σκοτισθήτω-
σαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν· καὶ τὸν
νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον. Ἔκχε-
ον ἐπ' αὐτοὺς τὴν ὀργήν σου· καὶ ὁ θυμὸς τῆς ὀρ-
γῆς σου καταλάβοι αὐτούς. Γενηθήτω ἡ ἔ-
παυλις αὐτῶν ἠρημωμένη· καὶ ἐν τοῖς σκη-
νώμασιν αὐτῶν, μὴ ἔστω ὁ κατοικῶν. Ὅτι ὃν
σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν· καὶ ἐπὶ τὸ
ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. Πρό-
σθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν· καὶ μὴ εἰ-
σελθέτωσαν ἐν δικαιοσύνῃ σου. Ἐξαλειφθή-
τωσαν ἐκ βίβλου ζώντων· καὶ μετὰ δικαίων μὴ
γραφήτωσαν. Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ·
ἡ σωτηρία σου ὁ θεός, ἀντιλάβοιτό μου. Αἰνέσω τὸ
ὄνομα τοῦ θεοῦ μου μετ' ᾠδῆς· μεγαλυνῶ αὐ-
τὸν ἐν αἰνέσει· καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μό-
σχον νέον· κέρατα ἐκφέροντα καὶ ὁπλάς.

ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν· ἐκζητήσατε τὸν θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ κύριος· καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ· θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ. Ὅτι ὁ θεὸς σώσει τὴν σιών· καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς ἰουδαίας. Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν· καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν. Καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ:~

Εἰς τὸ τέλος τῷ Δαυὶδ εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με (κυ· ξθ´

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες· κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμε

(νοι οἱ

μοι οἱ λέγοντές μοι εὖγε εὖγε. Ἀγαλλιάσθωσαν
καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦν-
τές σε ὁ θεός. Καὶ λεγέτωσαν διὰ παντὸς, μεγα-
λυνθήτω ὁ κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.
Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ θεὸς βοήθησόν
μοι. βοηθός μου καὶ ῥύστης μου εἶ σύ, κύριε μὴ χρο-
νίσῃς:~ Δόξα κάθισμα. θ'

Τῷ Δαβὶδ ψαλμὸς τῶν υἱῶν Ἰωναδὰβ, καὶ τῶν
πρώτων αἰχμαλωτισθέντων. ἀνεπίγραφος
παρ' Ἑβραίοις. ο' 70

Ἐπὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην
εἰς τὸν αἰῶνα. Ἐν τῇ δικαιοσύνῃ σου
ῥῦσαί με καὶ ἐξελοῦ με. Κλῖνον πρός με τὸ οὖς
σου καὶ σῶσόν με. Γενοῦ μοι εἰς θεὸν ὑπερασπι-
στήν. καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με. Ὅτι
στερέωμά μου καὶ καταφυγή μου εἶ σύ. Ὁ θεός
μου ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ. ἐκ χειρὸς
παρανομοῦντος καὶ ἀδικοῦντος. Ὅτι σὺ εἶ ἡ

ὑπομονή μου κε, κε ἡ ἐλπίς μου ἐκ νεότητός μου. Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός. ἐκ κοιλίας μητρός μου, σύ μου εἶ σκεπαστής. Ἐν σοὶ ἡ ὕμνησίς μου διὰ παντός. ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς. καὶ σὺ βοηθός μου κραταιός. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου. ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρως. ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με. Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί. καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό. Λέγοντες, ὁ θς ἐγκατέλιπεν αὐτόν. καταδιώξατε καὶ καταλάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος. Ὁ θς μου, μὴ μακρύνῃς ἀπ᾿ ἐμοῦ. ὁ θς μου, εἰς τὴν βοήθειάν μου πρόσχες. Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου. περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι. Ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ ἐπὶ σέ. καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου. Τὸ

στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου· ὅλην
τὴν ἡμέραν τὴν σωτηρίαν σου. Ὅτι οὐκ ἔγνων γραμ-
ματείας, εἰσελεύσομαι ἐν δυναστείᾳ κυρίου· κύριε μνη-
σθήσομαι τῆς δικαιοσύνης σου μόνου. Ὁ θεός μου
ἐδίδαξάς με ἐκ νεότητός μου, καὶ μέχρι τοῦ νῦν
ἀπαγγελῶ τὰ θαυμάσιά σου· καὶ ἕως γήρως καὶ
πρεσβείου. Ὁ θεός μου μὴ ἐγκαταλίπῃς με ἕως
ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πά-
σῃ τῇ ἐρχομένῃ. Τὴν δυναστείαν σου καὶ τὴν
δικαιοσύνην σου ὁ θεὸς ἕως τῶν ὑψίστων. Ἃ ἐποί-
ησάς μοι μεγαλεῖα, ὁ θεὸς τίς ὅμοιός σοι. Ὅσας
ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς· καὶ
ἐπιστρέψας ἐζωοποίησάς με· καὶ ἐκ τῶν ἀβύσ-
σων τῆς γῆς ἀνήγαγές με. Ἐπλεόνασας ἐπ' ἐ-
μὲ τὴν μεγαλωσύνην σου· καὶ ἐπιστρέψας πα-
ρεκάλεσάς με· καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πά-
λιν ἀνήγαγές με. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί
σοι ἐν λαοῖς κύριε· ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθει-
άν σου ὁ θεός. Ψαλῶ σοι ἐν κιθάρᾳ ὁ ἅγιος τοῦ
Ἰσραήλ. Ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψαλῶ

σοι, καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω. Ἔτι δὲ καὶ ἡ γλῶσ-
σά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαι-
οσύνην σου. Ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶ-
σιν, οἱ ζητοῦντες τὰ κακά μοι:~

Εἰς Σαλωμὼν ψαλμὸς τῷ Δαδ'. οα' 71.

Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός. καὶ
τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασι-
λέως. Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ
τοὺς πτωχούς σου ἐν κρίσει. Ἀναλαβέτω τὰ
ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην.
Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς
υἱοὺς τῶν πενήτων. Καὶ ταπεινώσει συκο-
φάντην, καὶ συμπαραμενεῖ τῷ ἡλίῳ. Καὶ
πρὸ τῆς σελήνης γενεὰς γενεῶν. Καταβήσε-
ται ὡς ὑετὸς ἐπὶ πόκον. καὶ ὡσεὶ σταγὼν ἡ στά-
ζουσα ἐπὶ τὴν γῆν. Ἀνατελεῖ ἐν ταῖς ἡμέ-
ραις αὐτοῦ δικαιοσύνη. καὶ πλῆθος εἰρήνης.
ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. Καὶ κατακυ-
ριεύσει ἀπὸ

ριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ
ποταμῶν ἕως περάτων τῆς οἰκουμένης. Ἐνώ-
πιον αὐτοῦ προπεσοῦνται αἰθίοπες. καὶ οἱ ἐχθροὶ
αὐτοῦ, χοῦν λείξουσι. Βασιλεῖς θαρσεῖς καὶ
νῆσοι, δῶρα προσοίσουσι. βασιλεῖς ἀράβων
καὶ σαβᾶ, δῶρα προσάξουσι. Καὶ προσκυνή-
σουσιν αὐτῷ, πάντες οἱ βασιλεῖς τῆς γῆς.
πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ. Ὅτι ἐρ-
ρύσατο πτωχὸν ἐκ δυνάστου. καὶ πένητα, ᾧ οὐχ
ὑπῆρχε βοηθός. Φείσεται πτωχοῦ καὶ πένη-
τος. καὶ ψυχὰς πενήτων σώσει. Ἐκ τόκου καὶ ἐξ
ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν. καὶ
ἔντιμον τὸ ὄνομα αὐτοῦ, ἐνώπιον αὐτῶν.
Καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου
τῆς ἀραβίας. καὶ προσεύξονται περὶ αὐτοῦ
διαπαντός. Ὅλην τὴν ἡμέραν εὐλογήσου-
σιν αὐτόν. ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ᾿ ἄκρων
τῶν ὀρέων. Ὑπεραρθήσεται ὑπὲρ τὸν λίβα-
νον ὁ καρπὸς αὐτοῦ. καὶ ἐξανθήσουσιν ἐκ πό-
λεως, ὡσεὶ χόρτος τῆς γῆς. Ἔσται τὸ ὄνομα αὐτοῦ
εὐλογημένον εἰς τοὺς αἰῶνας. πρὸ τοῦ ἡλίου δια

μένον τὸ ὄνομα αὐτοῦ. Καὶ ἐνευλογηθήσονται
ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. πάντα τὰ
ἔθνη μακαριοῦσιν αὐτόν. Εὐλογητὸς κύριος ὁ θεὸς
τοῦ ἰσραήλ. ὁ ποιῶν θαυμάσια μόνος. Καὶ
εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰ-
ῶνα. καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ πλη-
ρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. γένοιτο
γένοιτο:~ Δόξα.

Ἐξέλιπον οἱ ὕμνοι δαβὶδ υἱοῦ ἰεσσαί. ψαλμὸς
τῷ ἀσάφ. οβʹ

Ὡς ἀγαθὸς ὁ θεὸς τῷ ἰσραήλ, τοῖς εὐθέσι
τῇ καρδίᾳ. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσα-
λεύθησαν οἱ πόδες. παρ' ὀλίγον ἐξεχύθη τὰ δια-
βήματά μου. Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις
εἰρήνην ἁμαρτωλῶν θεωρῶν. Ὅτι οὐκ ἔστιν
ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν. καὶ στερέωμα
ἐν τῇ μάστιγι αὐτῶν. Ἐν κόποις ἀνθρώπων
οὐκ εἰσί. καὶ μετὰ ἀνθρώπων οὐ μαστιγω-

θήσονται. διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπε
ρηφανία αὐτῶν εἰς τέλος. Περιεβάλοντο
ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν. ἐξελεύσεται
ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν. Διήλθοσαν εἰς
διάθεσιν καρδίας. διενοήθησαν καὶ ἐλάλησαν
ἐν πονηρίᾳ. ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.
Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν. καὶ ἡ γλῶσσα
αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς. Διὰ τοῦτο ἐπιστρέ
ψει ὁ λαός μου ἐνταῦθα. καὶ ἡμέραι πλήρεις εὑ
ρεθήσονται ἐν αὐτοῖς. Καὶ εἶπον πῶς ἔγνω ὁ
θεός. καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ. Ἰδοὺ οὗτοι οἱ ἁμαρ
τωλοὶ καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα, κατέσχον πλού
του. Καὶ εἶπα, ἄρα ματαίως ἐδικαίωσα τὴν καρ
δίαν μου. καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου.
Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέ
ραν. καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας. Εἰ ἔ
λεγον διηγήσομαι οὕτως. ἰδοὺ τῇ γενεᾷ τῶν
υἱῶν σου ἠσυνθέτηκας, καὶ ὑπέλαβον τοῦ γνῶ-
ναι. Τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου. ἕως
οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ θεοῦ καὶ συνῶ

εἰς τὰ ἔσχατα αὐτῶν. Πλὴν διὰ τὰς δολιότη-
τας αὐτῶν, ἔθου αὐτοῖς κακά. κατέβαλες
αὐτοὺς ἐν τῷ ἐπαρθῆναι. Πῶς ἐγένοντο εἰς
ἐρήμωσιν ἐξάπινα. ἐξέλιπον, ἀπώλοντο, διὰ
τὴν ἀνομίαν αὐτῶν. Ὡσεὶ ἐνύπνιον ἐξεγειρο-
μένου. κε ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν
ἐξουδενώσεις. Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ
οἱ νεφροί μου, ἠλλοιώθησαν. Κἀγὼ ἐξουδενω-
μένος, καὶ οὐκ ἔγνων. κτηνώδης ἐγενήθην πα-
ρὰ σοί, κἀγὼ διὰ παντὸς μετὰ σοῦ. Ἐκράτη-
σας τῆς χειρὸς τῆς δεξιᾶς μου. καὶ ἐν τῇ βουλῇ σου
ὡδήγησάς με. καὶ μετὰ δόξης προσελάβου με.
Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐνῷ. καὶ παρὰ σοῦ
τί ἠθέλησα ἐπὶ τῆς γῆς. Ἐξέλιπεν ἡ καρδία-
μου καὶ ἡ σάρξ μου. ὁ θς τῆς καρδίας μου. καὶ ἡ
μερίς μου ὁ θς εἰς τὸν αἰῶνα. Ὅτι ἰδοὺ οἱ μα-
κρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται.
ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.
Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ θῷ, ἀγαθόν ἐστι.
τίθεσθαι ἐν τῷ κῷ τὴν ἐλπίδα μου. Τοῦ ἐξαγ-
γεῖλαι

γεῖλαί με πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύ-
λαις τῆς θυγατρὸς σιών:~

## Συνέσεως τῷ ἀσάφ. οϛ 73.

Ἵνα τί ὁ θεὸς ἀπώσω εἰς τέλος· ὠργί-
σθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου.
Μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀ-
π' ἀρχῆς· ἐλυτρώσω ῥάβδον κληρονομίας σου.
Ὄρος σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ·
ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανί-
ας αὐτῶν εἰς τέλος. Ὅσα ἐπονηρεύσατο ὁ ἐ-
χθρὸς ἐν τῷ ἁγίῳ σου· καὶ ἐνεκαυχήσαντο
οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. Ἔθεν-
το τὰ σημεῖα αὐτῶν, σημεῖα· καὶ οὐκ ἔγνωσαν·
ὡς εἰς τὴν ἔξοδον ὑπεράνω. Ὡς ἐν δρυμῷ ξύ-
λων, ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ
τὸ αὐτό· ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρρα-
ξαν αὐτήν. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήρι-
όν σου· εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα

τοῦ ὀνόματός σου. Εἶπον ἐν τῇ καρδίᾳ αὐ-
τῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό. Δεῦτε καὶ
κατακαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ θυ̅
ἀπὸ τῆς γῆς. Τὰ σημεῖα αὐτῶν, οὐκ εἴδομεν.
οὐκ ἔστιν ἔτι προφήτης. καὶ ἡμᾶς οὐ γνώσεται
ἔτι. Ἕως πότε ὁ θς̅, ὀνειδιεῖ ὁ ἐχθρός. παροξυ-
νεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος.
Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δε-
ξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος.
Ὁ δὲ θς̅, βασιλεὺς ἡμῶν πρὸ αἰῶνος. εἰργάσατο
σωτηρίαν ἐν μέσῳ τῆς γῆς. Σὺ ἐκραταίω-
σας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν. σὺ συνέ-
τριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ
τοῦ ὕδατος. Σὺ συνέθλασας τὴν κεφαλὴν
τοῦ δράκοντος. ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς
Αἰθίοψι. Σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους.
σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ. Σή ἐστιν ἡ ἡμέ-
ρα, καὶ σή ἐστιν ἡ νύξ. σὺ κατηρτίσω φαῦσιν καὶ
ἥλιον. Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς
γῆς. θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά, μνήσθη-

τι ταύτης. Ἐχθρὸς ὠνείδισε τὸν κύριον. καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι. τῶν ψυχῶν τῶν πενήτων σου, μὴ ἐπιλάθῃ εἰς τέλος. Ἐπίβλεψον εἰς τὴν διαθήκην σου. ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν. Μὴ ἀποστραφήτω τεταπεινωμένος κατῃσχυμμένος. πτωχὸς καὶ πένης, αἰνέσουσι τὸ ὄνομά σου. Ἀνάστα ὁ θεὸς δίκασον τὴν δίκην σου. μνήσθητι τοῦ ὀνειδισμοῦ σου τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν σου. ἡ ὑπερηφανία τῶν μισούντων σε, ἀνέβη διαπαντός:~

Δόξα.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς ψαλμὸς ᾠδῆς τῷ ἀσάφ. οδʹ 74

Ἐξομολογησόμεθά σοι ὁ θεός, ἐξομολογησόμεθά σοι. καὶ ἐπικαλεσόμεθα,

τὸ ὄνομά σου. Διηγήσομαι πάντα τὰ θαυμάσιά σου. ὅταν λάβω καιρὸν, ἐγὼ εὐθύτητα κρινῶ. Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Διάψαλμα. Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς. Εἶπα τοῖς παρανομοῦσι, μὴ παρανομεῖτε. καὶ τοῖς ἁμαρτάνουσι μὴ ὑψοῦτε κέρας. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν. καὶ μὴ λαλεῖτε κατὰ τοῦ θεοῦ ἀδικίαν. Ὅτι, οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν. οὔτε ἀπὸ ἐρήμων ὀρέων. ὅτι ὁ θεὸς κριτής ἐστι. Τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ. ὅτι ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος. Καὶ ἔκλινεν ἐκ τούτου, εἰς τοῦτο. πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη. Πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα. ψαλῶ τῷ θεῷ ἰακώβ. Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω. καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου:~

Εἰς τὸ

Εἰς τὸ τέλος ἐν ὕμνοις. ψαλμὸς τῷ ἀσάφ. ᾠδὴ πρὸς τὸν ἀσύριον. οέ

ΓΝωστὸς ἐν τῇ ἰουδαίᾳ ὁ θεὸς· ἐν τῷ ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ· καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν σιών. Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων· ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον. Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων· ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ. Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν· πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν. Ἀπὸ ἐπιτιμήσεώς σου ὁ θεὸς ἰακώβ· ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις. Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι· ἀπὸ τότε ἡ ὀργή σου· ἐκ τοῦ οὐρανοῦ, ἠκούτισας κρίσιν. Γῆ ἐφοβήθη καὶ ἡσύχασεν, ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν θεόν· τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς. Διάψαλμα. Ὅτι ἐνθύμιον ἀνθρώ-

που ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα
ἐνθυμίου ἑορτάσει σοι. Εὔξασθε καὶ ἀπόδοτε
κυρίῳ τῷ θεῷ ἡμῶν, πάντες οἱ κύκλῳ αὐτοῦ οἴσου-
σι δῶρα. Τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύ-
ματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασι-
(λεῦσι τῆς γῆς.

Εἰς τὸ τέλος ὑπὲρ Ἰδιθοὺμ ψαλμὸς τῷ Ἀσάφ.

ΦΩνῇ μου πρὸς κύριον ἐκέκραξα, φω- οϛ
νῇ μου πρὸς τὸν θεόν, καὶ προσέσχε μοι. Ἐν
ἡμέρᾳ θλίψεώς μου τὸν θεὸν ἐξεζήτησα, ταῖς χερ-
σί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατή-
θην. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου,
ἐμνήσθην τοῦ θεοῦ, καὶ εὐφράνθην. Ἠδολέσχησα, καὶ
ὠλιγοψύχησε τὸ πνεῦμά μου. Διάψαλμα.
Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου,
ἐταράχθην καὶ οὐκ ἐλάλησα. Διελογισάμην ἡ-
μέρας ἀρχαίας, καὶ ἔτη αἰώνια ἐμνήσθην καὶ ἐ-
μελέτησα. Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδο

λέσχουν καὶ ἔσκαλλε τὸ πνεῦμά μου. Μὴ εἰς τοὺς
αἰῶνας ἀπώσεται κύριος; καὶ οὐ προσθήσει τοῦ εὐ-
δοκῆσαι ἔτι. ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀπο
κόψει; Συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γε
νεάν; Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ θεός; Ἢ συ
νέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ.
Διάψαλμα. Καὶ εἶπα νῦν ἠρξάμην. Αὕτη
ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου. ἐμνήσθην
τῶν ἔργων κυρίου. Ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρ
χῆς τῶν θαυμασίων σου. καὶ μελετήσω ἐν πᾶ-
σι τοῖς ἔργοις σου. Καὶ ἐν τοῖς ἐπιτηδεύμα-
σί σου ἀδολεσχήσω. ὁ θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου.
Τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν. σὺ εἶ ὁ θεὸς ὁ ποιῶν
θαυμάσια. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύνα
μίν σου. ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λα
όν σου. τοὺς υἱοὺς ἰακὼβ καὶ ἰωσήφ. Εἴδοσάν σε
ὕδατα ὁ θεός. εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν.
Ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἤχους ὑδάτων.
φωνὴν ἔδωκαν αἱ νεφέλαι. Καὶ γὰρ τὰ βέλη σου
διαπορεύονται. φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ.

Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ· ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου· καὶ αἱ τρίβοι σου, ἐν ὕδασι πολλοῖς· καὶ τὰ ἴχνη σου, οὐ γνωσθήσονται. Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, ἐν χειρὶ Μωϋσῆ καὶ

※ Ἀαρών ※

ι

Δόξα. κάθισμα. ι

*

## ΣΤΙΧΟΙ ΕΙΣ ΤΟΝ ΘΕΙΟΝ ΔΑΔ.

Σίγησον ὀρφεῦ, ῥῖψον ἑρμῆ τὴν λύραν.
Τρίποις ὁ δελφοῖς, δῶρον εἰς λήθην ἔτι.
Δαδ γὰρ ἡμῖν, πνεύματος κρούων λύραν.
Τρανεῖ τὰ κρυπτὰ τῶν θεοῦ μυστηρίων.
Πλήθει παλαιῶν, ἱστορεῖ τεραστείων.
Κινεῖ πρὸς ὕμνον τοῦ κτίσαντος, τὴν κτίσιν.
Ἅπαντας σώζων, μυσταγωγεῖ καὶ γράφει.
Ἁμαρτάνοντας, εἰς ἐπιστροφὴν φέρει.
Πολλοῖς σὺν ἄλλοις, καὶ κριτοῦ δηλῶν κρίσιν.
Στήκειν διδάσκει, ψυχὰς ἀμεταστάτας:~

Τῷ Θεῷ δόξα.

## ἉΡΜΟΝΊΗΣ ἹΕΡΗ͂Σ ΜΕΛΙΗΔΈΑ ᾌΣΜΑΤΑ ΔΑΔ. ΣΥΝΈΣΕΩΣ ΤΩ͂ ἈΣΆΦ. οζʹ

Προσέχετε λαός μου τῷ νόμῳ μου· κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου. Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· φθέγξομαι προβλήματα ἀπ᾽ ἀρχῆς. Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά· καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν. Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν· ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ κυρίου καὶ τὰς δυναστείας αὐτοῦ. Καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε· καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακώβ· καὶ νόμον ἔθετο ἐν Ἰσραήλ. Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν. Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα υἱοὶ τεχθησόμενοι· καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν. Ἵνα θῶνται ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα αὐτῶν· καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ θεοῦ. Καὶ



τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν. ἵνα μὴ γέ-
νωνται ὡς οἱ πατέρες αὐτῶν. γενεὰ σκολιὰ καὶ
παραπικραίνουσα. Γενεὰ ἥτις οὐ κατεύθυνε
τὴν καρδίαν ἑαυτῆς. καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ
θεοῦ τὸ πνεῦμα αὐτῆς. Υἱοὶ ἐφραὶμ ἐντείνον-
τες καὶ βάλλοντες τόξοις. ἐστράφησαν ἐν ἡμέ-
ρᾳ πολέμου. Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ
θεοῦ. καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθησαν πορεύε-
σθαι. Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ καὶ τῶν
θαυμασίων αὐτοῦ ὧν ἔδειξεν αὐτοῖς. Ἐναντί-
ον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια. ἐν γῇ
αἰγύπτῳ ἐν πεδίῳ τάνεως. Διέρρηξε θάλασ-
σαν καὶ διήγαγεν αὐτούς. παρέστησεν ὕδατα ὡσεὶ
ἀσκόν. Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέ-
ρας. καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.
Διέρρηξε πέτραν ἐν ἐρήμῳ. καὶ ἐπότισεν αὐτοὺς
ὡς ἐν ἀβύσσῳ πολλῇ. Καὶ ἐξήγαγεν ὕδωρ ἐκ
πέτρας. καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδα-
τα. καὶ προσέθετο ἔτι τοῦ ἁμαρτάνειν αὐ-
τῷ. Παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ.

καὶ ἐξεπείρασαν τὸν θεὸν ἐν ταῖς καρδίαις αὐ-
τῶν. Τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐ-
τῶν. Καὶ κατελάλησαν τοῦ θεοῦ καὶ εἶπον. Μὴ δυνή-
σεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ. ἐ-
πεὶ ἐπάταξε πέτραν, καὶ ἐρρύησαν ὕδατα. καὶ
χείμαρροι κατεκλύσθησαν. Μὴ καὶ ἄρτον δύ-
ναται δοῦναι. ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ
αὐτοῦ. Διὰ τοῦτο ἤκουσε κύριος καὶ ἀνεβάλετο
καὶ πῦρ ἀνήφθη ἐν ἰακώβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ
τὸν ἰσραήλ. Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ θεῷ. οὐδὲ
ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. Καὶ ἐνετεί-
λατο νεφέλαις ὑπεράνωθεν. καὶ θύρας οὐρα-
νοῦ ἀνέῳξε. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φα-
γεῖν. καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. Ἄρ-
τον ἀγγέλων ἔφαγεν ἄνθρωπος. ἐπισιτι-
σμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.
Ἀπῆρεν νότον ἐξ οὐρανοῦ. καὶ ἐπήγαγεν ἐν
τῇ δυνάμει αὐτοῦ λίβα. Καὶ ἔβρεξεν ἐπ' αὐ-
τοὺς ὡσεὶ χοῦν σάρκας. Καὶ ὡσεὶ ἄμμον
θαλασσῶν πετεινὰ πτερωτά. Καὶ ἐπέπεσον

ἐν μέσῳ τῆς παρεμβολῆς αὐτῶν· κύκλῳ τῶν
σκηνωμάτων αὐτῶν. Καὶ ἔφαγον καὶ ἐνεπλή-
σθησαν σφόδρα· καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν
αὐτοῖς· οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐ-
τῶν. Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐ-
τῶν· καὶ ὀργὴ τοῦ θεοῦ ἀνέβη ἐπ᾽ αὐτούς. Καὶ ἀ-
πέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν· καὶ τοὺς ἐκ-
λεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδησεν. Ἐν πᾶ-
σι τούτοις ἥμαρτον ἔτι· καὶ οὐκ ἐπίστευσαν
ἐν τοῖς θαυμασίοις αὐτοῦ. Καὶ ἐξέλιπεν ἐν
ματαιότητι αἱ ἡμέραι αὐτῶν· καὶ τὰ ἔτη αὐτῶν
μετὰ σπουδῆς. Ὅταν ἀπέκτενεν αὐτούς, τό-
τε ἐξεζήτουν αὐτόν· καὶ ἐπέστρεφον καὶ ὤρθρι-
ζον πρὸς τὸν θεόν. Καὶ ἐμνήσθησαν ὅτι ὁ θεὸς βοη-
θὸς αὐτῶν ἐστι· καὶ ὁ θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐ-
τῶν ἐστι. Καὶ ἠπάτησαν αὐτὸν ἐν τῷ στόματι αὐ-
τῶν· καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ. Ἡ δὲ
καρδία αὐτῶν οὐκ εὐθεῖα μετ᾽ αὐτοῦ· οὐδὲ ἐπι-
στώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. Αὐτὸς δέ ἐστιν
οἰκτίρμων· καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν·
καὶ οὐ διαφθερεῖ.

ἐ οὐ διαφθερεῖ. Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι
τὸν θυμὸν αὐτοῦ· καὶ οὐχὶ ἐκκαύσει πᾶσαν
τὴν ὀργὴν αὐτοῦ. Καὶ ἐμνήσθη ὅτι σάρξ εἰ-
σι. πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.
Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ
παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ. Καὶ ἐπέ-
στρεψαν καὶ ἐπείρασαν τὸν θν̄. καὶ τὸν ἅγιον τοῦ
ἰσραὴλ παρώξυναν. Καὶ ἐμνήσθησαν τῆς χει-
ρὸς αὐτοῦ ἡμέρας. ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ
χειρὸς θλίβοντος. Ὡς ἔθετο ἐν αἰγύπτῳ τὰ
σημεῖα αὐτοῦ. καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ
τάνεως. Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς πο-
ταμοὺς αὐτῶν. καὶ τὰ ὀμβρήματα αὐτῶν ὅ-
πως μὴ πίωσιν. Ἐξαπέστειλεν εἰς αὐτοὺς κυ
νόμυιαν, καὶ κατέφαγεν αὐτούς. καὶ βάτρα-
χον καὶ διέφθειρεν αὐτούς. Καὶ ἔδωκε τῇ ἐρυ
σίβῃ τοὺς καρποὺς αὐτῶν. καὶ τοὺς πόνους αὐ
τῶν τῇ ἀκρίδι. Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμ
πελον αὐτῶν. καὶ τὰς συκαμίνους αὐτῶν, ἐν τῇ πά
χνῃ. Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτή-

μη αὐτῶν καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί. Ἐξα
πέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ. θυμὸν καὶ
ὀργὴν καὶ θλῖψιν ἀποστολὴν δι' ἀγγέλων πονη
ρῶν. Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ. καὶ οὐκ
ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν.
Καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε.
Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ αἰγύπτω
ἀπαρχὴν παντὸς πόνου αὐτῶν ἐν τοῖς σκη-
νώμασι χάμ. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λα
ὸν αὐτοῦ. καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνι
ον ἐν ἐρήμῳ. Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπί
δι καὶ οὐκ ἐδειλίασαν. καὶ τοὺς ἐχθροὺς αὐ
τῶν ἐκάλυψε θάλασσα. Καὶ εἰσήγαγεν αὐτοὺς
εἰς ὄρος ἁγιάσματος αὐτοῦ. ὄρος τοῦτο ὃ ἐκ
τήσατο ἡ δεξιὰ αὐτοῦ. Καὶ ἐξέβαλεν ἀπὸ προ
σώπου αὐτῶν ἔθνη. καὶ ἐκληροδότησεν αὐτοὺς
ἐν σχοινίῳ κληροδοσίας. καὶ κατεσκήνωσεν ἐν
τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ ἰσραήλ.
Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν θεὸν τὸν
ὕψιστον. καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλά-

ξαντο. Καὶ ἐπέστρεψαν καὶ ἠθέτησαν καθὼς
καὶ οἱ πατέρες αὐτῶν, μετεστράφησαν εἰς τόξον
στρεβλόν. Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βου-
νοῖς αὐτῶν καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζή
λωσαν αὐτόν. Ἤκουσεν ὁ θεὸς καὶ ὑπερεῖδε. καὶ
ἐξουδένωσε σφόδρα τὸν ἰσραήλ. Καὶ ἀπώσα
το τὴν σκηνὴν σιλὼμ σκήνωμα ὃ κατεσκή-
νωσεν ἐν ἀνθρώποις. Καὶ παρέδωκεν εἰς αἰχμα
λωσίαν τὴν ἰσχὺν αὐτῶν. καὶ τὴν καλλονὴν αὐτῶν
εἰς χεῖρας ἐχθρῶν. Καὶ συνέκλεισεν ἐν ῥομ-
φαίᾳ τὸν λαὸν αὐτοῦ. καὶ τὴν κληρονομίαν
αὐτοῦ ὑπερεῖδε. Τοὺς νεανίσκους αὐτῶν κα
τέφαγε πῦρ. καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπεν
θήθησαν. Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον.
καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυθήσονται. Καὶ ἐξηγέρ-
θη ὡς ὁ ὑπνῶν κς. ὡς δυνατὸς κεκραιπα
ληκὼς ἐξ οἴνου. Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐ
τοῦ εἰς τὰ ὀπίσω. ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.
Καὶ ἀπώσατο τὸ σκήνωμα ἰωσήφ. καὶ τὴν φυ
λὴν ἐφραὶμ οὐκ ἐξελέξατο. Καὶ ἐξελέξατο

τὴν φυλὴν ἰούδα. τὸ ὄρος τὸ σιὼν ὃ ἠγάπησε.
Καὶ ᾠκοδόμησεν ὡς μονοκέρωτος τὸ ἁγία-
σμα αὐτοῦ. ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν
αἰῶνα. Καὶ ἐξελέξατο δαυὶδ τὸν δοῦλον αὐτοῦ.
καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων.
Ἐξ ὄπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν. ποι-
μαίνειν ἰακὼβ τὸν δοῦλον αὐτοῦ. καὶ ἰσραὴλ
τὴν κληρονομίαν αὐτοῦ. Καὶ ἐποίμανεν αὐ-
τοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ. καὶ ἐν ταῖς
συνέσεσι τῶν χειρῶν αὐτοῦ, ὡδήγησεν αὐτούς.:~

Δόξα.

## Ψαλμὸς τῷ ἀσάφ. οη' 78

Ὁ θεὸς ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομί-
αν σου. ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου.
Ἔθεντο ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον. ἔθεντο
τὰ θνησιμαῖα τῶν δούλων σου, βρώματα τοῖς
πετεινοῖς τοῦ οὐρανοῦ. Τὰς σάρκας τῶν ὁσί-
ων σου τοῖς θηρίοις τῆς γῆς. Ἐξέχεαν τὸ αἷμα
αὐτῶν ὡσεὶ ὕδωρ. κύκλῳ ἱερουσαλὴμ καὶ οὐκ

ἦν ὁ θάπτων. Ἐγενήθημεν ὄνειδος τοῖς γείτο-
σιν ἡμῶν. μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύ-
κλῳ ἡμῶν. Ἕως πότε κε̄ ὀργισθήσῃ εἰς τέ-
λος· ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλος σου. Ἔκχε-
ον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά
σε καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέ-
σαντο. Ὅτι κατέφαγον τὸν ἰακὼβ, καὶ τὸν τό-
πον αὐτοῦ ἠρήμωσαν. Μὴ μνησθῇς ἡμῶν ἀνο-
μιῶν ἀρχαίων. Ταχὺ προκαταλαβέτωσαν
ἡμᾶς οἱ οἰκτιρμοί σου κε̄. Ὅτι ἐπτωχεύσαμεν
σφόδρα. Βοήθησον ἡμῖν ὁ θς̄ ὁ σωτὴρ ἡμῶν. ἕ-
νεκεν τῆς δόξης τοῦ ὀνόματός σου κε̄ ῥῦσαι ἡ-
μᾶς. Καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν
ἕνεκεν τοῦ ὀνόματός σου. Μήποτε εἴπωσι τὰ
ἔθνη, ποῦ ἐστιν ὁ θς̄ αὐτῶν. καὶ γνωσθήτω ἐν τοῖς
ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν. ἡ ἐκδίκη-
σις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμέ-
νου. Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πε-
πεδημένων. Κατὰ τὴν μεγαλωσύνην τοῦ
βραχίονός σου, περιποίησαι τοὺς υἱοὺς τῶν

τεθανατωμένων. Ἀπόδος τοῖς γείτοσιν ἡ-
μῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν. τὸν
ὀνειδισμὸν αὐτῶν ὃν ὠνείδισάν σε κύριε. Ἡμεῖς δὲ
λαός σου καὶ πρόβατα νομῆς σου. Ἀνθομο-
λογησόμεθά σοι ὁ θεὸς εἰς τὸν αἰῶνα. εἰς γενεὰν
καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν
αἴνεσίν σου.

## Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων μαρτύριον τῷ ἀσάφ. ψαλμὸς ὑπὲρ τοῦ ἀσσυρίου. οθʹ

Ποιμαίνων τὸν ἰσραὴλ πρόσχες ὁ ὁδη-
γῶν ὡσεὶ πρόβατον τὸν ἰωσήφ. Ὁ κα-
θήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι. ἐναν-
τίον ἐφραὶμ καὶ βενιαμὶν καὶ μανασσῆ. Ἐξέ-
γειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶ-
σαι ἡμᾶς. Ὁ θεὸς ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφα-
νον τὸ πρόσωπόν σου καὶ σωθησόμεθα. Κύριε ὁ θεὸς
τῶν δυνάμεων ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προ-

σευχὴν τῶν δούλων σου. Ψωμιεῖς ἡμᾶς ἄρ-
τον δακρύων. καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυ-
σιν ἐν μέτρῳ. Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς
γείτοσιν ἡμῶν. καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρη-
σαν ἡμᾶς. Κε ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡ-
μᾶς. καὶ ἐπίφανον τὸ πρόσωπόν σου καὶ σωθη-
σόμεθα. Ἄμπελον ἐξ αἰγύπτου μετῆρας. ἐ-
ξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν.
Ὡδοποίησας ἔμπροσθεν αὐτῆς. καὶ κατεφύ-
τευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήρωσε τὴν
γῆν. ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς. καὶ αἱ ἀνα-
δενδράδες αὐτῆς τὰς κέδρους τοῦ θεοῦ. Ἐξέ-
τεινε τὰ κλήματα αὐτῆς, ἕως θαλάσσης, καὶ
ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς.
Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς καὶ τρυ-
γῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν
ὁδόν. Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ. καὶ μονιὸς
ἄγριος κατενεμήσατο αὐτήν. Ὁ θεὸς τῶν δυνά-
μεων ἐπίστρεψον δή. καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ
καὶ ἴδε. Καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην.

καὶ κατάρτισαι αὐτήν. ἣν ἐφύτευσεν ἡ δεξι-
ά σου. Καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίω-
σας σεαυτῷ. Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνε-
σκαμμένη. ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου
σου ἀπολοῦνται. Γενηθήτω ἡ χείρ σου ἐπ᾽ ἄνδρα
δεξιᾶς σου. καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταί-
ωσας σεαυτῷ. Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ.
ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμε-
θα. Κε ὁ θς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς. καὶ
ἐπίφανον τὸ πρόσωπόν σου καὶ σω-
θησόμεθα:~

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν ψαλμὸς ᾠδὴ τῷ ἀ-(σάφ. π' 80

Ἀγαλλιᾶσθε τῷ θεῷ τῷ βοη-
θῷ ἡμῶν. ἀλαλάξατε τῷ θεῷ ἰακώβ.
Λάβετε ψαλμὸν καὶ δότε τύμπανον. ψαλ-
τήριον τερπνὸν μετὰ κιθάρας. Σαλπί-
σατε ἐν νεομηνίᾳ σάλπιγγι. ἐν εὐσήμῳ ἡμέρᾳ
ἑορτῆς ὑμῶν. Ὅτι πρόσταγμα τῷ ἰσραὴλ
ἐστί. καὶ κρῖμα τῷ θεῷ ἰακώβ. Μαρτύριον ἐν
τῷ ἰωσὴφ

τῷ ἰωσὴφ ἔθετο αὐτῷ· ἐν τῷ ἐξελθεῖν αὐτὸν
ἐκ γῆς αἰγύπτου. Γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν.
ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ.
Αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.
Ἐν θλίψει ἐπεκαλέσω με καὶ ἐρρυσάμην σε.
Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος.
Διάψαλμα. Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντι
λογίας. Ἄκουσον λαός μου καὶ διαμαρτύρο-
μαί σοι. Ἰσραὴλ ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν
σοὶ θεὸς πρόσφατος οὐδὲ προσκυνήσεις θεῷ ἀλ
λοτρίῳ. Ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου, ὁ ἀναγαγών σε
ἐκ γῆς αἰγύπτου. Πλάτυνον τὸ στόμα σου καὶ
πληρώσω αὐτό. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς
φωνῆς μου· καὶ ἰσραὴλ οὐ προσέσχε μοι. Καὶ
ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύμα
τα τῶν καρδιῶν αὐτῶν· πορεύσονται ἐν τοῖς
ἐπιτηδεύμασιν αὐτῶν. Εἰ ὁ λαός μου ἤκουσέ μου
ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη· ἐν τῷ μηδε
νὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα. Καὶ ἐ
πὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν

τὴν χεῖρά μου. Οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο αὐτῷ. καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα. Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ. καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

Δόξα.

## Ψαλμὸς τῷ ἀσάφ. πα' 81.

Ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν. ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. Ἕως πότε κρίνετε ἀδικίαν. καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε. Κρίνατε ὀρφανῷ καὶ πτωχῷ. ταπεινὸν καὶ πένητα δικαιώσατε. Ἐξέλεσθε πένητα καὶ πτωχόν. ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν. Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν ἐν σκότει διαπορεύονται. Σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς. Ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. Ἀνάστα ὁ θεὸς κρῖνον τὴν γῆν. ὅτι σὺ

κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν:~

## Ὠιδὴ ψαλμοῦ τῷ ἀσάφ. πβ 82.

ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι. μὴ σιγήσῃς
μηδὲ καταπραΰνῃς ὁ θεός. Ὅτι ἰδοὺ
οἱ ἐχθροί σου ἤχησαν. καὶ οἱ μισοῦντές σε ἦραν κε-
φαλήν. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύ-
σαντο γνώμην. καὶ ἐβουλεύσαντο κατὰ τῶν
ἁγίων σου. Εἶπαν δεῦτε καὶ ἐξολοθρεύσωμεν
αὐτοὺς ἐξ ἔθνους. καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα
ἰσραὴλ ἔτι. Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐ-
πὶ τὸ αὐτό. κατὰ σοῦ διαθήκην διέθεντο. Τὰ
σκηνώματα τῶν ἰδουμαίων καὶ οἱ ἰσμαηλῖται.
Μωὰβ καὶ οἱ ἀγαρηνοί. Γεβὰλ καὶ ἀμμὼν
καὶ ἀμαλήκ. Ἀλλόφυλοι μετὰ τῶν κατοι-
κούντων τύρον. Καὶ γὰρ καὶ ἀσσοὺρ συμπαρε-
γένετο μετ' αὐτῶν. ἐγενήθησαν εἰς ἀντίληψιν
τοῖς υἱοῖς λώτ. Διάψαλμα. Ποίησον αὐτοῖς ὡς
τῇ μαδιὰμ καὶ τῷ σισάρᾳ. ὡς τῷ ἰαβεὶμ ἐν τῷ χει-

μάρρῳ κισῶν. Ἐξωλοθρεύθησαν ἐν ἀενδώρ.
ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ. Θοῦ τοὺς ἄρ-
χοντας αὐτῶν ὡς τὸν ὠρὴβ καὶ ζὴβ καὶ ζεβεὲ
καὶ σαλμανᾶν πάντας τοὺς ἄρχοντας αὐ-
τῶν. Οἵτινες εἶπον κληρονομήσωμεν ἑαυ-
τοῖς τὸ ἁγιαστήριον τοῦ θῦ. Ὁ θς μου θοῦ αὐ-
τοὺς ὡς τροχόν. ὡς καλάμην κατὰ πρόσω-
πον ἀνέμου. Ὡσεὶ πῦρ ὃ διαφλέξει δρυ-
μόν. ὡσεὶ φλὸξ ἣ κατακαύσει ὄρη. Οὕτως
καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου.
καὶ ἐν τῇ ὀργῇ σου συνταράξεις αὐτούς.
Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας.
καὶ ζητήσουσι τὸ ὄνομά σου κε. Αἰσχυνθήτω-
σαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰ-
ῶνος. καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθω-
σαν. Καὶ γνώτωσαν ὅτι ὄνομά σοι
κύριος. σὺ μόνος ὕψι-
στος ἐπὶ πᾶ-
σαν τὴν
γῆν:~

Εἰς τὸ

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν τοῖς
υἱοῖς κορὲ ψαλμός. πγ΄ 83.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου κύριε
τῶν δυνάμεων. Ἐπιποθεῖ καὶ ἐκλεί
πει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου. Ἡ καρ
δία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ θεὸν
ζῶντα. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν.
καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ. οὗ θήσει τὰ νοσσία
ἑαυτῆς. Τὰ θυσιαστήριά σου κύριε τῶν δυνά-
μεων. ὁ βασιλεύς μου καὶ ὁ θεός μου. Μακάριοι
οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου. εἰς τοὺς αἰ
ῶνας τῶν αἰώνων, αἰνέσουσί σε. Διάψαλμα.
Μακάριος ἀνὴρ ᾧ ἐστὶν ἀντίληψις αὐτῷ πα
ρὰ σοί. ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθε-
το. Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος. εἰς τὸν
τόπον ὃν ἔθετο. καὶ γὰρ εὐλογίας δώσει ὁ νομο-
θετῶν. Πορεύσονται ἐκ δυνάμεως εἰς δύνα-
μιν. ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν σιών. Κύριε ὁ θεὸς

τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου·
ἐνώτισαι ὁ θεὸς ἰακώβ. Διάψαλμα. Ὑπερα-
σπιστὰ ἡμῶν, ἴδε ὁ θεός, καὶ ἐπίβλεψον εἰς τὸ πρό-
σωπον τοῦ χριστοῦ σου. Ὅτι κρείσσων ἡμέρα μία
ἐν ταῖς αὐλαῖς σου, ὑπὲρ χιλιάδας. Ἐξελε-
ξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μου
μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτω-
λῶν. Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ κύριος. ὁ θεὸς
χάριν καὶ δόξαν δώσει. Κύριος οὐ στερήσει τὰ ἀγα-
θὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Κύριε ὁ θεὸς
τῶν δυνάμεων· μακάριος ἄνθρωπος ὁ ἐλπί-
ζων ἐπὶ σέ:~

## Εἰς τὸ τέλος τοῖς υἱοῖς κορὲ ψαλμός. πδ´ 84

Εὐδόκησας κύριε τὴν γῆν σου· ἀπέστρεψας
τὴν αἰχμαλωσίαν ἰακώβ. Ἀφῆκας
τὰς ἀνομίας τῷ λαῷ σου· ἐκάλυψας πά-
σας τὰς ἁμαρτίας αὐτῶν. Κατέπαυσας πᾶ-
σαν τὴν ὀργήν σου· ἀπέστρεψας ἀπὸ ὀργῆς θυ-

μοῦ σου. Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν σωτηρίων ἡμῶν·
καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν. Μὴ
εἰς τοὺς αἰῶνας ὀργισθήσῃ ἡμῖν; ἢ διατενεῖς τὴν
ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; Ὁ θεὸς, σὺ ἐπι-
στρέψας ζωώσεις ἡμᾶς· καὶ ὁ λαός σου, εὐφραν-
θήσεται ἐπὶ σοί. Δεῖξον ἡμῖν κύριε τὸ ἔλεός σου·
καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν. Ἀκούσομαι τί λα-
λήσει ἐν ἐμοὶ κύριος ὁ θεός. Ὅτι λαλήσει εἰρήνην
ἐπὶ τὸν λαὸν αὐτοῦ· καὶ ἐπὶ τοὺς ὁσίους αὐ-
τοῦ· καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐ-
π' αὐτόν. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν
τὸ σωτήριον αὐτοῦ· τοῦ κατασκηνῶσαι δόξαν
ἐν τῇ γῇ ἡμῶν. Ἔλεος καὶ ἀλήθεια συνήντη-
σαν· δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. Ἀλή-
θεια ἐκ τῆς γῆς ἀνέτειλε· καὶ δικαιοσύνη ἐκ τοῦ
οὐρανοῦ διέκυψε. Καὶ γὰρ ὁ κύριος δώσει χρηστότητα·
καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. Δικαιο-
σύνη ἐνώπιον αὐτοῦ προπορεύσεται· καὶ θήσει
εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

Δόξα. κάθισμα. ια'

Κλῖνον κε τὸ οὖς σου καὶ ἐπάκουσόν μου. ὅ-
τι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον
τὴν ψυχήν μου ὅτι ὅσιός εἰμι. σῶσον τὸν δοῦλον σου
ὁ θς μου, τὸν ἐλπίζοντα ἐπὶ σέ. Ἐλέησόν με κε
ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν. Εὔ-
φρανον τὴν ψυχὴν τοῦ δούλου σου ὅτι πρὸς σὲ
ἦρα τὴν ψυχήν μου. Ὅτι σὺ κε χρηστὸς καὶ ἐπιει-
κὴς, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμέ-
νοις σε. Ἐνώτισαι κε τὴν προσευχήν μου. καὶ
πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ
θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκου-
σάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κε, καὶ
οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη ὅσα
ἐποίησας, ἥξουσι. καὶ προσκυνήσουσιν ἐνώπι-
όν σου κε. Καὶ δοξάσουσι τὸ ὄνομά σου, ὅτι μέ-
γας εἶ σύ. καὶ ποιῶν θαυμάσια. σὺ εἶ θς μό-
νος. Ὁδήγησόν με κε ἐν τῇ ὁδῷ σου. καὶ πορεύ-
σομαι ἐν

σομαι ἐν τῇ ἀληθείᾳ σου. Εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Ἐξομολογήσομαί σοι κύριε ὁ θεός μου ἐν ὅλῃ καρδίᾳ μου· καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. Ὅτι τὸ ἔλεός σου μέγα ἐπ᾽ ἐμέ· καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. Ὁ θεός, παράνομοι ἐπανέστησαν ἐπ᾽ ἐμέ· καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου· καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν. Καὶ σὺ κύριε ὁ θεός μου οἰκτίρμων καὶ ἐλεήμων· μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός. Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου· καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. Ποίησον μετ᾽ ἐμοῦ σημεῖον εἰς ἀγαθόν· καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν. Ὅτι σὺ κύριε ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με:~

Τοῖς υἱοῖς κορὲ ψαλμὸς ᾠδῆς. πϛʹ 86.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Ἀγαπᾷ κύριος τὰς πύλας σι-

ὢν, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.
Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ
θεοῦ. Μνησθήσομαι Ῥαὰβ, καὶ Βαβυλῶνος τοῖς
γινώσκουσί με. Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος
καὶ λαὸς τῶν Αἰθιόπων· οὗτοι ἐγεννήθησαν ἐκεῖ.
Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος· καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐ-
τῇ· καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος. Κύριος
διηγήσεται ἐν γραφῇ λαῶν· καὶ ἀρχόντων τού-
των τῶν γεγεννημένων ἐν αὐτῇ. Ὡς εὐφραινομέ-
νων πάντων ἡ κατοικία ἐν σοί:~

ᾠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορὲ, εἰς τὸ τέλος ὑ-
πὲρ μαελὲθ τοῦ ἀποκριθῆναι, συνέσεως Αἰ-
θὰμ τῷ Ἰσραηλίτῃ. πζʹ. 87.

Κύριε ὁ θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκρα-
ξα καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώ-
πιόν σου ἡ προσευχή μου. Κλῖνον τὸ οὖς σου εἰς
τὴν δέησίν μου· ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου
καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε. Προσελογίσθην με-

τὰ τῶν καταβαινόντων εἰς λάκκον. Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος· ἐν νεκροῖς ἐλεύθερος. Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ ὧν οὐκ ἐμνήσθης ἔτι· καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ· ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου· καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ. Διάψαλμα. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ· ἔθεντό με βδέλυγμα ἑαυτοῖς. Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. Ἐκέκραξα πρὸς σὲ κύριε ὅλην τὴν ἡμέραν· διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια, ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι; Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου· καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρὸς σὲ κύριε ἐκέκραξα· καὶ τὸ πρωῒ ἡ προσευχή

μου προφθάσει σε. Ἵνα τί κε ἀπωθῇ τὴν ψυ-
χήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐ-
μοῦ. Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότη
τός μου. ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπο
ρήθην. Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου. οἱ φοβε-
ρισμοί σου ἐξετάραξάν με. ἐκύκλωσάν με ὡ
σεὶ ὕδωρ. Ὅλην τὴν ἡμέραν περιέσχον με ἅ-
μα. ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον. καὶ
τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας:~ Δόξα,

## Συνέσεως αἰθὰμ τῷ ἰσραηλίτῃ. πη΄ 88.

Τὰ ἐλέη σου κε εἰς τὸν αἰῶνα ᾄσομαι. εἰς
γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλή
θειάν σου ἐν τῷ στόματί μου. Ὅτι εἶπας εἰς
τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται. ἐν τοῖς οὐ
ρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου. Διε-
θέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου. ὤμοσα
Δαδ τῷ δούλῳ μου. ἕως τοῦ αἰῶνος. Ἑτοι
μάσω τὸ σπέρμα σου. καὶ οἰκοδομήσω εἰς γενε-

ἀν καὶ γενεὰν τὸν θρόνον σου. Ἐξομολογήσονται
οἱ οὐρανοὶ τὰ θαυμάσιά σου κύριε· καὶ γὰρ τὴν ἀλήθειάν
σου ἐν ἐκκλησίᾳ ἁγίων. Ὅτι τίς ἐν νεφέλαις
ἰσωθήσεται τῷ κυρίῳ· ὁμοιωθήσεται τῷ κυρίῳ ἐν
υἱοῖς θεοῦ. Ὁ θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων. μέ-
γας καὶ φοβερὸς ἐστὶν ἐπὶ πάντας τοὺς περικύ-
κλῳ αὐτοῦ. Κύριε ὁ θεὸς τῶν δυνάμεων, τίς ὅμοιός
σοι. δυνατὸς εἶ κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.
Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης· τὸν δὲ σά-
λον τῶν κυμάτων αὐτῆς, σὺ καταπραΰνεις. Σὺ
ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον· ἐν
τῷ βραχίονι τῆς δυνάμεώς σου, διεσκόρπι-
σας τοὺς ἐχθρούς σου. Σοί εἰσιν οἱ οὐρανοί, καὶ σή ἐστιν
ἡ γῆ· τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ
ἐθεμελίωσας. τὸν βορρᾶν καὶ τὴν θάλασσαν σὺ
ἔκτισας, Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου
ἀγαλλιάσονται. σὸς ὁ βραχίων μετὰ δυναστεί-
ας. Κραταιωθήτω ἡ χείρ σου. ὑψωθήτω ἡ δε-
ξιά σου. Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ
θρόνου σου. Ἔλεος καὶ ἀλήθεια προπορεύσονται

πρὸ προσώπου σου. Μακάριος ὁ λαὸς ὁ γινώ
σκων ἀλαλαγμόν. Κύριε ἐν τῷ φωτὶ τοῦ προ-
σώπου σου πορεύσονται. καὶ ἐν τῷ ὀνόματί σου
ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν. καὶ ἐν τῇ
δικαιοσύνῃ σου ὑψωθήσονται. Ὅτι καύχημα
τῆς δυνάμεως αὐτῶν σὺ εἶ. καὶ ἐν τῇ εὐδοκίᾳ
σου ὑψωθήσεται τὸ κέρας ἡμῶν. Ὅτι τοῦ κυρίου
ἡ ἀντίληψις. καὶ τοῦ ἁγίου ἰσραὴλ βασιλέως
ἡμῶν. Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου.
καὶ εἶπας ἐθέμην βοήθειαν ἐπὶ δυνατόν. ὕψω
σα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. Εὗρον δαυὶδ τὸν δοῦ
λόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. Ἡ γὰρ
χείρ μου συναντιλήψεται αὐτῷ. καὶ ὁ βραχίων
μου κατισχύσει αὐτόν. Οὐκ ὠφελήσει ἐχθρὸς
ἐν αὐτῷ. καὶ υἱὸς ἀνομίας, οὐ προσθήσει τοῦ κα
κῶσαι αὐτόν. Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ
τοὺς ἐχθροὺς αὐτοῦ. καὶ τοὺς μισοῦντας αὐτὸν
τροπώσομαι. Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου
μετ' αὐτοῦ. καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται
τὸ κέρας αὐτοῦ. Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖ

ρα αὐτοῦ. καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. Αὐ
τὸς ἐπικαλέσεταί με πατήρ μου εἶ σύ. θεός μου
καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. Κἀγὼ πρωτό
τοκον θήσομαι αὐτόν. ὑψηλὸν παρὰ τοῖς βα
σιλεῦσι τῆς γῆς. Εἰς τὸν αἰῶνα φυλάξω αὐ
τῷ τὸ ἔλεός μου. καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ.
Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρ
μα αὐτοῦ. καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέ-
ρας τοῦ οὐρανοῦ. Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ
τὸν νόμον μου. καὶ τοῖς κρίμασί μου μὴ πορευθῶ
σιν. Ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι.
καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν. Ἐπισκέ
ψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν. καὶ ἐν μά
στιξι τὰς ἀδικίας αὐτῶν. Τὸ δὲ ἔλεός μου, οὐ μὴ δι
ασκεδάσω ἀπ' αὐτοῦ. οὐδ' οὐ μὴ ἀδικήσω ἐν τῇ ἀ-
ληθείᾳ μου. Οὐδ' οὐ μὴ βεβηλώσω τὴν διαθή-
κην μου. καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου, οὐ
μὴ ἀθετήσω. Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου,
εἰ τῷ Δαυὶδ ψεύσομαι. Τὸ σπέρμα αὐτοῦ
εἰς τὸν αἰῶνα μενεῖ. καὶ ὁ θρόνος αὐτοῦ ὡς
ὁ ἥλιος ἐναντίον μου. Καὶ ὡς ἡ σελήνη κατηρ

τισμένη εἰς τὸν αἰῶνα· καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός·
Διάψαλμα. Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας· ἀ
νεβάλου τὸν χριστόν σου· Κατέστρεψας τὴν
διαθήκην τοῦ δούλου σου· ἐβεβήλωσας εἰς τὴν γῆν
τὸ ἁγίασμα αὐτοῦ· Καθεῖλες πάντας τοὺς
φραγμοὺς αὐτοῦ· ἔθου τὰ ὀχυρώματα αὐτοῦ δει
λίαν· Διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες
ὁδόν· ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ· Ὕψω-
σας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν· εὔφρανας
πάντας τοὺς ἐχθροὺς αὐτοῦ· Ἀπέστρεψας τὴν
βοήθειαν τῆς ῥομφαίας αὐτοῦ· καὶ οὐκ ἀντελάβου
αὐτοῦ ἐν τῷ πολέμῳ· Κατέλυσας ἀπὸ καθαρισμοῦ
αὐτοῦ· τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξας·
Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ· κα
τέχεας αὐτοῦ αἰσχύνην· Ἕως πότε κύριε ἀποστρέ
φῃ εἰς τέλος· ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου·
Μνήσθητι τίς μου ἡ ὑπόστασις· μὴ γὰρ ματαίως
ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων; Τίς ἐστιν
ἄνθρωπος, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον· ῥύσεται
τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου· Διάψαλμα·

Ποῦ εἰσι

Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα κε. ἃ ὤμοσας τῷ Δαδ ἐν τῇ ἀληθείᾳ σου. Μνήσθητι κε τοῦ ὀνειδισμοῦ τῶν δούλων σου. οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν. Οὗ ὠνείδισαν οἱ ἐχθροί σου κε. οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ χριστοῦ σου. Εὐλογητὸς κς εἰς τὸν αἰῶνα. γένοιτο γένοιτο:~ Δόξα.

Προσευχὴ μωυσῆ ἀνθρώπου θεοῦ. πθ' 89.

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην. καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ. Μὴ ἀποστρέψῃς αὐτὸν εἰς ταπείνωσιν. καὶ εἶπας, ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου κε. ὡς ἡ ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται. τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι. τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι. Τὸ ἑσπέρας ἀποπέ

σοι. σκληρωθείη καὶ ξηρανθείη. Ὅτι ἐξελίπομεν
ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.
Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου. ὁ αἰὼν
ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. Ὅτι πᾶ-
σαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον. καὶ ἐν τῇ ὀργῇ σου ἐξε-
λίπομεν. Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέ-
των. αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς, ἑβδο-
μήκοντα ἔτη. ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκον-
τα ἔτη. καὶ τὸ πλεῖον αὐτῶν, κόπος καὶ πόνος.
Ὅτι ἐπῆλθε πραότης ἐφ᾿ ἡμᾶς καὶ παιδευθη-
σόμεθα. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου.
καὶ ἀπὸ τοῦ φόβου σου, τὸν θυμόν σου ἐξαριθμή-
σασθαι. Τὴν δεξιάν σου οὕτω γνώρισόν μοι.
καὶ τοὺς πεπεδημένους τῇ καρδίᾳ ἐν σοφίᾳ.
Ἐπίστρεψον κύριε ἕως πότε. καὶ παρακλήθητι
ἐπὶ τοῖς δούλοις σου. Ἐνεπλήσθημεν τὸ πρωῒ
τοῦ ἐλέους σου κύριε. καὶ ἠγαλλιασάμεθα καὶ εὐφράν-
θημεν. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφραν-
θείημεν. ἀνθ᾿ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς.
ἐτῶν ὧν εἴδομεν κακά. Καὶ ἴδε ἐπὶ τοὺς δού-

λους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. Καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς. καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς. καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον:~

## Αἶνος ᾠδῆς τῷ Δαυὶδ ἀνεπίγραφος παρ' ἑβραίοις. ϟ' 90.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου. ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ κυρίῳ ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου. ὁ θεός μου, ἐλπιῶ ἐπ' αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους. ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι. καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ. Ἀπὸ βέλους πετομένου ἡμέρας. ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου. ἀπὸ συμπτώματος.

καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ
κλίτους σου χιλιάς. καὶ μυριὰς ἐκ δεξιῶν σου.
πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. Πλὴν τοῖς ὀφθαλμοῖς
σου κατανοήσεις. καὶ ἀνταπόδοσιν ἁμαρτω-
λῶν ὄψει. Ὅτι σὺ κύριε ἡ ἐλπίς μου. τὸν ὕψιστον
ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται
πρὸς σὲ κακά. καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ
σκηνώματί σου. Ὅτι τοῖς ἀγγέλοις αὐ-
τοῦ ἐντελεῖται περὶ σοῦ. τοῦ διαφυλάξαι
σε ἐν πάσαις ταῖς ὁδοῖς σου. ἐπὶ χειρῶν ἀ-
ροῦσί σε. μήποτε προσκόψῃς πρὸς λίθον τὸν
πόδα σου. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον
ἐπιβήσῃ. καὶ καταπατήσεις λέοντα καὶ
δράκοντα. Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσο-
μαι αὐτόν. σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνο-
μά μου. Κεκράξεται πρός με, καὶ ἐπακού-
σομαι αὐτοῦ. μετ' αὐτοῦ εἰμι ἐν θλίψει. Ἐξε-
λοῦμαι αὐτόν. καὶ δοξάσω αὐτόν. μακρό-
τητα ἡμερῶν ἐμπλήσω αὐτόν. καὶ δείξω
αὐτῷ τὸ σωτήριόν μου:~ Δόξα. κάθισμα. ιβʹ

Ψαλμὸς

## Ψαλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ σαββάτου. ϟά. 91.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ. καὶ
ψάλλειν τῷ ὀνόματίσου ὕψιστε. Τοῦ
ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεόσσου, καὶ τὴν ἀλή-
θειάνσου κατὰ νύκτα. Ἐν δεκαχόρδῳ ψαλ
τηρίῳ μετῷδῆς ἐν κιθάρᾳ. Ὅτι εὔφρανάς
με κύριε ἐν τῷ ποιήματίσου. καὶ ἐν τοῖς ἔργοις
τῶν χειρῶνσου ἀγαλλιάσομαι. Ὡς ἐμεγαλύν
θη τὰ ἔργασου κύριε. σφόδρα ἐβαθύνθησαν οἱ δια
λογισμοίσου. Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ
ἀσύνετος οὐ συνήσει ταῦτα. Ἐν τῷ ἀνατεῖ
λαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον. καὶ διέκυψαν
πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Ὅπως
ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα κύριε. Ὅτι ἰδοὺ οἱ ἐ
χθροίσου κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροίσου ἀπολοῦνται.
Καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζό-
μενοι τὴν ἀνομίαν. καὶ ὑψωθήσεται ὡς μο-

νοκέρωτος τὸ κέρας μου· καὶ τὸ γῆράς μου ἐν ἐ-
λαίῳ πίονι. Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν
τοῖς ἐχθροῖς μου· καὶ ἐν τοῖς ἐπανισταμένοις ἐ-
π' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου.
Δίκαιος ὡς φοῖνιξ ἀνθήσει· ὡσεὶ κέδρος ἡ ἐν
τῷ λιβάνῳ πληθυνθήσεται. Πεφυτευμένοι
ἐν τῷ οἴκῳ κυ̅· ἐν ταῖς αὐλαῖς τοῦ θυ̅ ἡμῶν
ἐξανθήσουσιν. Ἔτι πληθυνθήσονται ἐν γήρει πί-
ονι· καὶ εὐπαθοῦντες ἔσονται τοῦ ἀναγγεῖλαι. Ὅτι
εὐθὴς κς̅ ὁ θς̅ ἡμῶν· καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ:~

Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου ὅτε κατῴ-
κισται ἡ γῆ, αἶνος ᾠδῆς τῷ δα̅δ. ϟβʹ 92

Ὁ κς̅ ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύ-
σατο. Ἐνεδύσατο κς̅ δύναμιν καὶ περι-
εζώσατο· καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥ-
τις οὐ σαλευθήσεται. Ἕτοιμος ὁ θρόνος σου ἀ-
πὸ τότε· ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Ἐπῆραν οἱ πο-
ταμοὶ κε̅, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐ-

τῶν. Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν. ἀ-
πὸ φωνῶν ὑδάτων πολλῶν. Θαυμαστοὶ οἱ
μετεωρισμοὶ τῆς θαλάσσης. θαυμαστὸς ἐν ὑ-
ψηλοῖς ὁ κς. Τὰ μαρτύριά σου ἐπιστώθησαν
σφόδρα. τῷ οἴκῳ σου πρέπει ἁγίασμα κε, εἰς
μακρότητα ἡμερῶν:~

Ψαλμὸς τῷ Δαδ τετράδι σαββάτου. ϞΓ 93.

Θεὸς ἐκδικήσεων κς. θς ἐκδικήσεων
ἐπαρρησιάσατο. Ὑψώθητι ὁ κρίνων
τὴν γῆν. ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφά-
νοις. Ἕως πότε ἁμαρτωλοὶ κε. ἕως πότε ἁ-
μαρτωλοὶ καυχήσονται. Φθέγξονται καὶ λα-
λήσουσιν ἀδικίαν. λαλήσουσι πάντες οἱ ἐργα-
ζόμενοι τὴν ἀνομίαν. Τὸν λαόν σου κε, ἐτα-
πείνωσαν. καὶ τὴν κληρονομίαν σου, ἐκάκω-
σαν. Χήραν καὶ ὀρφανὸν, ἀπέκτειναν. καὶ προ-
σήλυτον ἐφόνευσαν. Καὶ εἶπαν οὐκ ὄψεται
κς. οὐδὲ συνήσει ὁ θς τοῦ ἰακώβ. Σύνετε δὴ ἄ-

φρόνιμοι ἐν τῷ λαῷ· καὶ μωροί, ποτὲ φρονή
σατε. Ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; ἢ ὁ πλά
σας τὸν ὀφθαλμὸν οὐχὶ κατανοεῖ; Ὁ παιδεύ
ων ἔθνη, οὐχὶ ἐλέγξει; ὁ διδάσκων ἄνθρωπον γνῶσιν;
Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων ὅτι εἰ
σὶ μάταιοι. Μακάριος ἄνθρωπος ὃν ἂν παιδεύσῃς
κύριε· καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν. Τοῦ πραΰναι
αὐτὸν ἀφ᾽ ἡμερῶν πονηρῶν· ἕως οὗ ὀρυγῇ τῷ ἁμαρ
τωλῷ βόθρος. Ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν
αὐτοῦ· καὶ τὴν κληρονομίαν αὐτοῦ, οὐκ ἐγκαταλεί
ψει. Ἕως οὗ δικαιοσύνη ἐπιστρέψει εἰς κρίσιν
καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρ-
δίᾳ. Διάψαλμα. Τίς ἀναστήσεταί μοι ἐπὶ
πονηρευομένοις· ἢ τίς συμπαραστήσεταί μοι
ἐπὶ τοῖς ἐργαζομένοις τὴν ἀνομίαν. Εἰ μὴ ὅ-
τι κύριος ἐβοήθησέ μοι, παραβραχὺ παρῴκησε τῷ
ᾅδῃ ἡ ψυχή μου. Εἰ ἔλεγον σεσάλευται ὁ πούς
μου, τὸ ἔλεός σου κύριε ἐβοήθει μοι. Κατὰ τὸ πλῆ
θος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ πα
ρακλήσεις σου, εὔφραναν τὴν ψυχήν μου. Μὴ
συμπροσέστω

συμπροσέσωσοι θρόνος ἀνομίας· ὁ πλάσσων κό
πον ἐπὶ πρόσταγμα. Θηρεύσουσιν ἐπὶ ψυχὴν
δικαίου· καὶ αἷμα ἀθῷον καταδικάσονται.
Καὶ ἐγένετό μοι κ͞ς, εἰς καταφυγήν· καὶ ὁ θ͞ς μου
εἰς βοηθὸν ἐλπίδος μου. Καὶ ἀποδώσει αὐ-
τοῖς κ͞ς τὴν ἀνομίαν αὐτῶν· καὶ κατὰ τὴν πο
νηρίαν αὐτῶν, ἀφανιεῖ αὐτοὺς κ͞ς ὁ θ͞ς :~ Δόξα.

## Αἶνος ᾠδῆς τῷ Δα͞δ, ἀνεπίγραφος παρ' ἑβραίοις.

ϟδʹ 94.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κ͞ῳ· ἀλα
λάξωμεν τῷ θ͞ῷ τῷ σωτῆρι ἡμῶν.
Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομο-
λογήσει· καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐ-
τῷ. Ὅτι θ͞ς μέγας κ͞ς, καὶ βασιλεὺς μέγας
ἐπὶ πᾶσαν τὴν γῆν. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ
πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν.
Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ αὐτὸς ἐποίησεν αὐ
τήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐ-
τῷ. καὶ κλαύσωμεν ἐναντίον κυρίου τοῦ ποιήσαν-
τος ἡμᾶς. Ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν. καὶ ἡμεῖς
λαὸς νομῆς αὐτοῦ. καὶ πρόβατα χειρὸς αὐ-
τοῦ. Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούση-
τε, μὴ σκληρύνητε τὰς καρδίας ἡμῶν, ὡς
ἐν τῷ παραπικρασμῷ. Κατὰ τὴν ἡμέραν
τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ. οὗ ἐπείρασάν με
οἱ πατέρες ὑμῶν. Ἐδοκίμασάν με, καὶ εἶδον
τὰ ἔργα μου, τεσσαράκοντα ἔτη. προσώχθισα
τῇ γενεᾷ ἐκείνῃ. Καὶ εἶπα, ἀεὶ πλανῶνται
τῇ καρδίᾳ. αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς
μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου. εἰ εἰσελεύσον-
(ται εἰς τὴν κατάπαυσίν μου:~

Αἶνος ᾠδῆς τῷ Δαυίδ, ὅτε ὁ οἶκος ᾠκοδομεῖ-
το μετὰ τὴν αἰχμαλωσίαν. ἀνεπίγραφος,
παρ' ἑβραίοις. ϟε 95

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν. ᾄσατε τῷ

κῷ πᾶσα ἡ γῆ. Ἄ σατε τῷ κῷ. εὐλογήσατε τὸ ὄ
νομα αὐτοῦ. Ἐ ὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέ
ρας, τὸ σωτήριον αὐτοῦ. Ἀ ναγγείλατε ἐν
τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ. Ὅ τι μέγας κς
καὶ αἰνετὸς σφόδρα. φοβερός ἐστιν ὑπὲρ πάν-
τας τοὺς θεούς. Ὅ τι πάντες οἱ θεοὶ τῶν ἐ-
θνῶν, δαιμόνια. ὁ δὲ κς τοὺς οὐρανοὺς ἐποίησεν.
Ἐ ξομολόγησις καὶ ὡραιότης, ἐνώπιον αὐτοῦ.
ἁγιωσύνη καὶ μεγαλοπρέπεια, ἐν τῷ ἁγιά-
σματι αὐτοῦ. Ἐ νέγκατε τῷ κῷ αἱ πα-
τριαὶ τῶν ἐθνῶν. ἐνέγκατε τῷ κῷ δόξαν καὶ
τιμήν. Ἐ νέγκατε τῷ κῷ δόξαν ὀνόματι
αὐτοῦ. ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς
αὐλὰς αὐτοῦ. Π ροσκυνήσατε τῷ κῷ
ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. σαλευθήτω ἀπὸ προ-
σώπου αὐτοῦ πᾶσα ἡ γῆ. Ε ἴπατε ἐν τοῖς
ἔθνεσιν, ὅτι κς ἐβασίλευσε. καὶ γὰρ κατώρθω
σε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.
κρινεῖ λαοὺς ἐν εὐθύτητι. Ε ὐφρανέσθω-
σαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ. σαλευθή-

τω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς. Χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς. τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ. Ἀπὸ προσώπου κυ, ὅτι ἔρχεται. ὅτι ἔρχεται κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ:~

## Ψαλμὸς τῷ Δαδ ὅτε ἡ γῆ αὐτῷ καθίστατο. ἀνεπίγραφος παρ' ἑβραίοις. ϟϛʹ 96.

Κς ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ. εὐφρανθήτωσαν νῆσοι πολλαί. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ. δικαιοσύνη καὶ κρίμα, κατόρθωσις τοῦ θρόνου αὐτοῦ. Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται. καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ. εἶδε καὶ ἐσαλεύθη ἡ γῆ. Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου κυ. ἀπὸ προσώπου κυ πάσης τῆς γῆς. Ἀνήγγειλαν οἱ οὐνοὶ τὴν δικαιοσύνην αὐτοῦ.

καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ.
Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς
γλυπτοῖς. οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις
αὐτῶν. Προσκυνήσατε αὐτῷ πάντες ἄγγελοι
αὐτοῦ. Ἤκουσε καὶ εὐφράνθη σιών. καὶ ἠγαλ-
λιάσαντο αἱ θυγατέρες τῆς ἰουδαίας. ἕνεκεν
τῶν κριμάτων σου κε. Ὅτι σὺ κς ὕψιστος ἐπὶ
πᾶσαν τὴν γῆν. σφόδρα ὑπερυψώθης ὑπὲρ
πάντας τοὺς θεούς. Οἱ ἀγαπῶντες τὸν κν,
μισεῖτε πονηρά. φυλάσσει κς τὰς ψυχὰς
τῶν ὁσίων αὐτοῦ. ἐκ χειρὸς ἁμαρτωλῶν ῥύσεται
αὐτούς. Φῶς ἀνέτειλε τῷ δικαίῳ. καὶ τοῖς
εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Εὐφράνθητε δί-
καιοι ἐν τῷ κῷ. καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ
τῆς ἁγιωσύνης αὐτοῦ:~ Δόξα

## Ψαλμὸς τῷ Δαδ. ϟϛ΄ 97.

Ἄσατε τῷ κῷ ᾆσμα καινόν. ὅτι θαυ-
μαστὰ ἐποίησεν ὁ κς. Ἔσωσεν αὐτὸν ἡ

δεξιὰ αὐτοῦ. καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.
Ἐ γνώρισε κύριος τὸ σωτήριον αὐτοῦ. ἐναντίον τῶν
ἐθνων ἀπεκάλυψε τὴν δικαιοσύνην αὐ-
τοῦ. Ἐ μνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ ἰακώβ.
καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ ἰσραήλ. Εἴ ἴδο
σαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον
τοῦ θεοῦ ἡμῶν. Ἀ λαλάξατε τῷ θεῷ πᾶσα
ἡ γῆ. ᾄσατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε.
Ψ άλατε τῷ κυρίῳ ἐν κιθάρᾳ. ἐν κιθάρᾳ καὶ
φωνῇ ψαλμοῦ. ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φω
νῇ σάλπιγγος κερατίνης. Ἀ λαλάξατε ἐ
νώπιον τοῦ βασιλέως κυρίου. Σ αλευθήτω ἡ θά-
λασσα καὶ τὸ πλήρωμα αὐτῆς. ἡ οἰκουμένη
καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Π ο
ταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό. τὰ ὄρη
ἀγαλλιάσονται ἀπὸ προσώπου κυρίου, ὅτι ἔρ
χεται. ὅτι ἥκει κρῖναι τὴν γῆν. Κ ρινεῖ
τὴν οἰκουμένην ἐν δικαιοσύ-
νῃ. καὶ
λαοὺς ἐν εὐθύ
τητι:~

## Ψαλμὸς τῷ Δαυΐδ. ϟη´ 98.

Κς ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί· ὁ
καθήμενος ἐπὶ τῶν χερουβὶμ, σαλευθή-
τω ἡ γῆ. Κς ἐν σιὼν μέγας· καὶ ὑψηλός ἐστιν ἐπὶ
πάντας τοὺς λαούς. Ἐξομολογησάσθωσαν
τῷ ὀνόματί σου τῷ μεγάλῳ· ὅτι φοβερὸν καὶ ἅ-
γιόν ἐστι· καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ. Σὺ
ἡτοίμασας εὐθύτητας· κρίσιν καὶ δικαιοσύνην
ἐν ἰακὼβ, σὺ ἐποίησας. Ὑψοῦτε κν τὸν θν ἡμῶν·
καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐ-
τοῦ, ὅτι ἅγιός ἐστι. Μωϋσῆς καὶ ἀαρὼν ἐν τοῖς ἱε-
ρεῦσιν αὐτοῦ· καὶ σαμουὴλ ἐν τοῖς ἐπικαλου-
μένοις τὸ ὄνομα αὐτοῦ. Ἐπεκαλοῦντο τὸν κν
καὶ αὐτὸς εἰσήκουεν αὐτῶν· ἐν στύλῳ νεφέλης
ἐλάλει πρὸς αὐτούς. Ὅτι ἐφύλασσον τὰ μαρ-
τύρια αὐτοῦ· καὶ τὰ προστάγματα αὐτοῦ ἃ ἔδω-
κεν αὐτοῖς. Κε ὁ θς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν· ὁ θς,
σὺ εὐίλατος ἐγίνου αὐτοῖς· καὶ ἐκδικῶν ἐπὶ πάντα

τὰ ἐπιτηδεύματα αὐτῶν. Ὑψοῦτε κύριον τὸν θεὸν
ἡμῶν. καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐ-
τοῦ, ὅτι ἅγιος κύριος ὁ θεὸς ἡμῶν.

Ψαλμὸς τῷ Δαυὶδ εἰς ἐξομολόγησιν. ϟθ'. 99.

Ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ. Δουλεύ-
σατε τῷ κυρίῳ ἐν εὐφροσύνῃ. Εἰσέλθετε
ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει. γνῶτε ὅτι κύριος
αὐτός ἐστιν ὁ θεὸς ἡμῶν. Αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ
οὐχ ἡμεῖς. ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα νο-
μῆς αὐτοῦ. Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ
ἐν ἐξομολογήσει. εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕ-
μνοις. Ἐξομολογεῖσθε αὐτῷ. αἰνεῖτε τὸ ὄνομα αὐ-
τοῦ. ὅτι χρηστὸς κύριος. εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐ-
τοῦ. Καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

Ψαλμὸς τῷ Δαυίδ. ρ' 100

Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι κύριε. ψαλῶ
καὶ συνήσω

καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ· πότε ἥξεις πρός με.
Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέ
σῳ τοῦ οἴκου μου. Οὐ προετιθέμην πρὸ ὀφθαλ
μῶν μου, πρᾶγμα παράνομον. ποιοῦντας πα
ραβάσεις ἐμίσησα. Οὐκ ἐκολλήθη μοι καρδία
σκαμβή. ἐκκλίνοντος ἀπ᾽ ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγί
νωσκον. Τὸν καταλαλοῦντα λάθρα τοῦ
πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. Ὑπερηφά
νῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ
συνήσθιον. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πι
στοὺς τῆς γῆς. τοῦ συγκαθῆσθαι αὐτοὺς μετ᾽ ἐ
μοῦ. Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι
ἐλειτούργει. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας
μου, ποιῶν ὑπερηφανίαν. Λαλῶν ἄδικα,
οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.
Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁ
μαρτωλοὺς τῆς γῆς. Τοῦ ἐξολοθρεῦσαι ἐκ πό
λεως κυρίου, πάντας τοὺς ἐργαζομένους τὴν ἀ
(νομίαν:~

Δόξα, κάθισμα. ιε´

Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ· καὶ ἐναντίον κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ. ρα΄ 101.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ. Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου. Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου. καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν. Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου. ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου, ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ· ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ. Ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. Ὅλην τὴν ἡμέραν, ὠνείδιζόν με οἱ ἐχθροί μου. καὶ οἱ ἐπαινοῦντές με κατ᾿ ἐμοῦ ὤμνυον. Ὅτι σποδὸν ὡσεὶ

ἄρτον ἔφαγον. καὶ τὸ πόμα μου μετὰ κλαυ-
θμοῦ ἐκίρνων. Ἀπὸ προσώπου τῆς ὀργῆς σου
καὶ τοῦ θυμοῦ σου. ὅτι ἐπάρας κατέρραξάς με. Αἱ
ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν. κἀγὼ ὡσεὶ
χόρτος ἐξηράνθην. Σὺ δὲ κε εἰς τὸν αἰῶνα μέ-
νεις. καὶ τὸ μνημόσυνόν σου, εἰς γενεάν, καὶ γενε-
άν. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν σιών. ὅτι και-
ρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός.
Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου, τοὺς λίθους αὐτῆς·
καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. Καὶ φοβηθή-
σονται τὰ ἔθνη τὸ ὄνομα κυ. καὶ πάντες οἱ βα-
σιλεῖς τῆς γῆς τὴν δόξαν σου. Ὅτι οἰκοδο-
μήσει κς τὴν σιών. καὶ ὀφθήσεται ἐν τῇ δό-
ξῃ αὐτοῦ. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν
τῶν ταπεινῶν. καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν
αὐτῶν. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν.
καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν κν. Ὅτι
ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ. κς ἐξ οὐρα-
νοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε. Τοῦ ἀκοῦ-
σαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων. τοῦ λῦ

σαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Τοῦ ἀ-
ναγγεῖλαι ἐν σιὼν τὸ ὄνομα κυρίου. καὶ τὴν αἴνε-
σιν αὐτοῦ ἐν ἱερουσαλήμ. Ἐν τῷ ἐπισυνα-
χθῆναι λαοὺς ἐπὶ τὸ αὐτό. καὶ βασιλεῖς τοῦ δου-
λεύειν τῷ κυρίῳ. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος
αὐτοῦ· τὴν ὀλιγότητα τῶν ἡμερῶν μου, ἀνάγ-
γειλόν μοι. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμε-
ρῶν μου. ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. Κατ᾽ ἀρ-
χὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας. καὶ ἔργα τῶν
χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται
σὺ δὲ διαμενεῖς. Καὶ πάντες ὡς ἱμάτιον πα-
λαιωθήσονται. καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις
αὐτοὺς καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ,
καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Οἱ υἱοὶ τῶν
δούλων σου κατασκηνώσουσι. καὶ τὸ σπέρμα
αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται:~

## Ψαλμὸς τῷ Δαυΐδ. ρβʹ

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα
τὰ ἐντός

τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐ
λόγει ἡ ψυχή μου τὸν κν̄, καὶ μὴ ἐπιλανθάνου
πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Τὸν εὐιλα
τεύοντα πάσας τὰς ἀνομίας σου. τὸν ἰώμε-
νον πάσας τὰς νόσους σου. Τὸν λυτρούμενον ἐκ
φθορᾶς τὴν ζωήν σου. τὸν στεφανοῦντά σε ἐν
ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν ἐμπιμπλῶντα ἐν
ἀγαθοῖς τὴν ἐπιθυμίαν σου. ἀνακαινισθήσε
ται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύ-
νας ὁ κς̄ καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.
Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ μωϋσῇ. τοῖς υἱ
οῖς ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρ-
μων καὶ ἐλεήμων ὁ κς̄. μακρόθυμος καὶ πο
λυέλεος. Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς
τὸν αἰῶνα μηνιεῖ. οὐ κατὰ τὰς ἀνομίας ἡμῶν
ἐποίησεν ἡμῖν. οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡ
μῶν ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ τὸ ὕ-
ψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε κς̄ τὸ
ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν.

ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν·
Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε κύριος
τοὺς φοβουμένους αὐτόν. Ὅτι αὐτὸς ἔγνω τὸ
πλάσμα ἡμῶν· ἐμνήσθη ὅτι χοῦς ἐσμέν. Ἄν-
θρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄν-
θος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα
διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει· καὶ οὐκ ἐπι-
γνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος
τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος· καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς
φοβουμένους αὐτόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ
ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην
αὐτοῦ· καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ
τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοί-
μασε τὸν θρόνον αὐτοῦ· καὶ ἡ βασιλεία αὐ-
τοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν κύριον πάν-
τες ἄγγελοι αὐτοῦ· δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν
λόγον αὐτοῦ· τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λό-
γων αὐτοῦ. Εὐλογεῖτε τὸν κύριον πᾶσαι αἱ δυ-
νάμεις αὐτοῦ· λειτουργοὶ αὐτοῦ ποιοῦντες
τὸ θέλημα αὐτοῦ. Εὐλογεῖτε τὸν κύριον πάντα

τὰ ἔργα αὐτοῦ ἐν παντὶ τόπῳ τῆς δεσποτεί-
ας αὐτοῦ· εὐλόγει ἡ ψυχή μου τὸν κύριον. Δόξα.

Ψαλμὸς τῷ Δαβὶδ ὑπὲρ τῆς τοῦ κόσμου συστά-
σεως. ργ´ 103.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον. κύριε
ὁ θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομο
λόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω. Ἀνα-
βαλλόμενος φῶς ὡς ἱμάτιον. ἐκτείνων τὸν οὐ
ρανὸν ὡσεὶ δέρριν. Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπε
ρῷα αὐτοῦ. ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐ-
τοῦ. Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. ὁ-
ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ
τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θε-
μελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς. οὐ
κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος
ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ. ἐπὶ τῶν ὀ
ρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς
σου φεύξονται. ἀπὸ φωνῆς βροντῆς σου δειλιάσου
σιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πε-

δία εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου ὃ οὐ παρελεύσονται· οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν· ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι· καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου· αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσεύσουσι· τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις· πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥ-

λιος ἔγνω

λιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος καὶ
ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ
θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ
ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ θεοῦ βρῶσιν αὐ
τοῖς. Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν, καὶ
εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.
Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ
τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμε-
γαλύνθη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐ-
ποίησας. Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.
Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος·
Ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός· ζῷα μικρὰ
μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται.
δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.
Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τρο-
φὴν αὐτῶν εἰς εὔκαιρον. δόντος σου αὐτοῖς, συλ
λέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμ
παντα πλησθήσονται χρηστότητος. ἀποστρέ-
ψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.
Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψου-

σι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαπο-
στελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται. καὶ ἀνα-
καινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα
κυρίου εἰς τοὺς αἰῶνας. εὐφρανθήσεται κύριος ἐπὶ
τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν
γῆν καὶ ποιῶν αὐτὴν τρέμειν. ὁ ἁπτόμενος τῶν
ὀρέων καὶ καπνίζονται. Ἄσω τῷ κυρίῳ ἐν τῇ
ζωῇ μου. ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω. Ἡδυν-
θείη αὐτῷ ἡ διαλογή μου. ἐγὼ δὲ εὐφρανθήσομαι
ἐπὶ τῷ κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς
γῆς. καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς.
εὐλόγει ἡ ψυχή μου τὸν κύριον :~ Δόξα.

Ἀλληλούϊα. ρδʹ 104

Ἐξομολογεῖσθε τῷ κυρίῳ καὶ ἐπικαλεῖσθε
τὸ ὄνομα αὐτοῦ. Ἀπαγγείλατε ἐν
τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ. ᾄσατε αὐτῷ καὶ ψά-
λατε αὐτῷ. Διηγήσασθε πάντα τὰ θαυμάσια
αὐτοῦ. ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ

αὐτοῦ. Εὐφρανθήτω καρδία ζητούντων τὸν
κύριον. Ζητήσατε τὸν κύριον καὶ κραταιώθητε. Ζη-
τήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός. Μνή-
σθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε. Τὰ
τέρατα αὐτοῦ, καὶ τὰ κρίματα τοῦ στόματος
αὐτοῦ. Σπέρμα ἀβραάμ, δοῦλοι αὐτοῦ. υἱοὶ
ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. Αὐτὸς κύριος ὁ θεὸς ἡμῶν.
ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. Ἐμνήσθη
εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ. λόγου οὗ ἐνετεί-
λατο εἰς χιλίας γενεάς. Ὃν διέθετο τῷ ἀβρα-
άμ. καὶ τοῦ ὅρκου αὐτοῦ τῷ ἰσαάκ. Καὶ ἔστη-
σεν αὐτὸν τῷ ἰακὼβ εἰς πρόσταγμα. καὶ τῷ ἰσρα-
ὴλ εἰς διαθήκην αἰώνιον. Λέγων, σοὶ δώσω τὴν
γῆν χαναάν. σχοίνισμα κληρονομίας ὑμῶν.
Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς. ὀλιγο-
στοὺς καὶ παροίκους ἐν αὐτῇ. Καὶ διῆλθεν ἐξ
ἔθνους εἰς ἔθνος. καὶ ἐκ βασιλείας εἰς λαὸν ἕ-
τερον. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐ-
τούς. καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς. Μὴ ἅπτε-
σθε τῶν χριστῶν μου. καὶ ἐν τοῖς προφήταις μου

μὴ πονηρεύεσθε. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν
γῆν· πᾶν στήριγμα ἄρτου συνέτριψεν. Ἀπέ
στειλεν ἔμπροσθεν αὐτῶν, ἄνθρωπον· εἰς δοῦ-
λον ἐπράθη ἰωσήφ. Ἐταπείνωσαν ἐν πέδαις
τοὺς πόδας αὐτοῦ· σίδηρον διῆλθεν ἡ ψυχὴ
αὐτοῦ. Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ· τὸ
λόγιον κῦ ἐπύρωσεν αὐτόν. Ἀπέστειλεν βα
σιλεὺς καὶ ἔλυσεν αὐτόν· ἄρχων λαοῦ καὶ ἀ-
φῆκεν αὐτόν. Κατέστησεν αὐτὸν κύριον τοῦ
οἴκου αὐτοῦ· καὶ ἄρχοντα πάσης τῆς κτήσεως
αὐτοῦ. Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐ
τοῦ ὡς ἑαυτόν· καὶ τοὺς πρεσβυτέρους αὐτοῦ
σοφίσαι. Καὶ εἰσῆλθεν ἰσραὴλ εἰς αἴγυπτον·
καὶ ἰακώβ, παρῴκησεν ἐν γῇ χάμ. Καὶ ηὔξησε
τὸν λαὸν αὐτοῦ σφόδρα· καὶ ἐκραταίωσεν αὐ
τὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ. Μετέστρεψε τὴν
καρδίαν αὐτοῦ τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ·
τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ. Ἐξα-
πέστειλε μωϋσῆν τὸν δοῦλον αὐτοῦ· ἀα-
ρὼν ὃν ἐξελέξατο ἑαυτῷ. Ἔθετο ἐν αὐτοῖς

τοὺς λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τε-
ράτων αὐτοῦ ἐν γῇ χάμ. Ἐξαπέστειλε σκό-
τος καὶ σκότασεν. ὅτι παρεπίκραναν τοὺς
λόγους αὐτοῦ. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς
αἷμα· καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν. Ἐξῆρ-
ψεν ἡ γῆ αὐτῶν βατράχους. ἐν τοῖς ταμείοις τῶν
βασιλέων αὐτῶν. Εἶπε καὶ ἦλθε κυνόμυια.
καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν. Ἔθε-
το τὰς βροχὰς αὐτῶν, χάλαζαν. πῦρ κατα-
φλέγον ἐν τῇ γῇ αὐτῶν. Καὶ ἐπάταξε τὰς
ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν. καὶ
συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν. Εἶπε καὶ
ἦλθεν ἀκρίς. καὶ βροῦχος οὗ οὐκ ἦν ἀριθμός.
Καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐ-
τῶν· καὶ κατέφαγε τὸν καρπὸν τῆς γῆς
αὐτῶν. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ
γῇ αὐτῶν. ἀπαρχὴν παντὸς πόνου αὐτῶν.
Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ.
καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.
Εὐφράνθη αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν. ὅτι

ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς. Διε-
πέτασε νεφέλην εἰς σκέπην αὐτοῖς. καὶ πῦρ
τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα. Ἤτησαν καὶ ἦλ-
θεν ὀρτυγομήτρα. καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν
αὐτούς. Διέρρηξε πέτραν, καὶ ἐρρύησαν ὕδατα.
ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί. Ὅτι ἐμνή-
σθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ. τοῦ πρὸς ἀβραὰμ
τὸν δοῦλον αὐτοῦ. Καὶ ἐξήγαγε τὸν λαὸν αὐ-
τοῦ ἐν ἀγαλλιάσει. καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐ-
φροσύνῃ. Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν.
καὶ πόνους λαῶν κατεκληρονόμησαν. Ὅπως
ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ. καὶ τὸν νό-
μον αὐτοῦ ἐκζητήσωσιν:~ Δόξα, κάθισμα. ιδ'

Ἀλληλούϊα. ρε' 105.

Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι χρηστός. ὅτι
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τίς λα-
λήσει τὰς δυναστείας τοῦ κυρίου. ἀκουστὰς ποιή-
σει πάσας τὰς αἰνέσεις αὐτοῦ. Μακάριοι οἱ

φυλάσσοντες κρίσιν. καὶ ποιοῦντες δικαιοσύ
νην ἐν παντὶ καιρῷ. Μνήσθητι ἡμῶν κε ἐν
τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου. ἐπίσκεψαι ἡμᾶς
ἐν τῷ σωτηρίῳ σου. Τοῦ ἰδεῖν ἐν τῇ χρηστότη
τι τῶν ἐκλεκτῶν σου. τοῦ εὐφρανθῆναι ἐν τῇ
εὐφροσύνῃ τοῦ ἔθνους σου. Τοῦ ἐπαινεῖσθαι με
τὰ τῆς κληρονομίας σου. Ἡμάρτομεν με-
τὰ τῶν πατέρων ἡμῶν. ἠνομήσαμεν. ἠδικήσα-
μεν. Οἱ πατέρες ἡμῶν ἐν αἰγύπτῳ οὐ συνῆ
καν τὰ θαυμάσιά σου. οὐκ ἐμνήσθησαν τοῦ πλή
θους τοῦ ἐλέους σου. Καὶ παρεπίκραναν ἀ-
ναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. καὶ ἔ-
σωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.
Τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ. καὶ ἐπε
τίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ. καὶ ἐξηράνθη.
Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ. ὡς ἐν ἐρήμῳ.
καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισούντων. Καὶ
ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ. Ἐκά-
λυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς. εἷς ἐξ αὐτῶν
οὐχ ὑπελείφθη. Καὶ ἐπίστευσαν ἐν τῷ λόγῳ αὐτοῦ. καὶ

ἦσαν τὴν αἴνεσιν αὐτοῦ. Ἐτάχυναν ἐπελά-
θοντο τῶν ἔργων αὐτοῦ· οὐχ ὑπέμειναν τὴν βου-
λὴν αὐτοῦ. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν
τῇ ἐρήμῳ· καὶ ἐπείρασαν τὸν θεὸν ἐν ἀνύδρῳ.
Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν· ἐξαπέ-
στειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν. Καὶ
παρώργισαν τὸν μωϋσῆν ἐν τῇ παρεμβολῇ·
τὸν ἀαρὼν τὸν ἅγιον κυρίου. Ἠνοίχθη ἡ γῆ καὶ κα-
τέπιε δαθάν· καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγω-
γὴν ἀβειρών. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συνα-
γωγῇ αὐτῶν· φλὸξ κατέφλεξεν ἁμαρτω-
λούς. Καὶ ἐποίησαν μόσχον ἐν χωρήβ· καὶ προσε-
κύνησαν τῷ γλυπτῷ. Καὶ ἠλλάξαντο τὴν δό-
ξαν αὐτοῦ, ἐν ὁμοιώματι μόσχου ἔσθοντος χόρ-
τον. Καὶ ἐπελάθοντο τοῦ θεοῦ τοῦ σώζοντος αὐτούς·
τοῦ ποιήσαντος μεγάλα ἐν αἰγύπτῳ. Θαυμά-
σια ἐν γῇ χάμ· φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς.
Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς· εἰ μὴ μωϋ-
σῆς ὁ ἐκλεκτὸς αὐτοῦ, ἔστη ἐν τῇ θραύσει ἐνώπι-
ον αὐτοῦ· τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ· τοῦ μὴ
ἐξολοθρεῦσαι

ἐξολοθρεῦσαι αὐτούς. Καὶ ἐξουδένωσαν τὴν ἐπι-
θυμητήν· οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ.
Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν.
οὐκ εἰσήκουσαν τῆς φωνῆς κυρίου. Καὶ ἐπῆρε τὴν
χεῖρα αὐτοῦ ἐπ' αὐτούς. τοῦ καταβαλεῖν
αὐτοὺς ἐν τῇ ἐρήμῳ. Καὶ τοῦ καταβαλεῖν τὸ
σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι. καὶ διασκορ-
πίσαι αὐτοὺς ἐν ταῖς χώραις. Καὶ ἐτελέσθη-
σαν τῷ Βεελφεγώρ· καὶ ἔφαγον θυσίας νεκρῶν.
Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμα-
σιν αὐτῶν· καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.
Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν
ἡ θραῦσις· καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.
εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. Καὶ πα-
ρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας. καὶ
ἐκακώθη Μωϋσῆς δι' αὐτούς. Ὅτι παρεπί-
κραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς
χείλεσιν αὐτοῦ. Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη
ἃ εἶπε κύριος αὐτοῖς. καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι
καὶ ἔμαθον τὰ ἔργα αὐτῶν. Καὶ ἐδούλευσαν

τοῖς γλυπτοῖς αὐτῶν· καὶ ἐγενήθη αὐτοῖς εἰς
σκάνδαλον. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ
τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. Καὶ
ἐξέχεαν αἷμα ἀθῷον· αἷμα υἱῶν αὐτῶν καὶ θυ-
γατέρων· ὧν ἔθυσαν τοῖς γλυπτοῖς χαναάν.
Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι· καὶ ἐ-
μιάνθη ἐν τοῖς ἔργοις αὐτῶν. Καὶ ἐπόρνευσαν
ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Καὶ ὠργίσθη
θυμῷ κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ· καὶ ἐβδελύξατο
τὴν κληρονομίαν αὐτοῦ. Καὶ παρέδωκεν αὐ-
τοὺς εἰς χεῖρας ἐχθρῶν· καὶ ἐκυρίευσαν αὐτῶν
οἱ μισοῦντες αὐτούς. Καὶ ἔθλιψαν αὐτοὺς
οἱ ἐχθροὶ αὐτῶν· καὶ ἐταπεινώθησαν ὑπὸ τὰς
χεῖρας αὐτῶν. Πλεονάκις ἐρρύσατο αὐτούς.
αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐ-
τῶν. Καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐ-
τῶν. Καὶ εἶδε κύριος ἐν τῷ θλίβεσθαι αὐτούς· ἐν τῷ
αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν. Καὶ ἐμνή-
σθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ
τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ. Καὶ ἔδωκεν αὐτοὺς

εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλω
τευσάντων αὐτούς. Σῶσον ἡμᾶς κε ὁ θς ἡμῶν.
καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν. Τοῦ ἐξομο-
λογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ. τοῦ ἐγκαυ
χᾶσθαι ἐν τῇ αἰνέσει σου. Εὐλογητὸς κς ὁ θς
ἰσραήλ. ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος. καὶ
ἐρεῖ πᾶς ὁ λαός. γένοιτο γένοιτο. Δόξα.

## Ἀλληλούια. ρς' 106.

Ἐξομολογεῖσθε τῷ κῷ ὅτι χρηστός, ὅτι
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπά-
τωσαν οἱ λελυτρωμένοι ὑπὸ κυ. οὓς ἐλυτρώσατο
ἐκ χειρὸς ἐχθροῦ. καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς.
Ἀπὸ ἀνατολῶν, καὶ δυσμῶν, καὶ βορρᾶ, καὶ θα
λάσσης. ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ.
Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον. πει
νῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐ-
τοῖς ἐξέλιπεν. Καὶ ἐκέκραξαν πρὸς κν ἐν
τῷ θλίβεσθαι αὐτούς. καὶ ἐκ τῶν ἀναγκῶν αὐ-

τῶν ἐρρύσατο αὐτούς. Καὶ ὡδήγησεν αὐτοὺς εἰς
ὁδὸν εὐθεῖαν. τοῦ πορευθῆναι εἰς πόλιν κατοικη-
τηρίου. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐ-
λέη αὐτοῦ. καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν
ἀνθρώπων. Ὅτι ἐχόρτασε ψυχὴν κενήν. καὶ ψυ-
χὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν. Καθημέ-
νους ἐν σκότει καὶ σκιᾷ θανάτου. πεπεδημένους
ἐν πτωχείᾳ καὶ σιδήρῳ. Ὅτι παρεπίκραναν τὰ
λόγια τοῦ θεοῦ. καὶ τὴν βουλὴν τοῦ ὑψίστου παρώ-
ξυναν. Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία
αὐτῶν. ἠσθένησαν καὶ οὐκ ἦν ὁ βοηθῶν. Καὶ ἐκέκρα-
ξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς. καὶ ἐκ τῶν ἀ-
ναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Καὶ ἐξήγαγεν αὐ-
τοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου. καὶ τοὺς δεσμοὺς
αὐτῶν διέρρηξεν. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ
τὰ ἐλέη αὐτοῦ. καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς
υἱοῖς τῶν ἀνθρώπων. Ὅτι συνέτριψε πύλας χαλ-
κᾶς. καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. Ἀν-
τελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν. διὰ
γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.

Πᾶν βρῶμα

Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν. καὶ
ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου. Καὶ
ἐκέκραξαν πρὸς κῦ ἐν τῷ θλίβεσθαι αὐ-
τούς. καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐ-
τούς. Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσα-
το αὐτούς. καὶ ἐρρύσατο αὐτοὺς, ἐκ τῶν δια-
φθορῶν αὐτῶν. Ἐξομολογησάσθωσαν τῷ κῷ
τὰ ἐλέη αὐτοῦ. καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς
υἱοῖς τῶν ἀνων. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν
αἰνέσεως. καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ
ἐν ἀγαλλιάσει. Οἱ καταβαίνοντες εἰς θά-
λασσαν ἐν πλοίοις. ποιοῦντες ἐργασίαν ἐν ὕδα-
σι πολλοῖς. Αὐτοὶ εἶδον τὰ ἔργα κῦ. καὶ τὰ
θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ. Εἶπε καὶ ἔστη
πνεῦμα καταιγίδος. καὶ ὑψώθη τὰ κύμα-
τα αὐτῆς. Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν. καὶ
καταβαίνουσιν ἕως τῶν ἀβύσσων. Ἡ ψυχὴ αὐ-
τῶν ἐν κακοῖς ἐτήκετο. ἐταράχθησαν, ἐσαλεύ-
θησαν ὡς ὁ μεθύων. καὶ πᾶσα ἡ σοφία αὐτῶν
κατεπόθη. Καὶ ἐκέκραξαν πρὸς κῦ ἐν τῷ

θλίβεσθαι αὐτούς· καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν, ἐξήγα-
γεν αὐτούς. Καὶ ἐπέταξε τῇ καταιγίδι καὶ
ἔστη εἰς αὔραν· καὶ ἐσίγησαν τὰ κύματα αὐ-
τῆς. Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν· καὶ
ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος
αὐτῶν. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη
αὐτοῦ· καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν
ἀνθρώπων. Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ
λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτω-
σαν αὐτόν. Ἔθετο ποταμοὺς εἰς ἔρημον· καὶ
διεξόδους ὑδάτων εἰς δίψαν. Γῆν καρποφό-
ρον εἰς ἅλμην· ἀπὸ κακίας τῶν κατοικούν-
των ἐν αὐτῇ. Ἔθετο ἔρημον εἰς λίμνας ὑδά-
των· καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων.
Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας· καὶ συνε-
στήσαντο πόλεις κατοικεσίας. Καὶ ἔσπειραν
ἀγρούς, καὶ ἐφύτευσαν ἀμπελῶνας· καὶ ἐποίη-
σαν καρπὸν γενήματος. Καὶ εὐλόγησεν αὐ-
τούς, καὶ ἐπληθύνθησαν σφόδρα· καὶ τὰ κτή-
νη αὐτῶν οὐκ ἐσμίκρυνε. Καὶ ὠλιγώθησαν καὶ

ἐκακώθησαν. ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης. Ἐξε-
χύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν. καὶ ἐπλά-
νησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ. Καὶ ἐβοή-
θησε πένητι ἐκ πτωχείας. καὶ ἔθετο ὡς πρό-
βατα πατριάς. Ὄψονται εὐθεῖς καὶ εὐφρανθή-
σονται. καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐ-
τῆς. Τίς σοφὸς καὶ φυλάξει ταῦτα. καὶ συ-
νήσουσι τὰ ἐλέη τοῦ κυρίου:~ Δόξα.

## Ὠιδὴ ψαλμοῦ τῷ Δαυΐδ. ρζ΄ 107.

Ἑτοίμη ἡ καρδία μου ὁ θεὸς ἑτοίμη ἡ
καρδία μου. ᾄσομαι καὶ ψαλῶ ἐν τῇ
δόξῃ μου. Ἐξεγέρθητι ἡ δόξα μου. ἐξεγέρθητι
ψαλτήριον καὶ κιθάρα. ἐξεγερθήσομαι ὄρ-
θρου. Ἐξομολογήσομαί σοι ἐν λαοῖς κύριε. ψαλῶ
σοι ἐν ἔθνεσιν. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλε-
ός σου. καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Ὑψώ-
θητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός. καὶ ἐπὶ πᾶσαν τὴν
γῆν ἡ δόξα σου. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί,

τοί σου· σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.
Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ὑψωθήσο-
μαι καὶ διαμεριῶ σίκιμα· καὶ τὴν κοιλάδα τῶν
σκηνῶν διαμετρήσω. Ἐμός ἐστι γαλαάδ· καὶ
ἐμός ἐστι μανασσῆς· καὶ ἐφραὶμ ἀντίληψις
τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου· μω-
ὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν ἰδου-
μαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου· ἐμοὶ ἀλλό-
φυλοι ὑπετάγησαν. Τίς ἀπάξει με εἰς πό-
λιν περιοχῆς· ἢ τίς ὁδηγήσει με ἕως τῆς ἰδου-
μαίας. Οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; καὶ
οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν;
Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως· καὶ ματαία
σωτηρία ἀνθρώπου. Ἐν τῷ θεῷ ποιήσομεν
δύναμιν· καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν:~

## Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαδ. ρη' 108

Ὁ θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπή-
σῃς· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα

δολίου ἐ

δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ
γλώσσῃ δολίᾳ. καὶ λόγοις μίσους ἐκύκλωσάν
με. καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀ-
γαπᾶν με, ἐνδιέβαλλόν με· ἐγὼ δὲ προσηυχό-
μην. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγα-
θῶν. καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. Κα-
τάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν. καὶ διάβολος
στήτω ἐκ δεξιῶν αὐτοῦ. Ἐν τῷ κρίνεσθαι αὐ-
τόν, ἐξέλθοι καταδεδικασμένος. καὶ ἡ προσευ-
χὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Γενηθήτω-
σαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι. καὶ τὴν ἐπισκο-
πὴν αὐτοῦ λάβοι ἕτερος. Γενηθήτωσαν οἱ
υἱοὶ αὐτοῦ ὀρφανοί. καὶ ἡ γυνὴ αὐτοῦ χήρα.
Σαλευόμενοι μετανάστήτωσαν οἱ υἱοὶ αὐτοῦ.
καὶ ἐπαιτησάτωσαν. ἐκβληθήτωσαν ἐκ τῶν
οἰκοπέδων αὐτῶν. Ἐξερευνησάτω δανειστὴς πάν-
τα ὅσα ὑπάρχει αὐτῷ. καὶ διαρπασάτωσαν
ἀλλότριοι τοὺς πόνους αὐτοῦ. Μὴ ὑπαρξά-
τω αὐτῷ ἀντιλήπτωρ. μηδὲ γενηθήτω οἰκτίρ-
μων τοῖς ὀρφανοῖς αὐτοῦ. Γενηθήτω τὰ

τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν· ἐν γενεᾷ μιᾷ
ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ. Ἀναμνησθείη
ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι κυ· καὶ
ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ, μὴ ἐξαλειφθείη.
Γενηθήτωσαν ἐναντίον κυ διαπαντός· καὶ
ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.
Ἀνθῶν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος· καὶ κα-
τεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχόν· καὶ
κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.
Καὶ ἠγάπησε κατάραν καὶ ἥξει αὐτῷ· καὶ
οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται
ἀπ' αὐτοῦ. Καὶ ἐνεδύσατο κατάραν ὡς ἱ-
μάτιον· καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγ-
κατα αὐτοῦ· καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις
αὐτοῦ. Γενηθήτω αὐτῷ, ὡς ἱμάτιον ὃ περι-
βάλλεται· καὶ ὡσεὶ ζώνη ἣν διαπαντὸς περι-
ζώννυται. Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόν-
των με παρὰ κυ· καὶ τῶν λαλούντων πονη-
ρὰ κατὰ τῆς ψυχῆς μου. Καὶ σὺ κε κε ποί-
ησον μετ' ἐμοῦ· ἕνεκεν τοῦ ὀνόματός σου· ὅτι χρη-

στὸν τὸ ἔλεός σου. Ῥῦσαί με ὅτι πτωχὸς καὶ πέ-
νης εἰμὶ ἐγώ. καὶ ἡ καρδία μου τετάρακται
ἐντός μου. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐ-
τὴν ἀντανῃρέθην. ἐξετινάχθην ὡσεὶ ἀκρί-
δες. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας.
καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. Κἀγὼ ἐγε-
νήθην ὄνειδος αὐτοῖς. εἴδοσάν με, ἐσάλευσαν κε-
φαλὰς αὐτῶν. Βοήθησόν μοι κύριε ὁ θεός μου. καὶ
σῶσόν με κατὰ τὸ ἔλεός σου. Καὶ γνώτωσαν
ὅτι ἡ χείρ σου αὕτη. καὶ σὺ κύριε ἐποίησας αὐτήν.
Καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις.
Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦ-
λός σου εὐφρανθήσεται. Ἐνδυσάσθωσαν οἱ
ἐνδιαβάλλοντές με ἐντροπήν. καὶ περιβαλέ-
σθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Ἐξομο-
λογήσομαι τῷ κυρίῳ σφόδρα ἐν τῷ στόματί μου.
καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. Ὅτι πα-
ρέστη ἐκ δεξιῶν πένητος. τοῦ σῶσαι ἐκ τῶν κατα-
διωκόντων τὴν ψυχήν μου:~

Δόξα, κάθισμα. ιέ

## Ψαλμὸς τῷ Δαδ. ρθ' 109

Εἶπεν ὁ κς τῷ κῷ μου· κάθου ἐκ δεξι-
ῶν μου· ἕως ἂν θῶ τοὺς ἐχθρούς σου·
ὑποπόδιον τῶν ποδῶν σου. Ῥάβδον δυνά-
μεως ἐξαποστελεῖ σοι κς ἐκ σιών· καὶ κατα-
κυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Μετὰ σοῦ ἡ
ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου· ἐν ταῖς
λαμπρότησι τῶν ἁγίων σου. Ἐκ γαστρὸς
πρὸ ἑωσφόρου ἐγέννησά σε. ὤμοσε κς καὶ οὐ μετα-
μεληθήσεται. Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κα-
τὰ τὴν τάξιν μελχισεδέκ. Κς ἐκ δεξιῶν σου
συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς.
Κρινεῖ ἐν τοῖς ἔθνεσι· πληρώσει πτώματα·
συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν. Ἐκ χειμάρ-
ρου ἐν ὁδῷ πίεται· διὰ τοῦτο ὑψώσει κεφαλήν:~

## Ἀλληλούϊα. ρι' 110

Ἐξομολογήσομαί σοι κε ἐν ὅλῃ καρδίᾳ

μου· ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. Μεγάλα
τὰ ἔργα κυρίου· ἐξεζητημένα εἰς πάντα τὰ θε-
λήματα αὐτοῦ. Ἐξομολόγησις καὶ μεγαλοπρέ-
πεια τὸ ἔργον αὐτοῦ· καὶ ἡ δικαιοσύνη αὐτοῦ
μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μνείαν ἐποιή-
σατο τῶν θαυμασίων αὐτοῦ. Ἐλεήμων καὶ οἰ-
κτίρμων ὁ κύριος· τροφὴν ἔδωκε τοῖς φοβουμένοις
αὐτόν. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης
αὐτοῦ. ἰσχὺν ἔργων αὐτοῦ, ἀνήγγειλε τῷ λαῷ αὐ-
τοῦ. Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν·
ἔργα χειρῶν αὐτοῦ, ἀλήθεια καὶ κρίσις. Πισταὶ
πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ· ἐστηριγμέναι εἰς τὸν
αἰῶνα τοῦ αἰῶνος· πεποιημέναι ἐν ἀληθείᾳ καὶ
εὐθύτητι. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐ-
τοῦ. Ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐ-
τοῦ· ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. Ἀρ-
χὴ σοφίας, φόβος κυρίου· σύνεσις δὲ ἀγαθὴ πᾶσι
τοῖς ποιοῦσιν αὐτήν. Ἡ αἴνεσις αὐτοῦ μέ-
νει εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον. ἐν
ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.
Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ. γενεὰ
εὐθέων εὐλογηθήσεται. Δόξα καὶ πλοῦτος ἐν
τῷ οἴκῳ αὐτοῦ. καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐξανέτειλεν ἐν σκό-
τει φῶς τοῖς εὐθέσιν. ἐλεήμων καὶ οἰκτίρμων
καὶ δίκαιος. Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν.
οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει. ὅτι εἰς
τὸν αἰῶνα οὐ σαλευθήσεται. Εἰς μνημόσυνον αἰώ-
νιον ἔσται δίκαιος. ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθή-
σεται. Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ κύριον. ἐ-
στήρικται ἡ καρδία αὐτοῦ οὐ μὴ φοβηθῇ. ἕως οὗ ἐ-
πίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ. Ἐσκόρπισεν ἔδω-
κε τοῖς πένησιν. ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς
τὸν αἰῶνα τοῦ αἰῶνος. Τὸ κέρας αὐτοῦ ὑψω-
θήσεται ἐν δόξῃ. Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθή-
σεται. τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται.

Ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται. Δόξα.

## Ἀλληλούϊα. ριβʹ 112

Αἰνεῖτε παῖδες κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου. Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομα κυρίου. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ κύριος· ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ. Τίς ὡς κύριος ὁ θεὸς ἡμῶν· ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν. Ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν· καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων· μετὰ ἀρχόντων λαοῦ αὐτοῦ. Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ· μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

## Ἀλληλούϊα. ριγʹ 113.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου· οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου. Ἐγενήθη

ἰουδαία ἁγίασμα αὐτοῦ. ἰσραὴλ ἐξουσία
αὐτοῦ. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν. ὁ ἰορδάνης
ἐστράφη εἰς τὰ ὀπίσω. Τὰ ὄρη ἐσκίρτησαν ὡ-
σεὶ κριοί. καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.
Τί σοι ἐστὶ θάλασσα ὅτι ἔφυγες. καὶ σὺ ἰορδά-
νη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω. Τὰ ὄρη ὅτι ἐ-
σκιρτήσατε ὡσεὶ κριοί. καὶ οἱ βουνοὶ ὡς ἀρνία προ-
βάτων. Ἀπὸ προσώπου κυρίου ἐσαλεύθη ἡ γῆ. ἀ-
πὸ προσώπου τοῦ θεοῦ ἰακώβ. Τοῦ στρέψαν-
τος τὴν πέτραν εἰς λίμνας ὑδάτων. καὶ τὴν ἀκρό-
τομον εἰς πηγὰς ὑδάτων. Μὴ, ἡμῖν κύριε, μὴ, ἡμῖν.
ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. Ἐπὶ τῷ
ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου. μήποτε εἴπωσι
τὰ ἔθνη, ποῦ ἐστιν ὁ θεὸς αὐτῶν. Ὁ δὲ θεὸς ἡμῶν
ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. πάντα ὅσα ἠθέλησεν
ἐποίησε. Τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύρι-
ον καὶ χρυσίον. ἔργα χειρῶν ἀνθρώπων.
Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν. ὀφθαλ-
μοὺς ἔχουσι, καὶ οὐκ ὄψονται. Ὦτα ἔ-
χουσι, καὶ οὐκ ἀκούσονται. ῥῖνας ἔχουσι, καὶ

οὐκ ὀσφραν

οὐκ ὀσφρανθήσονται. Χεῖρας ἔχουσι καὶ οὐ
ψηλαφήσουσι. πόδας ἔχουσι καὶ οὐ περιπα
τήσουσιν. οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐ-
τῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐ-
τά. καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Οἶ-
κος Ἰσραὴλ ἤλπισεν ἐπὶ κν̄. βοηθὸς καὶ ὑπε
ρασπιστὴς αὐτῶν ἐστίν. Οἶκος Ἀαρὼν ἤλπι-
σεν ἐπὶ κν̄. βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐ-
στίν. Οἱ φοβούμενοι τὸν κν̄ ἤλπισαν ἐπὶ κν̄.
βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστίν. Κς̄ μνη-
σθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς. εὐλόγησε τὸν οἶκον
Ἰσραήλ. εὐλόγησε τὸν οἶκον Ἀαρών. Εὐλόγη-
σε τοὺς φοβουμένους τὸν κν̄. τοὺς μικροὺς με-
τὰ τῶν μεγάλων. Προσθείη κς̄ ἐφ' ὑμᾶς. ἐφ' ὑ-
μᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν. Εὐλογημένοι
ὑμεῖς τῷ κῷ, τῷ ποιήσαντι τὸν οὐνὸν καὶ τὴν
γῆν. Ὁ οὐνὸς τοῦ οὐνοῦ τῷ κῷ. τὴν δὲ γῆν ἔδω-
κε τοῖς υἱοῖς τῶν ἀνων. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε
κε. οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου.
Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν κν̄. ἀπὸ
τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος:~

Ἠγάπησα, ὅτι εἰσακούσεται κ͞ς τῆς φω
νῆς τῆς δεήσεώς μου. Ὅτι ἔκλινε τὸ
οὖς αὐτοῦ ἐμοί. καὶ ἐν ταῖς ἡμέραις μου ἐπι
καλέσομαι. Περιέσχον με ὠδῖνες θανάτου.
κίνδυνοι ᾅδου εὕροσάν με. Θλῖψιν καὶ ὀδύνην
εὗρον. καὶ τὸ ὄνομα κ͞υ ἐπεκαλεσάμην· ὦ κ͞ε
ῥῦσαι τὴν ψυχήν μου. Ἐλεήμων ὁ κ͞ς καὶ δί-
καιος. καὶ ὁ θ͞ς ἡμῶν ἐλεεῖ. φυλάσσων τὰ νή-
πια ὁ κ͞ς. ἐταπεινώθην καὶ ἔσωσέ με. Ἐπί-
στρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου. ὅτι
κ͞ς εὐηργέτησέ σε. Ὅτι ἐξείλετο τὴν ψυχήν
μου ἐκ θανάτου. τοὺς ὀφθαλμούς μου ἀπὸ
δακρύων. καὶ τοὺς πόδας μου ἀπὸ
ὀλισθήματος. Εὐαρεστήσω ἐ-
νώπιον κ͞υ ἐν χώρᾳ
ζώντων:~
Δόξα.

## Ἀλληλούια. ριε΄ 115

Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης. Τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι. Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. Τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Ὦ κύριε, ἐγὼ δοῦλος σός· ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου· διέρρηξας τοὺς δεσμούς μου. Σοὶ θύσω θυσίαν αἰνέσεως· καὶ ἐν ὀνόματι κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω· ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. Ἐν αὐλαῖς οἴκου κυρίου ἐν μέσῳ σου Ἱερουσαλήμ:~

## Ἀλληλούια. ρις΄ 116.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη· ἐπαι-

νέσατε αὐτὸν πάντες οἱ λαοί. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς· καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα:~

Ἀλληλούϊα. ριζ´ 117

Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθὸς ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος Ἰσραὴλ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος Ἀαρών. ὅτι ἀγαθός. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν κύριον ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Κύριος ἐμοὶ βοηθὸς κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον, ἢ πεποιθέναι ἐπ᾽ ἄνθρωπον. Ἀγαθὸν ἐλπίζειν ἐπὶ κύριον, ἢ ἐλπίζειν ἐπ᾽ ἄρχουσι. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με.

σάν με· καὶ τῷ ὀνόματι κυ ἠμυνάμην αὐτούς· Κυκλώσαντες, ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυ ἠμυνάμην αὐτούς. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι κυ ἠμυνάμην αὐτούς. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ κς ἀντελάβετό μου. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ κς· καὶ ἐγένετό μοι εἰς σωτηρίαν. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. Δεξιὰ κυ ἐποίησε δύναμιν· δεξιὰ κυ ὕψωσέ με. Δεξιὰ κυ ἐποίησε δύναμιν. οὐκ ἀποθανοῦμαι. ἀλλὰ ζήσομαι. καὶ διηγήσομαι τὰ ἔργα κυ. Γαιδεύων ἐπαίδευσέ με ὁ κς, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς, ἐξομολογήσομαι τῷ κῷ. Αὕτη ἡ πύλη τοῦ κυ, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Ἐξομολογήσομαί σοι ὅτι ἐπήκουσάς μου καὶ ἐγένου μοι εἰς σωτηρίαν. Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες· οὗτος ἐγενήθη εἰς κεφαλὴν

γωνίας. Παρὰ κῡ ἐγένετο αὕτη καὶ ἔστι θαυ-
μαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Αὕτη ἡ ἡμέρα ἣν
ἐποίησεν ὁ κς̄, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶ-
μεν ἐν αὐτῇ. Ὦ κε̄ σῶσον δή, ὦ κε̄ εὐόδωσον
δή. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κῡ.
Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου κῡ. Θς̄ κς̄ καὶ
ἐπέφανεν ἡμῖν. Συστήσασθε ἑορτὴν ἐν τοῖς
πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστη-
ρίου. Θς̄ μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι.
Θς̄ μου εἶ σύ, καὶ ὑψώσω σε. Ἐξομολογήσομαί
σοι ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σω-
τηρίαν. Ἐξομολογεῖσθε τῷ κῳ̄ ὅτι ἀγαθός.
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ:~

Δόξα. κάθισμα. ιϛ΄ 118.

Ἀλληλούια.

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμε-
νοι ἐν νόμῳ κῡ. Μακάριοι οἱ ἐξερευνῶν-
τες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκ-
ζητήσουσιν αὐτόν. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν

ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.
Σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξα-
σθαι σφόδρα. Ὄφελον κατευθυνθείησαν αἱ ὁ-
δοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.
Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ
πάσας τὰς ἐντολάς σου. Ἐξομολογήσομαί
σοι ἐν εὐθύτητι καρδίας. ἐν τῷ μεμαθηκέ-
ναι με τὰ κρίματα τῆς δικαιοσύνης σου. Τὰ
δικαιώματά σου φυλάξω, μή με ἐγκαταλί-
πῃς ἕως σφόδρα. Ἐν τίνι κατορθώσει νεώτε-
ρος τὴν ὁδὸν αὐτοῦ, ἐν τῷ φυλάξασθαι τοὺς λό-
γους σου. Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε. μὴ
ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. Ἐν τῇ καρδίᾳ
μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρ-
τω σοι. Εὐλογητὸς εἶ κε. δίδαξόν με τὰ δικαιώ-
ματά σου. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάν-
τα τὰ κρίματα τοῦ στόματός σου. ἐν τῇ ὁδῷ τῶν
μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλού-
τῳ. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω καὶ κατα-
νοήσω τὰς ὁδούς σου. Ἐν τοῖς δικαιώμασί σου

μελετήσω· οὐκ ἐπιλήσομαι τῶν λόγων σου·
Ἀνταπόδος τῷ δούλῳ σου· ζῆσόν με καὶ φυ-
λάξω τοὺς λόγους σου. Ἀποκάλυψον τοὺς
ὀφθαλμούς μου καὶ κατανοήσω τὰ θαυμά-
σια ἐκ τοῦ νόμου σου. Πάροικος ἐγώ εἰμι ἐν
τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ᾿ ἐμοῦ τὰς ἐντολάς
σου. Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι
τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἐπετίμη-
σας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλί-
νοντες ἀπὸ τῶν ἐντολῶν σου. Περίελε ἀπ᾿ ἐ-
μοῦ ὄνειδος καὶ ἐξουδένωσιν ὅτι τὰ μαρτύριά
σου ἐξεζήτησα. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες
καὶ κατ᾿ ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠ-
δολέσχει ἐν τοῖς δικαιώμασί σου. Καὶ γὰρ τὰ
μαρτύριά σου μελέτη μού ἐστι, καὶ αἱ συμβου-
λίαι μου τὰ δικαιώματά σου. Ἐκολλήθη
τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον
σου. Τὰς ὁδούς μου ἐξήγγειλα καὶ ἐπήκουσάς μου·
δίδαξόν με τὰ δικαιώματά σου. Ὁδὸν δικαι-
ωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν

τοῖς θαυ

τοῖς θαυσίοις σου. Ἐνύσαξεν ἡ ψυχή μου ἀπὸ ἀκη-
δίας. βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ὁδὸν ἀδι-
κίας ἀπέστησον ἀπ᾽ ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν
με. Ὁδὸν ἀληθείας ᾑρετισάμην. καὶ τὰ κρίματά
σου οὐκ ἐπελαθόμην. Ἐκολλήθην τοῖς μαρτυ-
ρίοις σου κε μή με καταισχύνῃς. Ὁδὸν ἐντο-
λῶν σου ἔδραμον ὅταν ἐπλάτυνας τὴν καρ-
δίαν μου. Νομοθέτησόν με κε τὴν ὁδὸν τῶν δι-
καιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαν-
τός. Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου,
καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Ὁδή-
γησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου ὅτι αὐ-
τὴν ἠθέλησα. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ
μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν. Ἀπό-
στρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν μα-
ταιότητα. ἐν τῇ ὁδῷ σου ζῆσόν με. Στῆσον τῷ
δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.
Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα ὅτι
τὰ κρίματά σου χρηστά. Ἰδοὺ ἐπεθύμη-
σα τὰς ἐντολάς σου ἐν τῇ δικαιοσύνῃ σου

ζήσομαι. Καὶ ἐλθέτω ἐπ' ἐμὲ τὸ ἔλεός σου κύριε, τὸ
σωτήριόν σου κατὰ τὸν λόγον σου. Καὶ ἀπο-
κριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλ-
πισα ἐπὶ τοῖς λόγοις σου. Καὶ μὴ περιέλῃς
ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφό-
δρα. ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.
Καὶ φυλάξω τὸν νόμον σου διαπαντός, εἰς
τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ
ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς
σου ἐξεζήτησα. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρί-
οις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.
Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου αἷς ἠγά-
πησα σφόδρα. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς
τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς
δικαιώμασί σου. Μνήσθητι τῶν λόγων σου τῷ δού-
λῳ σου ὧν ἐπήλπισάς με. Αὕτη με παρεκάλε-
σεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζη-
σέ με. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα.
ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα. Ἐμνήσθην
τῶν κριμάτων σου ἀπ' αἰῶνος κύριε, καὶ παρε-

κλήθην. Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρ-
τωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον
σου. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου,
ἐν τόπῳ παροικίας μου. Ἐμνήσθην ἐν νυκτὶ τοῦ
ὀνόματός σου κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.
Αὕτη ἐγενήθη μοι ὅτι τὰ δικαιώματά σου
ἐξεζήτησα. Μερίς μου εἶ κύριε, εἶπα τοῦ φυλά-
ξασθαι τὸν νόμον σου. Ἐδεήθην τοῦ προσώπου σου ἐν
ὅλῃ καρδίᾳ μου. ἐλέησόν με κατὰ τὸ λόγιόν σου. Δι-
ελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πό-
δας μου εἰς τὰ μαρτύριά σου. Ἡτοιμάσθην καὶ οὐκ
ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς
σου. Σχοινία ἁμαρτωλῶν περιεπλάκη-
σάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Με-
σονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι
ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Μέτοχος
ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν
φυλασσόντων τὰς ἐντολάς σου. Τοῦ ἐλέ-
ους σου κύριε πλήρης ἡ γῆ. τὰ δικαιώματά σου
δίδαξόν με. Χρηστότητα ἐποίησας μετὰ τοῦ

δούλου σου. κε κατὰ τὸν λόγον σου. Χρηστότη
τα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς
ἐντολαῖς σου ἐπίστευσα. Πρὸ τοῦ με ταπεινω
θῆναι ἐγὼ ἐπλημμέλησα. διὰ τοῦτο τὸ λόγι-
όν σου ἐφύλαξα. Χρηστὸς εἶ σὺ κε καὶ ἐν τῇ χρη
στότητί σου δίδαξόν με τὰ δικαιώματά σου.
Ἐπληθύνθη ἐπ᾽ ἐμὲ ἀδικία ὑπερηφάνων. ἐγὼ
δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς
σου. Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐ-
γὼ δὲ τὸν νόμον σου ἐμελέτησα. Ἀγαθόν μοι ὅ
τι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαι
ώματά σου. Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός
σου ὑπὲρ χιλιάδας χρυσίου καὶ
ἀργυρίου:~

Δ※ό※ξ※α.

Στάσις. α.

Ι

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν
με. συνέτισόν με καὶ μαθήσομαι τὰς

ἐντολάς σου. Οἱ φοβούμενοί σε ὄψονταί με
καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου
ἐπήλπισα. Ἔγνων κύριε ὅτι δικαιοσύνη τὰ
κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με.
Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι
με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου. Ἐλθέ-
τωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι, ὅτι ὁ νό-
μος σου μελέτη μού ἐστιν. Αἰσχυνθήτωσαν ὑ-
περήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ, ἐγὼ
δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. Ἐπιστρε-
ψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκον-
τες τὰ μαρτύριά σου. Γενηθήτω ἡ καρδία
μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου ὅπως
ἂν μὴ αἰσχυνθῶ. Ἐκλείποι εἰς τὸ σωτήριόν σου
ἡ ψυχή μου εἰς τοὺς λόγους σου ἐπήλπισα.
Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέ-
γοντες πότε παρακαλέσεις με. Ὅτι ἐγενήθην
ὡς ἀσκὸς ἐν πάχνῃ. τὰ δικαιώματά σου οὐκ
ἐπελαθόμην. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δού-
λου σου, πότε ποιήσεις μοι ἐκ τῶν καταδιω

κόντων με κρίσιν. Διηγήσαντό μοι παράνο-
μοι ἀδολεσχίας. ἀλλ' οὐχ ὡς ὁ νόμος σου κύριε.
Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. Ἀδίκως κα
τεδίωξάν με, βοήθησόν μοι. παρὰ βραχὺ συ-
νετέλεσάν με ἐν τῇ γῇ. Ἐγὼ δὲ οὐκ ἐγκατέ
λιπον τὰς ἐντολάς σου. Κατὰ τὸ ἔλεός σου
ζῆσόν με καὶ φυλάξω τὰ μαρτύρια τοῦ στό-
ματός σου. Εἰς τὸν αἰῶνα κύριε ὁ λόγος σου δια
μένει ἐν τῷ οὐρανῷ. εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλή
θειά σου. Ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει
τῇ διατάξει σου. διαμένει ἡμέρα, ὅτι τὰ σύμ
παντα δοῦλα σά. Εἰ μὴ ὅτι ὁ νόμος σου μελέ
τη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπει
νώσει μου. Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι
τῶν δικαιωμάτων σου ὅτι ἐν αὐτοῖς ἔζησάς με.
ΣΟς εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαι-
ώματά σου ἐξεζήτησα. Ἐμὲ ὑπέμει
ναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με. τὰ μαρ
τύριά σου συνῆκα. Πάσης συντελείας εἶ-
δον πέρας. πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Ὡς ἠγάπησα τὸν νόμον σου κύριε, ὅλην τὴν ἡμέ-
ραν μελέτη μού ἐστι. Ὑπὲρ τοὺς ἐχθρούς μου
ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶ-
να ἐμή ἐστιν. Ὑπὲρ πάντας τοὺς διδάσκον-
τάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέ-
τη μού ἐστιν. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅ-
τι τὰς ἐντολάς σου ἐξεζήτησα. Ἐκ πάσης
ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅ-
πως ἂν φυλάξω τοὺς λόγους σου. Ἀπὸ τῶν
κριμάτων σου οὐκ ἐξέκλινα· ὅτι σὺ ἐνομοθέτη-
σάς με. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λό-
γιά σου ὑπὲρ μέλι τῷ στόματί μου. Ἀπὸ τῶν
ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶ-
σαν ὁδὸν ἀδικίας. Λύχνος τοῖς ποσί μου ὁ νό-
μος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ὤμοσα καὶ
ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαι-
οσύνης σου. Ἐταπεινώθην ἕως σφόδρα κύριε· ζῆ-
σόν με κατὰ τὸν λόγον σου. Τὰ ἑκούσια τοῦ στόμα-
τός μου, εὐδόκησον δὴ κύριε, καὶ τὰ κρίματά σου δίδα-
ξόν με. Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαν

τὸς, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν. Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι᾽ ἀντάμειψιν. Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐκκλίνατε ἀπ᾽ ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ θεοῦ μου. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός. Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν. Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου. Καθήλωσον ἐκ τοῦ φό-

βου σου

βου σου τὰς σάρκας μου, ἀπὸ γὰρ τῶν κριμά-
των σου ἐφοβήθην. Ἐποίησα κρίμα καὶ δικαιο
σύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.
Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθὸν, μὴ συκο
φαντησάτωσάν με ὑπερήφανοι. Οἱ ὀφθαλ
μοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον
τῆς δικαιοσύνης σου. Ποίησον μετὰ τοῦ δού-
λου σου κατὰ τὸ ἔλεός σου. καὶ τὰ δικαιώματά σου
δίδαξόν με. Δοῦλος σου εἰμὶ ἐγὼ, συνέτισόν με
καὶ γνώσομαι τὰ μαρτύριά σου. Καιρὸς τοῦ ποι
ῆσαι τῷ κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Διὰ
τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυ
σίον καὶ τοπάζιον. Διὰ τοῦτο πρὸς πάσας
τὰς ἐντολάς σου κατωρθούμην. πᾶσαν ὁδὸν
ἄδικον ἐμίσησα. Θαυμαστὰ τὰ μαρτύριά
σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.
Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνε-
τιεῖ νηπίους. Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυ-
σα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν:~

Δόξα.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κα-
τὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνο-
μάσου. Τὰ διαβήματά μου κατεύθυνον κα-
τὰ τὸ λόγιόνσου, καὶ μὴ κατακυριευσάτω μου
πᾶσα ἀνομία. Λύτρωσαί με ἀπὸ συκοφαντί-
ας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.
Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου,
καὶ δίδαξόν με τὰ δικαιώματάσου. Διεξό-
δους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐ-
πεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου. Δίκαιος εἶ
κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. Ἐνετείλω δικαι-
οσύνην τὰ μαρτύριάσου, καὶ ἀλήθειαν σφόδρα.
Ἐξέτηξέ με ὁ ζῆλόσσου, ὅτι ἐπελάθοντο τῶν λό-
γων σου οἱ ἐχθροί μου. Πεπυρωμένον τὸ λόγι-
όν σου σφόδρα. καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐ-
τό. Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος· τὰ
δικαιώματάσου οὐκ ἐπελαθόμην. Ἡ δικαι

σύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ νόμος
σου ἀλήθεια. Θλίψις καὶ ἀνάγκαι εὕροσάν με,
αἱ ἐντολαί σου μελέτη μου. Δικαιοσύνη τὰ
μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με, καὶ
ζήσομαι. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπά-
κουσόν μου κύριε· τὰ δικαιώματά σου ἐκζητήσω.
Ἐκέκραξά σοι σῶσόν με, καὶ φυλάξω τὰ μαρ-
τύριά σου. Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκρα-
ξα· εἰς τοὺς λόγους σου ἐπήλπισα. Προέφθα-
σαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν
τὰ λόγιά σου. Τῆς φωνῆς μου ἄκουσον κύριε
κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρίμα σου ζῆσόν
με. Προσήγγισαν οἱ καταδιώκοντές με ἀ-
νομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθη-
σαν. Ἐγγὺς εἶ κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀ-
λήθεια. Κατ᾽ ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυ-
ρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐ-
τά. Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ-
με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.
Κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με, διὰ τὸν λό

τόν σου ζῆσόν με. Μακρὰν ἀπὸ ἁμαρτωλῶν
σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζή
τησαν. Οἱ οἰκτιρμοί σου πολλοὶ κε, κατὰ τὸ
κρῖμά σου ζῆσόν με. Πολλοὶ οἱ ἐκδιώκοντές
με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου
οὐκ ἐξέκλινα. Εἶδον ἀσυνετοῦντας καὶ ἐξε-
τηκόμην ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.
Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα. κε ἐν τῷ ἐ
λέει σου ζῆσόν με. Ἀρχὴ τῶν λόγων σου ἀλήθεια
καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δι
καιοσύνης σου. Ἄρχοντες κατεδίωξάν με δω
ρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρ-
δία μου. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά
σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. Ἀδικίαν
ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠ
γάπησα. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, ἐπὶ τὰ
κρίματα τῆς δικαιοσύνης σου. Εἰρήνη πολ
λὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν
αὐτοῖς σκάνδαλον. Προσεδόκων τὸ σωτήρι
όν σου κε καὶ τὰς ἐντολάς σου ἠγάπησα.

Ἐφύλαξεν

Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύ-
ριά σου· ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου κε.
Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου κε· κατὰ
τὸ λόγιόν σου συνέτισόν με. Εἰσέλθοι τὸ ἀξίω-
μά μου ἐνώπιόν σου κε· κατὰ τὸ λόγιόν σου ῥῦ-
σαί με. Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν
διδάξῃς με τὰ δικαιώματά σου. Φθέγξοι-
το ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐν-
τολαί σου δικαιοσύνη. Γενέσθω ἡ χείρ σου τοῦ
σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην.
Ἐπεπόθησα τὸ σωτήριόν σου κε· καὶ ὁ νόμος
σου μελέτη μού ἐστι. Ζήσεται ἡ ψυχή μου καὶ
αἰνέσει σε· καὶ τὰ κρίματά σου βοηθήσει μοι.
Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός. ζήτη-
σον τὸν δοῦλόν σου ὅτι τὰς ἐντολάς σου οὐκ ἐπε-
λαθόμην:~ Δόξα. κάθισμα. ιζ´

Ὠδὴ τῶν ἀναβαθμῶν. ριθ´ 119

ΠΡὸς κν̄ ἐν τῷ θλίβεσθαί με ἐκέκραξα
καὶ εἰσήκουσέ μου. Κε ῥῦσαι τὴν ψυχήν

μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης
δολίας. Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς
γλῶσσαν δολίαν. Τὰ βέλη τοῦ δυνατοῦ ἠκο-
νημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.
Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη. κα-
τεσκήνωσα μετὰ τῶν σκηνωμάτων κηδάρ.
πολλὰ παρῴκησεν ἡ ψυχή μου. Μετὰ τῶν μι-
σούντων τὴν εἰρήνην, ἤμην εἰρηνικός. Ὅταν
ἐλάλουν αὐτοῖς ἐπολέμουν με δωρεάν:~

## Ὠδὴ τῶν ἀναβαθμῶν. ρκ΄ 120

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅ-
θεν ἥξει ἡ βοήθειά μου. Ἡ βοήθειά μου πα-
ρὰ κυ͞ τοῦ ποιήσαντος τὸν οὐ͞ν͞ον καὶ τὴν γῆν.
Μὴ δώης εἰς σάλον τὸν πόδα σου. μηδὲ νυστάξει
ὁ φυλάσσων σε. Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ
φυλάσσων τὸν ἰσραήλ. Κς φυλάξει σε. κς σκέ-
πη σου ἐπὶ χεῖρα δεξιάν σου. Ἡμέρας ὁ ἥλι-
ος οὐ συγκαύσει σε. οὐδὲ ἡ σελήνη τὴν νύκτα.
Κς φυλάξει σε ἀπὸ παντὸς κακοῦ. φυλά-

ξοι τὴν ψυχήν σου ὁ κς. Κς φυλάξοι τὴν εἰ-
σοδόν σου καὶ τὴν ἔξοδόν σου. ἀπὸ τοῦ νῦν καὶ
ἕως τοῦ αἰῶνος:~

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκα΄ 121.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶ-
κον κῦ πορευσόμεθα. Ἑστῶτες ἦσαν οἱ
πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου ἱερουσαλήμ.
Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις. ἧς ἡ με-
τοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ γὰρ ἀνέβησαν
αἱ φυλαί. φυλαὶ κῦ μαρτύριον τῷ ἰσραήλ.
Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι κῦ. Ὅτι
ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν. θρόνοι ἐπὶ οἶκον
Δᾶδ΄. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν ἱερου-
σαλήμ. καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. Γενέ-
σθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου. καὶ εὐθηνία
ἐν ταῖς πυργοβάρεσί σου. Ἕνεκα τῶν ἀδελφῶν
μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ
σοῦ. Ἕνεκα τοῦ οἴκου κῦ τοῦ θῦ ἡμῶν ἐξεζή-
τησα ἀγαθά σοι:~

## Ὠδὴ τῶν ἀναβαθμῶν. ρκβʹ 122

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν. ὡς οἱ ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως, οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς. Ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς. ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως. Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. τὸ ὄνειδος τοῖς εὐθηνοῦσι καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις:~

## Ὠδὴ τῶν ἀναβαθμῶν. ρκγʹ 123

Εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ. Εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ᾽ ἡμᾶς. Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ᾽ ἡμᾶς. Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς

σεν ἡμᾶς. Χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν.
Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστα-
τον. Εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς
θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Ἡ ψυχὴ ἡμῶν ὡς στρου-
θίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.
Ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς ἐρρύσθημεν.
Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου, τοῦ ποιήσαν-
τος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα.

## Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκδʹ 124.

Οἱ πεποιθότες ἐπὶ κύριον ὡς ὄρος σιών.
οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοι-
κῶν ἱερουσαλήμ. Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ κύριος
κύκλῳ τοῦ λαοῦ αὐτοῦ. ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ
αἰῶνος. Ὅτι οὐκ ἀφήσει κύριος τὴν ῥάβδον τῶν
ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων.
Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομί-
αις χεῖρας αὐτῶν. Ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς καὶ τοῖς
εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκκλίνοντας εἰς

τὰς στραγγαλιάς. ἀπάξει κς μετὰ τῶν ἐργα-
ζομένων τὴν ἀνομίαν. Εἰρήνη ἐπὶ
τὸν ἰσραήλ:~

## Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκε΄ 125

Ἐν τῷ ἐπιστρέψαι κν τὴν αἰχμαλω-
σίαν σιών. ἐγενήθημεν ὡσεὶ παρακε-
κλημένοι. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν,
καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Τότε ἐροῦ-
σιν ἐν τοῖς ἔθνεσιν. ἐμεγάλυνε κς τοῦ ποιῆσαι
μετ᾽ αὐτῶν. ἐμεγάλυνε κς τοῦ ποιῆσαι μεθ᾽ ἡ-
μῶν. ἐγενήθημεν εὐφραινόμενοι. Ἐπίστρεψον
κε τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάρρους ἐν
τῷ νότῳ. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλ-
λιάσει θεριοῦσι. Πορευόμενοι ἐπορεύοντο. καὶ
ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν. Ἐρ-
χόμενοι δὲ, ἥξουσιν ἐν ἀγαλλιάσει αἴ-
ροντες τὰ δράγματα
αὐτῶν:~

## Ὠδὴ τῶν ἀναβαθμῶν. ρκϛ 126

Ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μά-
την ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Ἐὰν
μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνη-
σεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐστὶ τὸ ὀρ-
θρίζειν. Ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθί-
οντες ἄρτον ὀδύνης. ὅταν δῷ τοῖς ἀγαπητοῖς
αὐτοῦ ὕπνον. Ἰδοὺ ἡ κληρονομία κυρίου υἱοί. ὁ μι-
σθὸς τοῦ καρποῦ τῆς γαστρός. Ὡσεὶ βέλη ἐν χει-
ρὶ δυνατοῦ. οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.
Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐ-
τοῦ ἐξ αὐτῶν. Οὐ καταισχυνθήσονται, ὅταν λα-
λῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις:~

## Ὠδὴ τῶν ἀναβαθμῶν. ρκζ 127

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον.
οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι·
Μακάριος εἶ καὶ καλῶς σοι ἔσται· ἡ γυνή σου
ὡς ἄμπελος εὐθηνοῦσα ἐν ταῖς κλίτεσι τῆς
οἰκίας σου· Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύ
κλῳ τῆς τραπέζης σου· Ἰδοὺ οὕτως εὐλογηθή
σεται ἄνθρωπος ὁ φοβούμενος τὸν κν̄· Εὐλο
γήσαι σε κς̄ ἐκ σιών· Καὶ ἴδοις τὰ ἀγαθὰ ἱερου
σαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· Καὶ
ἴδοις υἱοὺς τῶν υἱῶν σου· εἰρήνη ἐπὶ
τὸν ἰσραήλ:~

## Ὠιδὴ τῶν ἀναβαθμῶν· ρκη´ 128·

ΠΛεονάκις ἐπολέμησάν με ἐκ νεότη-
τός μου, εἰπάτω δὴ ἰσραήλ· Πλεονά
κις ἐπολέμησάν με ἐκ νεότητός μου· καὶ γὰρ
οὐκ ἠδυνήθησάν μοι· Ἐπὶ τὸν νῶτόν μου ἐτέκται
νον οἱ ἁμαρτωλοί· ἐμάκρυναν τὴν ἀνομίαν
αὐτῶν· Κς̄ δίκαιος συνέκοψεν αὐχένας ἁμαρ
τωλῶν· Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτω-
σαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες σιών·

Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων· ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη. Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων· καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων. Καὶ οὐκ εἶπαν οἱ παράγοντες, εὐλογία κῦ ἐφ' ὑμᾶς· εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι κῦ:~ Δόξα·

ч ᾨδὴ τῶν ἀναβαθμῶν. ρκθʹ 129.

Ἐκ βαθέων ἐκέκραξά σοι κε· κε εἰσάκουσον τῆς φωνῆς μου. Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. Ἐὰν ἀνομίας παρατηρήσῃς κε· κε τίς ὑποστήσεται. ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε κε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου· ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κῦ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός· ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κῦ. Ὅτι παρὰ τῷ κῳ τὸ ἔλεος· καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ:~

Κύριε οὐχ ὑψώθη ἡ καρδία μου· οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις. οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. Εἰ μὴ ἐταπεινοφρόνουν ἀλλὰ ὕψωσα τὴν ψυχήν μου. Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ. ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου. Ἐλπισάτω ἰσραὴλ ἐπὶ τὸν κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος:~



Μνήσθητι κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. Ὡς ὤμοσε τῷ κυρίῳ ηὔξατο τῷ θεῷ ἰακώβ. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου. εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου. καὶ τοῖς βλεφάροις μου νυσταγμόν, καὶ ἀνάπαυσιν

τοῖς κροτάφοις μου, Ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ· σκήνωμα τῷ θεῷ ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν εὐφραθᾷ· εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ. Προσκυνήσομεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυσίν σου· σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην· καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.
Ἕνεκεν δαυὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὤμοσε κύριος τῷ δαυὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Ἐκ καρποῦ τῆς κοιλίας σου, θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου· καὶ τὰ μαρτύριά μου ταῦτα ἃ διδάξω αὐτούς. Καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ὅτι ἐξελέξατο κύριος τὴν σιών· ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.
Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος. ὧδε κατοικήσω ὅτι ᾑρετισάμην αὐτήν. Τὴν θύ

ραν αὐτῆς εὐλογῶν εὐλογήσω· τοὺς πτωχοὺς
αὐτῆς χορτάσω ἄρτων· Τοὺς ἱερεῖς αὐτῆς
ἐνδύσω σωτηρίαν· καὶ οἱ ὅσιοι αὐτῆς, ἀγαλλιά-
σει ἀγαλλιάσονται· Ἐκεῖ ἐξανατελῶ κέρας
τῷ Δαυΐδ· ἡτοίμασα λύχνον τῷ χριστῷ μου·
Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην· ἐπὶ δὲ
αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου:~

Ὠδὴ τῶν ἀναβαθμῶν. ρλβʹ 132

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνόν, ἀλ-
λ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐ-
τό. Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον
ἐπὶ πώγωνα· τὸν πώγωνα τὸν Ἀαρών· Τὸ
καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος
αὐτοῦ· Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνου-
σα ἐπὶ τὰ ὄρη Σιών· Ὅτι ἐκεῖ ἐνετείλατο κύριος
τὴν εὐλογίαν ζωὴν ἕως τοῦ αἰῶνος:~

Ὠδὴ τῶν ἀναβαθμῶν. ρλγʹ 133

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον πάντες οἱ δοῦ-
λοι κυρίου·

λοι κῦ. Ὁ ἱεστῶτες ἐν οἴκῳ κῦ ἐν αὐλαῖς οἴκου
θῦ ἡμῶν. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας
ἡμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κν̄. Εὐ-
λογήσαι σε κς̄ ἐκ σιὼν. ὁ ποιήσας τὸν οὐρανὸν
καὶ τὴν γῆν:~ Δόξα. κάθισμα. ιη΄

Ἀλληλούια. ρλδ΄ 134

Αἰνεῖτε τὸ ὄνομα κῦ, αἰνεῖτε δοῦλοι κῦ.
Οἱ ἑστῶτες ἐν οἴκῳ κῦ, ἐν αὐλαῖς οἴκου
θῦ ἡμῶν. Αἰνεῖτε τὸν κν̄ ὅτι ἀγαθὸς κς̄. ψά-
λατε τῷ ὀνόματι αὐτοῦ ὅτι καλόν. Ὅτι
τὸν ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ κς̄ ἰσραὴλ εἰς
περιουσιασμὸν ἑαυτῷ. Ὅτι ἐγὼ ἔγνωκα, ὅ-
τι μέγας ὁ κς̄. καὶ ὁ κς̄ ἡμῶν παρὰ πάντας
τοὺς θεούς. Πάντα ὅσα ἠθέλησεν ὁ κς̄ ἐποίησεν
ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. Ἐν ταῖς θαλάσσαις καὶ
ἐν πάσαις ταῖς ἀβύσσοις. Ἀνάγων νεφέ-
λας ἐξ ἐσχάτου τῆς γῆς. ἀστραπὰς εἰς ὑετὸν ἐποί-
ησε. Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.
Ὃς ἐπάταξε τὰ πρωτότοκα αἰγύπτου. ἀπὸ

αὐτοῦ ἕως κτήνους. Ἐξαπέστειλε σημεῖα καὶ τέ-
ρατα ἐν μέσῳ σου αἴγυπτε. Ἐν Φαραὼ καὶ ἐν πᾶ-
σι τοῖς δούλοις αὐτοῦ. Ὃς ἐπάταξεν ἔθνη
πολλά. καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς.
Τὸν Σηὼν βασιλέα τῶν ἀμορραίων. καὶ τὸν Ὢγ βα-
σιλέα τῆς βασάν. καὶ πάσας τὰς βασιλείας
χαναάν. Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομί-
αν. κληρονομίαν ἰσραὴλ λαῷ αὐτοῦ. Κύριε τὸ
ὄνομά σου εἰς τὸν αἰῶνα. καὶ τὸ μνημόσυνόν σου
εἰς γενεὰν καὶ γενεάν. Ὅτι κρινεῖ κύριος τὸν λα-
ὸν αὐτοῦ. καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρα-
κληθήσεται. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον
καὶ χρυσίον ἔργα χειρῶν ἀνθρώπων. Στόμα ἔχου-
σι καὶ οὐ λαλήσουσιν. ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ
ὄψονται. Ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθήσονται.
οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν. Ὅμοιοι
αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά. καὶ πάντες
οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς. Οἶκος ἰσραὴλ εὐ-
λογήσατε τὸν κύριον. Οἶκος Ἀαρὼν εὐλογήσατε
τὸν κύριον. Οἶκος λευὶ εὐλογήσατε τὸν κύριον. Οἱ

φοβούμενοι τὸν κύριον, εὐλογήσατε τὸν κύριον. Εὐλο-
γητὸς κύριος ἐν Σιὼν ὁ κατοικῶν Ἱερουσαλήμ.

## Ἀλληλούϊα. ρλέ 135

Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθός· ὅτι
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομο-
λογεῖσθε τῷ θεῷ τῶν θεῶν· ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν κυρίων· ὅτι
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι
θαυμάσια μεγάλα μόνῳ· ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν
συνέσει· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων· ὅτι εἰς
τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τῷ ποιήσαντι φῶ-
τα μεγάλα μόνῳ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ· Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας·
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὴν σελή-
νην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός·
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ πατά-
ξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν.

ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐξα-
γαγόντι τὸν ἰσραὴλ ἐκ μέσου αὐτῶν. ὅτι εἰς τὸν
αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐν χειρὶ κραταιᾷ καὶ
ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ. Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θά
λασσαν εἰς διαιρέσεις. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ. Καὶ διαγαγόντι τὸν ἰσραὴλ διὰ μέσου
αὐτῆς. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Καὶ ἐκτινάξαντι φαραὼ καὶ τὴν δύναμιν
αὐτοῦ εἰς θάλασσαν ἐρυθράν. ὅτι εἰς τὸν αἰῶ-
να τὸ ἔλεος αὐτοῦ. Τῷ διαγαγόντι τὸν λαὸν
αὐτοῦ ἐν τῇ ἐρήμῳ. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ. Τῷ πατάξαντι βασιλεῖς μεγάλους
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἀπο
κτείναντι βασιλεῖς κραταιούς. ὅτι εἰς τὸν αἰ
ῶνα τὸ ἔλεος αὐτοῦ. Τὸν σηὼν βασιλέα τῶν ἀ-
μορραίων. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν. ὅτι εἰς τὸν αἰ
ῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ δόντι τὴν γῆν αὐτῶν
κληρονομίαν. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Κληρονομίαν

Κληρονομίαν ἰσραὴλ δούλῳ αὐτοῦ· ὅτι εἰς
τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὅτι ἐν τῇ ταπει-
νώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ κς· ὅτι εἰς τὸν αἰῶ-
να τὸ ἔλεος αὐτοῦ. Καὶ ἐλυτρώσατο ἡμᾶς
ἐκ τῶν ἐχθρῶν ἡμῶν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλε-
ος αὐτοῦ. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί· ὅτι
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε
τῷ θεῷ τοῦ οὐρανοῦ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ:~

## Τῷ δαυὶδ διὰ ἱερεμίου. ρλϛ' 136.

Ἐπὶ τὸν ποταμὸν βαβυλῶνος, ἐκεῖ ἐ-
καθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνη-
σθῆναι ἡμᾶς τῆς σιών. Ἐπὶ ταῖς ἰτέαις ἐν μέ-
σῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.
Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς, οἱ αἰχμαλωτεύ-
σαντες ἡμᾶς, λόγους ᾠδῶν· καὶ οἱ ἀπαγαγόντες
ἡμᾶς ὕμνον· Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν σιών.
πῶς ᾄσωμεν τὴν ᾠδὴν κυ ἐπὶ γῆς ἀλλοτρί-
ας. Ἐὰν ἐπιλάθωμαί σου ἱερουσαλὴμ, ἐπι-
λησθείη ἡ δεξιά μου. Κολληθείη ἡ γλῶσσά μου τῷ

λάρυγγί μου ἐὰν μή σου μνησθῶ. Ἐὰν μὴ προα-
νατάξωμαι τὴν ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς
εὐφροσύνης μου. Μνήσθητι κύριε τῶν υἱῶν ἐδὼμ
τὴν ἡμέραν ἱερουσαλήμ. Τῶν λεγόντων ἐκ-
κενοῦτε ἐκκενοῦτε, ἕως τῶν θεμελίων αὐτῆς.
Θυγάτηρ βαβυλῶνος ἡ ταλαίπωρος. Μα-
κάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδω-
μά σου, ὃ ἀνταπέδωκας ἡμῖν. Μακάριος
ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς
τὴν πέτραν:~ Δόξα.

## Ψαλμὸς τῷ Δαυΐδ, ἀγγαίου καὶ ζαχαρίου. ρλζ΄ 137

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ
μου. καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι.
Ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόμα-
τός μου. Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου. καὶ
ἐξομολογήσομαι τῷ ὀνόματί σου. ἐπὶ τῷ ἐ-
λέει σου καὶ τῇ ἀληθείᾳ σου. Ὅτι ἐμεγάλυνας
ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου. ἐν ᾗ ἂν ἡμέρᾳ

ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου. Π ο-
λυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου. Ἐ ξο-
μολογησάσθωσάν σοι κύριε, πάντες οἱ βασιλεῖς
τῆς γῆς. ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στό-
ματός σου. Κ αὶ ᾀσάτωσαν ἐν ταῖς ᾠδαῖς κυρίου.
ὅτι μεγάλη ἡ δόξα κυρίου. Ὅ τι ὑψηλὸς κύριος, καὶ τὰ
ταπεινὰ ἐφορᾷ. καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν
γινώσκει. Ἐ ὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζή-
σεις με. Ἐ π᾿ ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖ-
ράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου. Κ ύριος ἀνταπο-
δώσει ὑπὲρ ἐμοῦ. Κ ύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶ-
να. τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

## Εἰς τὸ τέλος τῷ Δαυὶδ ψαλμὸς Ζαχα-
## ρίου ἐν τῇ διασπορᾷ.

ρλη' 138.

Κ ύριε ἐδοκίμασάς με καὶ ἔγνως με. Σ ὺ ἔγνως
τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου. Σ ὺ
συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν.
Τ ὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξι-

χνίασας. Καὶ πάσας τὰς ὁδούς μου προεῖ-
δες. ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου. Ἰδοὺ
κ͞ε σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα.
Σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ᾽ ἐμὲ τὴν χεῖρά
σου. Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. ἐκρα
ταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. Ποῦ πο-
ρευθῶ ἀπὸ τοῦ πνεύματός σου. καὶ ἀπὸ τοῦ προ
σώπου σου ποῦ φύγω. Ἐὰν ἀναβῶ εἰς τὸν οὐ
ρανόν, σὺ ἐκεῖ εἶ. ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πά
ρει. Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κα
τ᾽ ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς
θαλάσσης. Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με,
καὶ καθέξει με ἡ δεξιά σου. Καὶ εἶπα ἄρα σκό
τος καταπατήσει με. καὶ νὺξ φωτισμὸς ἐν
τῇ τρυφῇ μου. Ὅτι σκότος οὐ σκοτισθήσεται
ἀπὸ σοῦ. καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται.
Ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς.
Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου. ἀντελάβου μου
ἐκ γαστρὸς μητρός μου. Ἐξομολογήσομαί σοι ὅ
τι φοβερῶς ἐθαυμαστώθης. Θαυμάσια τὰ

ἔργα σου

ἔργα σου· καὶ ἡ ψυχή μου γινώσκει σφόδρα· Οὐκ
ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ· ὃ ἐποίησας ἐν
κρυφῇ· καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτά-
τοις τῆς γῆς· Τὸ ἀκατέργαστόν μου, εἶδον οἱ ὀφθαλ-
μοί σου· καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γρα-
φήσονται· Ἡμέρας πλασθήσονται καὶ οὐθεὶς
ἐν αὐτοῖς· Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι
σου ὁ θεός· λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐ-
τῶν· Ἐξαριθμήσομαι αὐτοὺς καὶ ὑπὲρ ἄμ-
μον πληθυνθήσονται· Ἐξηγέρθην καὶ ἔτι εἰ-
μὶ μετὰ σοῦ· ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς
ὁ θεός· Ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ·
ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς· Λήψονται εἰς
ματαιότητα τὰς πόλεις σου· Οὐχὶ τοὺς μι-
σοῦντάς σε κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς·
σου ἐξετηκόμην; Τέλειον μῖσος ἐμίσουν αὐ-
τούς· εἰς ἐχθροὺς ἐγένοντό μοι· Δοκίμασόν με
ὁ θεός, καὶ γνῶθι τὴν καρδίαν μου· Ἔτασόν με, καὶ
γνῶθι τὰς τρίβους μου· Καὶ ἴδε εἰ ὁδὸς ἀνο-
μίας ἐν ἐμοί· καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ:~

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυΐδ.

Ἐξελοῦ με κύριε ἐξ ἀνθρώπου πονηροῦ· ἀπὸ ἀνδρὸς ἀδίκου, ῥῦσαί με. Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ· ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. Διάψαλμα. Φύλαξόν με κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ· ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. Οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου· ἔκρυψαν ὑπερήφανοι παγίδα μοι. Διάψαλμα. Καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου· ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι. Εἶπα τῷ κυρίῳ, θεός μου εἶ σύ· ἐνώτισαι κύριε τὴν φωνὴν τῆς δεήσεώς μου. Κύριε κύριε δύναμις τῆς σωτηρίας μου· ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. Μὴ παραδῷς με κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ. Διελογίσαντο κατ᾽ ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν. Διάψαλμα.

Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν. κόπος τῶν χειλέων αὐτῶν, καλύψει αὐτούς. Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες ἐν πυρί. καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν. Ἀνὴρ γλωσσώδης, οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. Ἄνδρα ἄδικον, κακὰ θηρεύσει εἰς διαφθοράν. Ἔγνων ὅτι ποιήσει κς τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν δίκην τῶν πενήτων. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου. καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

Δόξα.

## Ψαλμὸς τῷ Δαδ. ρμ' 140

Κε ἐκέκραξα πρὸς σέ εἰσάκουσόν μου. πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ. Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου. Ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. Θοῦ κε φυλακὴν τῷ στόματί μου. καὶ θύραν περιο-

χῆς περὶ τὰ χείλη μου. Μὴ ἐκκλίνῃς τὴν
καρδίαν μου εἰς λόγους πονηρίας. τοῦ προφα-
σίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. Σὺν ἀν-
θρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ
συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν. Παιδεύ-
σει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ
ἁμαρτωλοῦ, μὴ λιπανάτω τὴν κεφαλήν μου.
Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις
αὐτῶν. κατεπόθησαν ἐχόμενα πέτρας οἱ κρι-
ταὶ αὐτῶν. Ἀκούσονται τὰ ῥήματά μου ὅτι
ἡδύνθησαν, ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς
γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅ-
δην. Ὅτι πρὸς σὲ κύριε κύριε οἱ ὀφθαλμοί μου. ἐπὶ
σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.
Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι.
καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀ-
νομίαν. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ
αὐτῶν οἱ ἁμαρτωλοί. κατα
μόνας εἰμὶ ἐγὼ ἕως
ἂν παρέλθω:~

Συνέσεως τῷ Δαυὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον. ρμα' 141

Φωνῇ μου πρὸς κύριον ἐκέκραξα. φωνῇ μου πρὸς κύριον ἐδεήθην. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου. τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου. καὶ σὺ ἔγνως τὰς τρίβους μου. Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με. Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. Ἐκέκραξα πρὸς σὲ κύριε. εἶπα, σὺ εἶ ἡ ἐλπίς μου. μερίς μου εἶ ἐν γῇ ζώντων. Πρόσχες πρὸς τὴν δέησίν μου ὅτι ἐταπεινώθην σφόδρα. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. Ἐμὲ ὑπομενοῦσι δίκαιοι ἕως οὗ ἀνταποδῷς μοι :~

## Ψαλμὸς τῷ δαδ ὁπότε κατεδίωκεν αὐτὸν ἀβεσαλὼμ ὁ υἱὸς αὐτοῦ. ρμβʹ 142

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου· ἐνώ
τισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου
Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰ
σέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. Ὅτι
οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι
κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου. ἐταπεί-
νωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκο
τεινοῖς ὡς νεκροὺς αἰῶνος. καὶ ἠκηδίασεν ἐ-
π' ἐμὲ τὸ πνεῦμά μου. Ἐν ἐμοὶ ἐταράχθη ἡ καρ
δία μου. ἐμνήσθην ἡμερῶν ἀρχαίων. Ἐμελέ
τησα ἐν πᾶσι τοῖς ἔργοις σου. ἐν ποιήμασι τῶν
χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ
τὰς χεῖράς μου. ἡ ψυχή μου, ὡς γῆ ἄνυδρός σοι. Τα
χὺ εἰσάκουσόν μου κε. ἐξέλιπε τὸ πνεῦμά μου.
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ
ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἄκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου,
ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι κύριε ὁδὸν, ἐν
ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου. κύριε πρὸς σὲ κατέ
φυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου.
Ὅτι σὺ εἶ ὁ θεός μου. τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁ
δηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου
κύριε ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου, ἐξάξεις ἐκ
θλίψεως τὴν ψυχήν μου. Καὶ ἐν τῷ ἐλέει σου
ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς
πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι
ἐγὼ δοῦλός σου εἰμί:~

Δόξα κάθισμα. ιθʹ

Ψαλμὸς τῷ Δαυὶδ πρὸς τὸν Γολιάθ. ρμγ 143

ΕΥλογητὸς κύριος ὁ θεός μου. Ὁ διδάσκων
τὰς χεῖράς μου εἰς παράταξιν. τοὺς δακτύ
λους μου εἰς πόλεμον. Ἔλεός μου καὶ καταφυγή μου.
ἀντιλήπτωρ μου καὶ ῥύστης μου. ὑπερασπιστής μου καὶ

ἐπ' αὐτῷ ἤλπισα· Ὁ ὑποτάσσων τὸν λαόν μου
ὑπ' ἐμέ. Κύριε τί ἐστιν ἄνθρωπος ὅτι ἐγνώσθης αὐ-
τῷ· ἢ υἱὸς ἀνθρώπου ὅτι λογίζῃ αὐτῷ. Ἄνθρωπος
ματαιότητι ὡμοιώθη· αἱ ἡμέραι αὐτοῦ ὡσεὶ
σκιὰ παράγουσι. Κύριε κλῖνον οὐρανούς σου καὶ κατά-
βηθι· ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται.
Ἄστραψον ἀστραπὴν, καὶ σκορπιεῖς αὐτούς·
ἐξαπόστειλον τὰ βέλη σου καὶ συνταράξεις
αὐτούς. Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους·
ἐξελοῦ με, καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν· ἐκ χει-
ρὸς υἱῶν ἀλλοτρίων. Ὧν τὸ στόμα ἐλάλησε μα-
ταιότητα· καὶ ἡ δεξιὰ αὐτῶν, δεξιὰ ἀδικίας.
Ὁ θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι· ἐν ψαλτηρίῳ
δεκαχόρδῳ ψαλῶ σοι. Τῷ διδόντι τὴν σωτη-
ρίαν τοῖς βασιλεῦσι· τῷ λυτρουμένῳ Δαβὶδ
τὸν δοῦλον αὐτοῦ, ἐκ ῥομφαίας πονηρᾶς.
Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλο-
τρίων. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα·
καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Ὧν οἱ υἱοὶ
αὐτῶν ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεό-

τητι αὐ-

τητι αὐτῶ. Α ἱ θυγατέρες αὐτῶν κεκαλλω-
πισμέναι. περικεκοσμημέναι ὡς ὁμοίωμα
ναοῦ. Τ ὰ ταμιεῖα αὐτῶν πλήρη. ἐξερευγόμε-
να ἐκ τούτου εἰς τοῦτο. Τ ὰ πρόβατα αὐτῶν
πολύτοκα πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐ-
τῶν. Ο ἱ βόες αὐτῶ παχεῖς. Ο ὐκ ἔστι κατά-
πτωμα φραγμοῦ. οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ
ἐν ταῖς πλατείαις αὐτῶν. Ε μακάρισαν τὸν
λαὸν ᾧ ταῦτά ἐστι. μακάριος ὁ λαὸς οὗ κς ὁ
θς αὐτου :~

Α ἰνέσεως τῷ Δαδ. ρμδ΄ 144.

Υ ψώσω σε ὁ θς μου ὁ βασιλεύς μου. καὶ
εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Κ αθ᾽ ἑκάστην ἡμέραν
εὐλογήσω σε. καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰ-
ῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μ έγας κς καὶ
αἰνετὸς σφόδρα. καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ
ἔστι πέρας. Γ ενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ
ἔργα σου. καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.

Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύ
νης σου λαλήσουσι· καὶ τὰ θαυμάσιά σου διη
γήσονται. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου
ἐροῦσι· καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.
Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξε
ρεύξονται· καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιά-
σονται. Οἰκτίρμων καὶ ἐλεήμων ὁ κς̄· μακρό
θυμος καὶ πολυέλεος. Χρηστὸς κς̄ τοῖς σύμ
πασι· καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ
ἔργα αὐτοῦ. Ἐξομολογησάσθωσάν σοι κε̄ πάν
τα τὰ ἔργα σου· καὶ οἱ ὅσιοί σου εὐλογησάτω-
σάν σε. Δόξαν τῆς βασιλείας σου ἐροῦσι· καὶ
τὴν δυναστείαν σου λαλήσουσι. Τοῦ γνωρίσαι
τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου·
καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασι
λείας σου. Ἡ βασιλεία σου βασιλεία πάν-
των τῶν αἰώνων· καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γε
νεᾷ καὶ γενεᾷ. Πιστὸς κς̄ ἐν πᾶσι τοῖς λόγοις
αὐτοῦ· καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
Ὑποστηρίζει κς̄ πάντας τοὺς καταπίπτοντας.

καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.
Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ
σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ἀνοί-
γεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶ-
ον εὐδοκίας. Δίκαιος κς ἐν πάσαις ταῖς ὁδοῖς
αὐτοῦ. καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
Ἐγγὺς κς πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν
πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.
Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει. καὶ
τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐ-
τούς. Φυλάσσει κς πάντας τοὺς ἀγαπῶντας
αὐτόν. καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύ-
σει. Αἴνεσιν κυ λαλήσει τὸ στόμα μου. καὶ εὐ-
λογείτω πᾶσα σὰρξ, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ,
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος:~

Δόξα.

Ἀλληλούϊα ἀγγαίου καὶ ζαχαρίου. ρμέ 145

Αἴνει ἡ ψυχή μου τὸν κν, αἰνέσω κυ ἐν τῇ
ζωῇ μου. ψαλῶ τῷ θῷ μου ἕως ὑπάρχω.

Μὴ πεποίθατε ἐπ' ἄρχοντας ἐπὶ υἱοὺς ἀνθρώπων
οἷς οὐκ ἔστι σωτηρία. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ·
καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέ
ρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.
Μακάριος οὗ ὁ θεὸς ἰακὼβ βοηθὸς αὐτοῦ· ἡ ἐλ
πὶς αὐτοῦ ἐπὶ κύριον τὸν θεὸν αὐτοῦ. Τὸν ποιήσαν
τα τὸν οὐρανὸν καὶ τὴν γῆν. Τὴν θάλασσαν καὶ πάντα
τὰ ἐν αὐτοῖς. Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν
αἰῶνα. ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις. Δι-
δόντα τροφὴν τοῖς πεινῶσι. Κύριος λύει πεπεδη
μένους. κύριος σοφοῖ τυφλούς. κύριος ἀνορθοῖ κατερ
ραγμένους. κύριος ἀγαπᾷ δικαίους: κύριος φυλάσσει
τοὺς προσηλύτους. Ὀρφανὸν καὶ χήραν ἀ-
ναλήψεται. καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.
Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα. ὁ θεός σου σιὼν
εἰς γενεὰν καὶ γενεάν:~

Ἀλληλούϊα. ρμϛ 146

Αἰνεῖτε τὸν κύριον ὅτι ἀγαθὸν ψαλμός.
τῷ θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις. οἰκο-
δομῶν ἱε-

δομῶν ἱερουσαλὴμ ὁ κς· τὰς διασπορὰς τοῦ
ἰσραὴλ ἐπισυνάξει. Ὁ ἰώμενος τοὺς συντε-
τριμμένους τὴν καρδίαν. καὶ δεσμεύων τὰ
συντρίμματα αὐτῶν. Ὁ ἀριθμῶν πλήθη
ἄστρων. καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.
Μέγας ὁ κς ἡμῶν. καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. καὶ
τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. Ἀνα-
λαμβάνων πραεῖς ὁ κς. ταπεινῶν δὲ ἁμαρ-
τωλοὺς ἕως τῆς γῆς. Ἐξάρξατε τῷ κῷ ἐν ἐξομο-
λογήσει. ψάλατε τῷ θῷ ἡμῶν ἐν κιθάρᾳ.
Τῷ περιβάλλοντι τὸν οὐνὸν ἐν νεφέλαις. τῷ
ἑτοιμάζοντι τῇ γῇ ὑετόν. Τῷ ἐξανατέλλον-
τι ἐν ὄρεσι χόρτον. καὶ χλόην τῇ δουλείᾳ τῶν ἀν-
θρώπων. Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν.
καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλου-
μένοις αὐτόν. Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου
θελήσει. οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδο-
κεῖ. Εὐδοκεῖ κς ἐν τοῖς φοβουμένοις αὐτόν.
καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ
τὸ ἔλεος αὐτοῦ:~

Ἐπαίνει ἱερουσαλὴμ τὸν κν̄, αἴνει τὸν θν̄ σου σιών. Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου· εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην· καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ· ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. Διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον· ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος. Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς· κατὰ πρόσωπον ψύχους αὐτοῦ, τίς ὑποστήσεται. Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. Ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ ἰακώβ· δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ ἰσραήλ. Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει· καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς:~

Δ ※ ό ※ ξ ※ α.

## Ἀλληλούια ἀγγαίου καὶ ζαχαρίου. ρμη΄ 148.

Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐ-
τὸν ἐν τοῖς ὑψίστοις. Αἰνεῖτε αὐτὸν
πάντες οἱ ἄγγελοι αὐτοῦ. αἰνεῖτε αὐτὸν πᾶ-
σαι αἱ δυνάμεις αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἥλιος
καὶ σελήνη. αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ
τὸ φῶς. Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ
τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, αἰνεσάτω-
σαν τὸ ὄνομα κυρίου. Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν.
αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. Ἔστησεν αὐ-
τὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσ-
ταγμα ἔθετο καὶ οὐ παρελεύσεται. Αἰνεῖτε τὸν κύριον ἐκ
τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι. Πῦρ. χάλα-
ζα. χιών. κρύσταλλος. πνεῦμα καταιγίδος, τὰ ποι-
οῦντα τὸν λόγον αὐτοῦ. Τὰ ὄρη καὶ πάντες οἱ βου-
νοί. ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι. Τὰ θηρία
καὶ πάντα τὰ κτήνη. ἑρπετὰ καὶ πετεινὰ πτερωτά.
Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί. ἄρχοντες

καὶ πάντες κριταὶ γῆς. Νεανίσκοι καὶ παρθένοι·
πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ
ὄνομα κυρίου· ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.
Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ· καὶ ὑψώ-
σει κέρας λαοῦ αὐτοῦ. Ὕμνος πᾶσι τοῖς ὁσίοις
αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ· λαῷ ἐγγίζοντι αὐτῷ:~

## Ἀλληλούϊα. ρμθ' 149

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν· ἡ αἴνεσις
αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. Εὐφραν-
θήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν· καὶ
υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐ-
τῶν. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ· ἐν
τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει
πραεῖς ἐν σωτηρίᾳ. Καυχήσονται ὅσιοι ἐν δόξῃ
καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ
ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. Τοῦ ποιῆ-
σαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν· ἐλεγμοὺς ἐν τοῖς λα-
οῖς. Τοῦ

οῖς. Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ:~

## Ἀλληλούϊα. ρν´ 150

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ. αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον:~ Δόξα. κάθισμα. κ´

Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος τῷ Δαυῒδ ἐστὶ καὶ ἔξωθεν τοῦ ἀριθμοῦ τῶν ἑκατὸν πεντήκοντα

ψαλμῶν ὅτε ἐμονομάχησε πρὸς τὸν γολιάθ·

Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου· ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου·

Αἱ χεῖρές μου ἐποίησαν ὄργανον· οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον. Καὶ τίς ἀναγγελεῖ τῷ κυρίῳ μου· αὐτὸς κύριος αὐτὸς εἰσακούει·

Αὐτὸς ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου. Καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ·

Οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ κύριος. Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ· καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ. Ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν, ἀπεκεφάλισα αὐτόν· καὶ ἦρα ὄνειδος ἐξ υἱῶν ἰσραήλ:~

Ἄρδην εὐθύνας Φαραὼ μωσῆς λέγει·

Ὠδὴ μωυσέως ἐν τῇ ἐξόδῳ· α´

Ἄσωμεν τῷ κυρίῳ ἐνδόξως γὰρ δεδόξασται·

ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. Βο
ηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν. οὗτός
μου θεὸς καὶ δοξάσω αὐτόν. θεὸς τοῦ πατρός μου καὶ ὑ
ψώσω αὐτόν. Κύριος συντρίβων πολέμους. κύριος ὄνομα
αὐτῷ. ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐ-
τοῦ ἔρριψεν εἰς θάλασσαν. Ἐπιλέκτους ἀνα
βάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θα-
λάσσῃ. Πόντῳ ἐκάλυψεν αὐτούς. κατέδυ-
σαν εἰς βυθὸν ὡσεὶ λίθος. Ἡ δεξιά σου κύριε, δεδό
ξασται ἐν ἰσχύϊ. ἡ δεξιά σου χείρ κύριε ἔθραυσεν ἐ
χθρούς. Καὶ τῷ πλήθει τῆς δόξης σου συνέτρι-
ψας τοὺς ὑπεναντίους. Ἀπέστειλας τὴν ὀργήν σου
κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην. καὶ διὰ πνεύ
ματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ. Ἐπάγη ὡσεὶ
τεῖχος τὰ ὕδατα. ἐπάγη καὶ τὰ κύματα ἐν μέ
σῳ τῆς θαλάσσης. Εἶπεν ὁ ἐχθρὸς διώξας κα
ταλήψομαι. μεριῶ σκῦλα. ἐμπλήσω ψυχήν μου.
ἀνελῶ τῇ μαχαίρᾳ μου. κυριεύσει ἡ χείρ μου.
Ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θά
λασσα. ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ.

Τίς ὅμοιός σοι ἐν θεοῖς κύριε· τίς ὅμοιός σοι· δεδο-
ξασμένος ἐν ἁγίοις θαυμαστὸς, ἐνδόξως ποιῶν
τέρατα. Ἐξέτεινας τὴν δεξιάν σου κατέπιεν
αὐτοὺς γῆ· ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν
λαόν σου τοῦτον, ὃν ἐλυτρώσω. Παρεκάλε-
σας τῇ ἰσχύϊ σου, εἰς κατάλυμα ἅγιόν σου· ἤκου-
σαν ἔθνη καὶ ὠργίσθησαν· ὠδῖνες ἔλαβον, κα-
τοικοῦντας φιλιστιείμ. Τότε ἔσπευσαν ἡγε-
μόνες ἐδὼμ, καὶ ἄρχοντες μωαβιτῶν· ἔλα-
βεν αὐτοὺς τρόμος· ἐτάκησαν πάντες οἱ κατοι-
κοῦντες χαναάν. Ἐπιπέσοι ἐπ' αὐτοὺς φό-
βος καὶ τρόμος· μεγέθει βραχίονός σου ἀπολι-
θωθήτωσαν. Ἕως ἂν παρέλθοι ὁ λαός σου κύριε·
ἕως ἂν παρέλθοι ὁ λαός σου, οὗτος ὃν ἐκτήσω.
Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κλη-
ρονομίας σου· εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ
κατειργάσω κύριε ἁγίασμα, ὃ ἡτοίμασαν αἱ χεῖρές
σου. Κύριος βασιλεύων τῶν αἰώνων, καὶ ἐπ' αἰῶ-
να καὶ ἔτι· ὅτι εἰσῆλθεν ἵππος φαραὼ σὺν ἅρ-
μασι καὶ ἀναβάταις εἰς θάλασσαν. Καὶ ἐ-

πήγαγεν ἐπ' αὐτοὺς κύριος, τὸ ὕδωρ τῆς θαλάσσης. οἱ δὲ υἱοὶ ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης:~ Δόξα.

νόμου γραφέντος αὖθις ᾠδὴ Μωσέως.

Ὠιδὴ μωυσέως ἐν τῷ δευτερονομίῳ. Ὠιδὴ β΄

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀκουέτω ἡ γῆ ῥήματα ἐκ στόματός μου. Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου. ὡς ὄμβρος ἐπ' ἄγρωστιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον. ὅτι ὄνομα κυρίου ἐκάλεσα, δότε μεγαλωσύνην τῷ θεῷ ἡμῶν. Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτοῦ καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις. Θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. δίκαιος καὶ ὅσιος ὁ κύριος. Ἡμάρτοσαν οὐκ αὐτῷ τέκνα μωμητά. γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα κυρίῳ ἀνταποδίδοτε; Οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός. οὐκ αὐτὸς οὗτός σου πατὴρ; ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε; Μνήσθητε ἡμέρας αἰῶ-

μος· Σύνετε τὶ δὴ ἔτη γενεᾶς γενεῶν. Ἐπερώτη-
σον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι· τοὺς πρε-
σβυτέρους σου, καὶ ἐροῦσί σοι. Ὅτε διεμέριζεν
ὁ ὕψιστος ἔθνη· ὡς διέσπειρεν υἱοὺς ἀδάμ. Ἔστη-
σεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ·
καὶ ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ ἰακώβ. σχοί-
νισμα κληρονομίας αὐτοῦ ἰσραήλ. Αὐτάρ-
κησεν αὐτὸν ἐν τῇ ἐρήμῳ· ἐν δίψει καύματος
ἐν ἀνύδρῳ. Ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευ-
σεν αὐτόν, καὶ διεφύλαξεν αὐτόν, ὡς κόρην
ὀφθαλμοῦ. Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυ-
τοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθη-
σεν. Διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς·
καὶ ἀνέλαβεν αὐτούς, ἐπὶ τῶν μεταφρένων
αὐτοῦ. Κύριος μόνος ἦγεν αὐτούς, καὶ οὐκ ἦν
μετ᾽ αὐτῶν θεὸς ἀλλότριος. Ἀνεβίβασεν αὐτοὺς
ἐπὶ τὴν ἰσχὺν τῆς γῆς· ἐψώμισεν αὐτοὺς γενή-
ματα ἀγρῶν. Ἐθήλασε μέλι ἐκ πέτρας, καὶ
ἔλαιον ἐκ στερεᾶς πέτρας. Βούτυρον βοῶν
καὶ γάλα προβάτων, μετὰ στέατος ἀρνῶν καὶ

κριῶν, υἱῶν ταύρων καὶ τράγων· μετὰ στέατος
νεφρῶν πυροῦ· καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον
Καὶ ἔφαγεν ἰακὼβ καὶ ἐνεπλήσθη, καὶ ἀπελά-
κτισεν ὁ ἠγαπημένος. Ἐλιπάνθη, ἐπαχύνθη,
ἐπλατύνθη, καὶ ἐγκατέλιπε θεὸν τὸν ποιήσαν-
τα αὐτὸν, καὶ ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ.
Παρώξυνάν με ἐπ' ἀλλοτρίοις· καὶ ἐν βδελύγμα-
σιν αὐτῶν, ἐξεπίκρανάν με. Ἔθυσαν δαιμο-
νίοις καὶ οὐ θεῷ· θεοῖς οἷς οὐκ ᾔδεισαν· καινοὶ καὶ
πρόσφατοι ἥκασιν, οὓς οὐκ ᾔδεισαν οἱ πατέρες
αὐτῶν. Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες,
καὶ ἐπελάθου θεοῦ τοῦ τρέφοντός σε; Καὶ εἶδε κύριος καὶ
ἐζήλωσε· καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτῶν
καὶ θυγατέρων. Καὶ εἶπεν, ἀποστρέψω τὸ πρό-
σωπόν μου ἀπ' αὐτῶν· καὶ δείξω τί ἔσται αὐτοῖς ἐ-
π' ἐσχάτων. Ὅτι γενεὰ ἐξεστραμμένη ἐστίν· υἱοὶ
οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς. Αὐτοὶ παρεζήλω-
σάν με ἐπ' οὐ θεῷ· παρώργισάν με ἐν τοῖς εἰδώλοις
αὐτῶν. Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει·

ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς. Ὅτι
πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου· καυθήσεται
ἕως ᾅδου κατωτάτου. Καταφάγεται γῆν
καὶ τὰ γεννήματα αὐτῆς· φλέξει θεμέλια ὀρέ-
ων. Συνάξω εἰς αὐτοὺς κακά· καὶ τὰ βέλη
μου συντελέσω εἰς αὐτούς. Τηκόμενοι λιμῷ
καὶ βρώσει ὀρνέων, καὶ ὀπισθότονος ἀνίατος. Ὀδόν-
τας θηρίων ἐπαποστελῶ εἰς αὐτοὺς, μετὰ θυ-
μοῦ συρόντων ἐπὶ γῆς. Ἔξωθεν ἀτεκνώσει
αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμιείων φόβος.
Νεανίσκος σὺν παρθένῳ θηλάζων, μετὰ κα-
θεστηκότος πρεσβύτου. Εἶπον διασπερῶ αὐ-
τούς. παύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον
αὐτῶν. Εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακρο-
χρονήσωσι· καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπε-
ναντίοι. Μὴ εἴποισαν ἡ χεὶρ ἡμῶν ὑψηλή·
καὶ οὐχὶ κς̄ ἐποίησε ταῦτα πάντα. Ὅτι ἔ-
θνος ἀπολωλεκὸς βουλῆς ἐστι· καὶ οὐκ ἔστιν ἐν αὐ-
τοῖς ἐπιστήμη. Οὐκ ἐφρόνησαν συνιέναι· ταῦτα
πάντα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.

Πῶς διώξεται εἷς χιλίους· καὶ δύο μετακινήσουσι
μυριάδας· Εἰ μὴ ὁ θεὸς ἀπέδοτο αὐτοὺς, καὶ ὁ κύριος
παρέδωκεν αὐτούς· Ὅτι οὐκ εἰσὶν οἱ θεοὶ αὐτῶν
ὡς ὁ θεὸς ἡμῶν· οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι· Ἐκ
γὰρ ἀμπέλου σοδόμων ἡ ἄμπελος αὐτῶν·
καὶ ἡ κληματὶς αὐτῶν ἐκ γομόρρας· Ἡ σταφυλὴ
αὐτῶν, σταφυλὴ χολῆς· βότρυς πικρίας αὐτοῖς·
Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν· καὶ θυμὸς ἀ-
σπίδων ἀνίατος. Οὐκ ἰδοὺ ταῦτα πάντα συ-
νῆκται παρ' ἐμοί, καὶ ἐσφράγισται ἐν τοῖς θησαυ-
ροῖς μου; Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω·
ἐν καιρῷ ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν· Ὅτι ἐγγὺς ἡ-
μέρα ἀπωλείας αὐτῶν, καὶ πάρεστιν ἕτοι-
μα ὑμῖν· Ὅτι κρινεῖ κύριος τὸν λαὸν αὐτοῦ· καὶ
ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται·
Εἶδε γὰρ αὐτοὺς παραλελυμένους καὶ ἐκλε-
λοιπότας ἐν ἐπαγωγῇ καὶ παρειμένους· Καὶ
εἶπε κύριος, ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ' οἷς ἐπεποί-
θεισαν ἐπ' αὐτοῖς· Ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν
ἠσθίετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν·

Ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν· καὶ γενη-
θήτωσαν ὑμῶν σκεπασταί. Ἴδετε ἴδετε ὅτι ἐ-
γώ εἰμι· καὶ οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ. Ἐγὼ ἀπο-
κτενῶ, καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι·
καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου. Ὅτι ἀ-
ρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι τῇ δε-
ξιᾷ μου· καὶ ἐρῶ, ζῶ ἐγὼ εἰς τὸν αἰῶνα. Ὅτι πα-
ροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀν-
θέξεται κρίματος ἡ χείρ μου. Καὶ ἀνταπο-
δώσω δίκην τοῖς ἐχθροῖς· καὶ τοῖς μισοῦσί με ἀν-
ταποδώσω. Μεθύσω τὰ βέλη μου ἀφ' αἵμα-
τος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα. Ἀφ' αἵ-
ματος τραυματιῶν, καὶ αἰχμαλωσίας· ἀπὸ κε-
φαλῆς ἀρχόντων ἐθνῶν. Εὐφράνθητε οὐρανοὶ ἅ-
μα αὐτῷ· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες
ἄγγελοι θεοῦ. Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ
αὐτοῦ· καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ.
Ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται· καὶ ἐκδι-
κήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ
τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει. Καὶ ἐκ-
καθαριεῖ κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ :~ Δόξα.

Θυ' χαίρει στεῖρα τίκτουσα ξηρῶς·

Προσευχὴ Ἄννης μητρὸς Σαμουὴλ τοῦ προφήτου

Ἐστερεώθη ἡ καρδία μου ἐν ᾨδὴ γ'.
κυρίῳ. ὑψώθη κέρας μου ἐν θεῷ μου. ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου. ηὐφράνθην ἐν σωτηρίᾳ σου. Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ κύριος. καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλὴν σοῦ. Μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν. μὴ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόματος ὑμῶν. Ὅτι θεὸς γνώσεων κύριος. καὶ θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ. Τόξον δυνατῶν ἠσθένησε. καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. Πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν. Ὅτι στεῖρα ἔτεκεν ἑπτά. καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε. Κύριος θανατοῖ καὶ ζωογονεῖ. κατάγει εἰς ᾅδου καὶ ἀνάγει. Κύριος πτωχίζει καὶ πλουτίζει. ταπεινοῖ, καὶ ἀνυψοῖ. ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν. Τοῦ καθίσαι αὐ-

τοῦ μετὰ δυναστῶν λαοῦ· καὶ θρόνον δόξης κατα-
κληρονομῶν αὐτόν. Διδοὺς εὐχὴν τῷ εὐχο-
μένῳ· καὶ εὐλόγησεν ἔτη δικαίου. Ὅτι οὐκ ἐ-
νισχύει δυνατὸς ἀνὴρ ἐν τῇ ἰσχύϊ αὐτοῦ· κύριος ἀ-
σθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ κύριος ἅγιος.
Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ· καὶ
μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ·
καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ
αὐτοῦ. Ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμε-
νος· ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν κύριον· καὶ ποι-
εῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.
Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν· αὐτὸς κρινεῖ
ἄκρα γῆς, δίκαιος ὤν. Καὶ δώσει ἰσχὺν τοῖς βασι-
λεῦσιν ἡμῶν· καὶ ὑψώσει κέρας χριστῶν αὐτοῦ :~

Τὴν τοῦ λόγου κένωσιν ἀββακοὺμ φράσον·
προσευχὴ ἀββακοὺμ τοῦ προφήτου. ᾨδὴ δ'

Κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐ-
φοβήθην, κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην. Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ· ἐν τῷ
ἐγγίζειν τὰ

ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ· ἐν τῷ παρεῖναι
τὸν καιρὸν ἀναδειχθήσῃ· ἐν τῷ ταραχθῆναι
τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ.
Ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει· καὶ ὁ ἅγιος ἐξ ὄρους κα
τασκίου δασέως. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ
αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.
Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται· κέρατα ἐν χερ
σὶν αὐτοῦ· καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰ-
σχύος αὐτοῦ. Πρὸ προσώπου αὐτοῦ πορεύσε-
ται λόγος· καὶ ἐξελεύσεται εἰς παιδείαν κα
τὰ πόδας αὐτοῦ. Ἔστη καὶ ἐσαλεύθη ἡ γῆ· ἐπέ
βλεψε καὶ ἐτάκη ἔθνη· Διεθρύβη τὰ ὄρη βίᾳ·
ἐτάκησαν βουνοὶ αἰώνιοι· πορείας αἰωνίους
αὐτοῦ ἀντὶ κόπων εἶδον· Σκηνώματα αἰθι-
όπων πτοηθήσονται· καὶ σκηναὶ γῆς μαδιάμ.
Μὴ ἐν ποταμοῖς ὠργίσθης κύριε· μὴ ἐν ποταμοῖς ὁ θυ
μός σου, ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου. Ὅτι ἐπι
βήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου
σωτηρία. Ἐντείνων ἐντενεῖς τὸ τόξον σου, ἐπὶ σκῆ
πτρα λέγει κύριος. Ποταμῶν ῥαγήσεται γῆ ὄψον

ταί σε, καὶ ὠδινήσουσι λαοί. Σκορπίζων ὕδα-
τα πορείας· ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς,
ὕψος φαντασίας αὐτῆς. Ἐπήρθη ὁ ἥλιος
καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς. Εἰς φῶς
βολίδες σου πορεύσονται. εἰς φέγγος ἀστραπῆς
ὅπλων σου. Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν
θυμῷ κατάξεις ἔθνη. Ἐξῆλθες εἰς σωτηρίαν
λαοῦ σου τοῦ σῶσαι τοὺς χριστούς σου. Ἔβα-
λες εἰς κεφαλὰς ἀνόμων θάνατον. ἐξήγειρας
δεσμοὺς ἕως τραχήλου εἰς τέλος. Διέκοψας
ἐν ἐκστάσει κεφαλὰς δυναστῶν. σεισθήσονται
ἐν αὐτοῖς. διανοίξουσι χαλινοὺς αὐτῶν ὡς ὁ ἐ-
σθίων πτωχὸς λάθρα. Καὶ ἐπεβίβασας εἰς θά-
λασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδα-
τα πολλά. Ἐφυλαξάμην καὶ ἐπτοήθη ἡ καρ-
δία μου, ἀπὸ φωνῆς προσευχῆς χειλέων μου.
Καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ἐν ἐμοὶ
ἐταράχθη ἡ ἰσχύς μου. Ἀναπαύσομαι ἐν ἡμέ-
ρᾳ θλίψεώς μου, τοῦ ἀναβῆναί με εἰς λαὸν πα-
ροικίας μου. Διότι συκῆ οὐ καρποφορήσει.

καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις. Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν. Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις. Ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. Κύριος ὁ θεός μου, δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν. Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ:~

Ἡσαΐου πρόρρησις, ὡς χρὴ τὸ πλέον.

Προσευχὴ Ἡσαΐου τοῦ προφήτου. Ὠιδὴ ε΄.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. πέπαυται γὰρ ὁ ἀσεβής, οὐ μὴ μάθῃ δικαιοσύνην, ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσει. Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. κύριε ὑψηλός σου ὁ βραχίων

καὶ οὐκ ᾔδεισαν· γνόντες δὲ αἰσχυνθήτωσαν. Ζῆ-
λος λήψεται λαὸν ἀπαίδευτον· καὶ νῦν πῦρ
τοὺς ὑπεναντίους ἔδεται. Κύριε ὁ θεὸς ἡμῶν εἰ-
ρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν.
Κύριε ὁ θεὸς ἡμῶν· κτῆσαι ἡμᾶς. κύριε ἐκτὸς σοῦ
ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.
Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ
μὴ ἀναστήσωσιν. Διὰ τοῦτο ἐπήγαγες καὶ ἀ-
πώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν. Πρόσθες
αὐτοῖς κακὰ κύριε· πρόσθες κακά, τοῖς ἐνδόξοις
τῆς γῆς. Κύριε ἐν θλίψει ἐμνήσθημέν σου· ἐν
θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. Καὶ ὡς ἡ ὠ-
δίνουσα ἐγγίζει τοῦ τεκεῖν· καὶ ἐπὶ τῇ ὠδῖνι
αὐτῆς ἐκέκραξεν, οὕτως ἐγενήθημεν τῷ ἀγα-
πητῷ σου. Διὰ τὸν φόβον σου, κύριε ἐν γαστρὶ ἐλά-
βομεν· καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν, πνεῦμα
σωτηρίας σου ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. Οὐ πε-
σούμεθα· ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ
τῆς γῆς. Ἀναστήσονται οἱ νεκροί· καὶ ἐγερθήσον-
ται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται

οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν
τῇ γῇ. Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς
ἐστω. ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται. Βάδιζε λαός
μου. εἴσελθε εἰς τὸ ταμεῖόν σου. ἀπόκλεισον τὴν
θύραν σου. ἀποκρύβηθι μικρὸν ὅσον ὅσον,
ἕως ἂν παρέλθοι ἡ ὀργὴ κυρίου.

Ἐκ θηρὸς ἐκραύγασεν Ἰωνᾶς λέγων. Ὠδὴ ϛ'

Ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν θεόν μου
καὶ εἰσήκουσέ μου. Ἐκ κοιλίας ᾅδου, κραυ
γῆς μου ἤκουσας φωνῆς μου. ἀπέρριψάς με εἰς
βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύ
κλωσάν με. Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ
κύματά σου ἐπ' ἐμὲ διῆλθον. Κἀγὼ εἶπον ἀ
πῶσμαι ἐξ ὀφθαλμῶν σου, ἄρα προσθήσω τοῦ
ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου. Πε-
ριεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου. ἄβυσσος ἐ-
κύκλωσέ με ἐσχάτη. Ἔδυ ἡ κεφαλή μου εἰς
σχισμὰς ὀρέων. κατέβην εἰς γῆν ἧς οἱ μοχλοὶ αὐ
τῆς κάτοχοι αἰώνιοι. Καὶ ἀναβήτω ἐκ φθορᾶς

ἡ ζωή μου, πρὸς σὲ κύριε ὁ θεός μου. Ἐν τῷ ἐκλεί-
πειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ κυρίου ἐμνήσθην.
Καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸμ
ἅγιόν σου. Φυλασσόμενοι μάταια καὶ ψευ-
δῆ, ἔλεον αὐτοῖς ἐγκατέλιπον. Ἐγὼ δὲ μετὰ
φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι.
Ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου κυρίῳ :~

Αἶνος φλόγα σβέννυσι τῶν τριῶν παίδων.
Προσευχὴ τῶν ἁγίων τριῶν παίδων. Ὠιδὴ ζ'

Εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡ-
μῶν καὶ αἰνετὸν καὶ δεδοξασμένον, τὸ
ὄνομά σου εἰς τοὺς αἰῶνας. Ὅτι δίκαιος εἶ
ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν. καὶ πάντα τὰ
ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου. Καὶ
πᾶσαι αἱ κρίσεις σου, ἀληθεῖς. καὶ κρίματα
ἀληθείας ἐποίησας. Ὅτι ἐν ἀληθείᾳ καὶ κρί-
σει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς, διὰ τὰς
ἁμαρτίας ἡμῶν. Ὅτι ἡμάρτομεν. καὶ ἠνομήσα-
μεν ἀποστῆναι ἀπὸ σοῦ. καὶ ἐξημάρτομεν ἐν πᾶ-

σι καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν. Οὐδὲ συνε-
τηρήσαμεν οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡ-
μῖν, ἵνα εὖ ἡμῖν γένηται. Καὶ πάντα ὅσα ἐποίησας ἡ-
μῖν. καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἀληθινῇ κρίσει ἐ-
ποίησας· Καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐ-
χθίστων ἀποστατῶν. καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ
παρὰ πᾶσαν τὴν γῆν. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν
ἀνοῖξαι τὸ στόμα. αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν
τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε. Μὴ δὴ
παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου· καὶ
μὴ διασκεδάσῃς τὴν διαθήκην σου. καὶ μὴ ἀπο-
στήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν. Διὰ ἀβραὰμ τὸν
ἠγαπημένον ὑπὸ σοῦ. καὶ διὰ ἰσαὰκ τὸν δοῦ-
λόν σου, καὶ ἰσραὴλ τὸν ἅγιόν σου. Οἷς ἐλά-
λησας πληθῦναι τὸ σπέρμα, αὐτῶν. ὡς τὰ
ἄστρα τοῦ οὐρανοῦ. καὶ ὡς τὴν ἄμμον τὴν παρὰ
τὸ χεῖλος τῆς θαλάσσης. Ὅτι δέσποτα ἐσμι-
κρύνθημεν παρὰ πάντα τὰ ἔθνη. καὶ ἐσμὲν τα-
πεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρ-
τίας ἡμῶν. Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τού-

τῷ, ἄρχων καὶ προφήτης καὶ ἡγούμενος· οὐδὲ
ὁλοκαύτωσις· οὐδὲ θυσία· οὐδὲ προσφορά· οὐδὲ
θυμίαμα· οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν
σου, καὶ εὑρεῖν ἔλεος. Ἀλλ' ἐν ψυχῇ συντετρι-
μένῃ· καὶ πνεύματι ταπεινώσεως, προσδε-
χθείημεν, ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύ-
ρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων. Οὕτως
γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον· καὶ
ἐκτελέσθω ὄπισθέν σου, ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς
πεποιθόσιν ἐπὶ σοί. Καὶ νῦν ἐξακολουθοῦμεν
ἐν ὅλῃ καρδίᾳ· καὶ φοβούμεθά σε· καὶ ζητοῦμεν τὸ
πρόσωπόν σου, μὴ καταισχύνῃς ἡμᾶς. Ἀλλὰ ποίη-
σον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου· καὶ κα-
τὰ τὸ πλῆθος τοῦ ἐλέους σου· ἐξελοῦ ἡμᾶς κατὰ
θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου κε.
Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμε-
νοι τοῖς δούλοις σου κακά. Καὶ καταισχυνθεί-
ησαν ἀπὸ πάσης δυναστείας. Καὶ ἡ ἰσχὺς αὐ-
τῶν συντριβείη· καὶ γνώτωσαν ὅτι σὺ εἶ θς,
καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην. Καὶ οὐ

διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως, καίοντες τὴν κάμινον νάφθῃ· καὶ πίσσῃ, καὶ στυππίῳ καὶ κληματίδι. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα. Καὶ διώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν χαλδαίων. Ὁ δὲ ἄγγελος κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν ἀζαρίαν εἰς τὴν κάμινον. Καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου. Καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον. Καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν. οὐδὲ παρηνόχλησεν αὐτούς. Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν· καὶ ηὐλόγουν καὶ ἐδόξαζον τὸν θεὸν ἐν τῇ καμίνῳ λέγοντες:~

Ἡ τῶν τριῶν ὕμνησις, ᾠδὴ ἤδη νέοι.

Εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον τὸ ὑπερύμνητον καὶ ὑπερυψού-

μενον εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ
ναῷ τῆς ἁγίας δόξης σου· ὁ ὑπερύμνητος καὶ
ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογη-
μένος εἶ ὁ βλέπων ἀβύσσους· καθήμενος ἐπὶ τῶν
χερουβίμ· ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος
εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐπὶ θρόνου
δόξης τῆς βασιλείας σου· ὁ ὑπερύμνητος καὶ
ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημέ-
νος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ· ὁ ὑπερύ-
μνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας:~

Ὕμνος τῶν ἁγίων τριῶν παίδων. Ὠιδή. η

Εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας. Εὐλογεῖτε ἄγγελοι κυρίου οὐρανοὶ
κυρίου τὸν κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας. Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπε-
ράνω τῶν οὐρανῶν· πᾶσαι αἱ δυνάμεις κυρίου τὸν
κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας. Εὐλογεῖτε ἥλιος καὶ σελήνη, ἄστρα τοῦ
οὐρανοῦ τὸν κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐ-
τὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πᾶς ὄμβρος

καὶ δρόσος· πάντα τὰ πνεύματα τὸν κν̄ ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας· Ἐυλογεῖ
τε πῦρ, καὶ καῦμα, ψῦχος, καὶ καύσων· τὸν κν̄,
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶ-
νας· Ἐυλογεῖτε δρόσοι, καὶ νιφετοί, πάγοι, καὶ ψύ
χος, τὸν κν̄· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας· Ἐυλογεῖτε πάχναι καὶ χιόνες, ἀ
στραπαί, καὶ νεφέλαι, τὸν κν̄· ὑμνεῖτε καὶ ὑπερυ
ψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας· Ἐυλογεῖτε φῶς,
καὶ σκότος, νύκται, καὶ ἡμέραι, τὸν κν̄· ὑμνεῖτε καὶ
ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας· Ἐυλογεῖ
τε ἡ γῆ, ὄρη, καὶ βουνοί, πάντα τὰ φυόμενα ἐν
αὐτῇ, τὸν κν̄· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας· Ἐυλογεῖτε πηγαί, θάλασσαι, καὶ
ποταμοί, κήτη, καὶ πάντα τὰ κινούμενα,
ἐν τοῖς ὕδασι τὸν κν̄· ὑμνεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας· Ἐυλογεῖτε πάντα τὰ
πετεινὰ τοῦ οὐρανοῦ· τὰ θηρία, καὶ πάντα
τὰ κτήνη, τὸν κν̄· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐ
τὸν εἰς τοὺς αἰῶνας· Ἐυλογεῖτε υἱοὶ τῶν ἀνων.
εὐλογείτω ἰσραὴλ τὸν κν̄· ὑμνεῖτε καὶ ὑπερυ-

ψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἱερεῖς κυρίου, δοῦλοι κυρίου τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἀνανία, ἀζαρία, μισαὴλ, τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἀπόστολοι, προφῆται, καὶ μάρτυρες κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογοῦμεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα τὸν κύριον, ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Αἰνοῦμεν εὐλογοῦμεν προσκυνοῦμεν τὸν κύριον. ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας:~

## Αἴνεσις ἁγνῆς μητρὸς παρθένου κόρης. Ὠιδὴ θʹ

Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με

ριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι
μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα αὐ-
τοῦ. Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς
φοβουμένοις αὐτόν. Ἐποίησε κράτος ἐν βρα-
χίονι αὐτοῦ· διεσκόρπισεν ὑπερηφάνους δια-
νοίᾳ καρδίας αὐτῶν. Καθεῖλε δυνάστας ἀπὸ
θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέ-
πλησεν ἀγαθῶν· καὶ πλουτοῦντας ἐξαπέστει-
λε κενούς. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐ-
τοῦ· μνησθῆναι ἐλέους καθὼς ἐλάλησε πρὸς
τοὺς πατέρας ἡμῶν· τῷ Ἀβραὰμ καὶ τῷ
σπέρματι αὐτοῦ ἕως αἰῶνος:~

## Προσευχὴ τοῦ προφήτου Ζαχαρίου.

Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ ὅτι ἐ-
πεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ
λαῷ αὐτοῦ. Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν
ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ. Καθὼς
ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶ-
νος προφητῶν. Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ

ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς. Ποιῆ-
σαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν καὶ μνησθῆ-
ναι διαθήκης ἁγίας αὐτοῦ. Ὅρκον ὃν ὤμοσε
πρὸς ἀβραὰμ τὸν πατέρα ἡμῶν. τοῦ δοῦναι
ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέν-
τας. Λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιο-
σύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς
ζωῆς ἡμῶν. Καὶ σὺ παιδίον προφήτης ὑψίστου
κληθήσῃ. προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου
ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Τοῦ δοῦναι γνῶσιν
σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρ-
τιῶν αὐτῶν διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν.

Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ
ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ
σκιᾷ θανάτου καθημένοις.
Τοῦ κατευθῦναι τοὺς
πόδας ἡμῶν εἰς
ὁδὸν εἰρή-
νης.

Τέλος.

Δαδ̀ μελῳδὲ μουσικῆς ἀκροκρύφου.
Σὺ μὲν δι' αὐτῶν καὶ θανὼν ζῇς τῷ λόγῳ.
Ἡμῖν δὲ τὴν σὴν ἐμμελῆ δίδως λύραν.
Ἧς ἔστιν εὑρεῖν ἐμμελῆ τὰ πρακτέα.
Καὶ γὰρ δι' αὐτῆς μυστικῶς κινουμένης
Διώκεται μὲν ἐμπαθὴς πᾶσα φθίσις.
Ἐλαύνεται δὲ δυσχερὴς ἅπας τρόμος.
Συστέλλεται δὲ συμφορῶν ἀπληστία.
Κοιμίζεται δὲ γνωστικῆς ἅλμης κλύδων.
Στηρίζεται δὲ τῶν παθῶν ἡ στερρότης.
Καὶ τέρπεται μὲν τῆς ψυχῆς ἡ σεμνότης.
Ἐλέγχεται δὲ τῷ σατὰν ἡ φαυλότης.
Ἐκ τῆς μονητῆς τῶν μελῶν εὐρυθμίας.
Ὢ τίς τοσαύτην εὗρεν αὐτῶν χάριν.
Εἰ μὴ σὺ τὴν πρέπουσαν αὐτοῖς χάριν.

Τῷ Θεῷ Δόξα.

α β γ δ ε ζ η θ ι κ λ μ ν ο π ρ σ τ υ
Ἅπαντα τετράδια, πλὴν τοῦ ι ἐκεῖνο δὲ τριάδιον.
Ἐγράφη ἐν ἐνετίαις ἐν οἰκείᾳ Ἄλδου τοῦ
μανουτίου.

BIBLIOTHECA NACIONAL DE LISBOA

# ΠΑΣΧΑΛΙΟΝ ΑΙΩΝΙΟΝ

## ΜΕΤΑ' ΚΑΙΝΗ͂Σ, ΚΑΙ' ΣΥΝΟΠΤΙΚΗ͂Σ ΜΕΘΟ'ΔΟΥ ΠΡΟ'ΧΕΙΡΟΝ ΤΟΙ͂Σ ΠΑ͂ΣΙ.

Ἀρχόμενον ἀπὸ Χριστοῦ ἔτη, αχκζ΄. Καὶ λῆγον ἕως εἰς ἔτη, ͵βρνθ΄. Καὶ ἀφ' οὗ τελειώσῃ, πάλιν ἀρχίζει εἰς τὴν αὐτὴν ἰδίαν ἀρχήν. Μόνον ἡ ἐχρονία παρέρχεται. Τὰ δὲ ἄλλα πάντα μένουσιν ἀπαραλλάκτως, ὡς βλέπεις ἐστρωμμένα.

ΝΕΩΣΤΟΙ' ἘΦΕΥΡΕΘΕ'ΝΤΕ, ΚΑΙ' ΣΥΝΤΕΘΕ'Ν παρὰ τοῦ εὐλαβεστάτου ἐν ἱερεῦσι κυρίου Ματθαίου Τζιγάλα τοῦ Κυπρίου. Περιέχον καὶ ἑορτολόγιον πάνυ ὡραῖον, καὶ εὐκολώτατον ἔτι δὲ Σεληνοδρόμιον συντομώτατον. Τὰ πάντα πρόχειρα τοῖς πᾶσι.

Con licentia de' Superiori, & Priuilegio.



ἘΝΕΤΙ'ΗΣΙΝ, Παρὰ Ἀνδρέᾳ τῷ Ἰουλιανῷ. αχπά.

Πουλίεται κοντὰ εἰς τὸν Πόντε τοῦ Ἁγίου Φαντίνου.

## ΕʹΤΕΡΟΙ ΣΤΙʹΧΟΙ ΕΙʹΣ ΤΟ ΠΑΣΧΑʹΛΙΟΝ.

Μὲ κόπον καὶ πολλὴν σπουδὴν εἰς δόξαν τοῦ κυρίου.
Ἄρχη σ' αὐτὴν τὴν μέθοδον. τοῦ νέου Πασχαλίου
Τὸ ποῖον διανᾶν αἰώνων, σ' αριθμολόγησάτου,
Θεμέλιον Κύκλους Φεγκαριοῦ. δεξιᾶ καὶ ἀριστεράτου.
Ἀδὰμ τὰ ἔτη καὶ Χριστοῦ. καὶ Κύκλους τοῦ Ἡλίου.
Ἰνδικτιῶναν Φάσκατε, μετὰ Μηνολογίου,
Ὁμοῦ καὶ ὅλαις ταῖς ἑορταῖς, ὅπου ἀκολουθοῦν τοῦ Πάσχα,
Σεληνοδρόμιον ὅλοκολον, καὶ βαλάτο στὴν Στάμπα.
Τοῖς πᾶσιν εἶναι ἁρμόδιον. κ' εἴτις τὸ ἀποκτήσῃ
Ζαχάρεως, καὶ μέλιτος, γλυκύτερον τὸ εὑρίσκῃ
Ἱερέως εἶναι φόρεμα. καὶ ἂν θέλῃς, τὸ ὄνομάτου
Γύρευσέτο στ' ἀκρόστιχα, νὰ εὕρῃς καὶ τὴν γενεάντου.
Ἀνάγνωσο πολλαῖς φοραῖς, διὰ νὰ τὸ ξέρῃς ἴσως
Λόγον νὰ δίδοις καθ' ἑνὸς, ὅπου νὰ σὲ ρωτήσῃ.
Ἂν πότε οἱ ἐντυγχάνοντες, πάντα νὰ τοῦ ἐνθυμοῦνται
Συγχώρησιν παρὰ τὸν θεὸν διὰ ταύτην νὰ αἰτοῦνται.

# ΤΟΙ͂Σ ἘΝΤΕΥΞΟΜΕ΄ΝΟΙΣ ΤΩ͂ ΠΑΡΟ΄ΝΤΙ ΠΟΝΗ΄ΜΑΤΙ,

Ματθαῖος ἐλάχιστος, ἐν πρεσβυτέροις, ὁ Τζιγάλας, ὁ Κύπριος, σωτηρίαν, καὶ εὐτυχίαν παρὰ τοῦ ἑνὸς ἐν τριάδι Θεοῦ.

Πολλὰ εἶναι ὁποῦ συμβάλλουσιν εἰς τὴν κατάστασιν, καὶ εὐταξίαν, τῆς Καθολικῆς, καὶ Ἀποστολικῆς Ἐκκλησίας ἀδελφοὶ ἐν Χριστῷ ἀγαπητοί. Ἀπὸ τὰ ὁποῖα, ἕνα καὶ ἀναγκαῖον εἶναι, ἡ διάγνωσις τοῦ μυστικοῦ, τῶν Χριστιανῶν Πάσχα. Περὶ τοῦ ὁποίου, πολλὴν φροντίδα φαίνεται πῶς εἶχον οἱ ἅγιοι πατέρες, οἱ τῆς πρωτοτύπου Ἐκκλησίας ποιμένες, καὶ Διδάσκαλοι. Οἱ ὁποῖοι, πρὶν νὰ εὑρεθῇ ὁ τρόπος τῶν Πασχαλίων, ἀνάγκην εἶχον ὁ καθ᾽ εἷς Ἐπίσκοπος εἰς τὴν ἐπαρχίαν του, νὰ κάμνουσιν τοπικὰς συνόδους καθ᾽ ἕν χρόνον, νὰ ζητοῦσι μὲ μεγάλην ἔρευναν, καὶ κόπον τὴν ἡμέραν τοῦ Πάσχα. Καὶ τότε νὰ πέμπουσι γραμματοφόρους νὰ τὴν κηρύττουσιν εἰς τὸν κόσμον. (Τοῦτο ὁποῦ λέγω, ἠμπορεῖ καθ᾽ εἷς, νὰ τὸ γνωρίσῃ, καὶ ἀπὸ τῶν συγγραμμάτων τῶν ἁγίων Συνόδων, καὶ ἀπὸ τῶν Ἐπιστολῶν τοῦ σοφωτάτου Συνεσίου.) Ὕστερον δὲ ἀφ᾽ οὗ εὑρέθη ὁ τρόπος οὗτος, ὁποῦ τυπώννεται τὴν σήμερον εἰς τὰ Ὡρολογία, ἀνεπαύθησαν.

Ὅμως οὐδὲ οὗτος ὁ τρόπος εἶναι τέλειος. Διότι ἀφ᾽ οὗ τελειωθοῦσιν οἱ διωρισμένοι ἐκεῖνοι χρόνοι, ὁποῦ εἶναι τυπωμένοι. Ἀνάγκη εἶναι νὰ γίνονται πάλιν ἄλλα Πασχάλια. Καὶ πάλιν ἄλλα. καὶ ἄλλα. Καὶ οὕτως νὰ ὑπάγῃ τὸ πρᾶγμα εἰς ἄπειρον. Ταύτην τὴν σύγχυσιν βλέποντας ἐγὼ, καὶ θέλοντας νὰ φέρω κάποιαν εὐκολίαν εἰς τοῦτο, διὰ βοήθειαν κοινὴν. Ὡς γνήσιον μέλος, ὁποῦ ἦμαι τῆς Ἐκκλησίας τοῦ Χριστοῦ. Ἐβάλθηκαμε Θεοῦ χάριν νὰ δείξω, ἕνα τρόπον, τοῦ εὑρίσκειν τὸ ἅγιον Πάσχα παντοτινόν. Καὶ θέλοντας νὰ τὸ κάμω πολλὰ συνοπτικὸν, ἐσμιξάτομε τὸν συγχρονισμὸν τοῦ κυριακοῦ ἔτους.

Θετέον, εὑρισκόμενοι εἰς τὸ ἔτος. ᾳχλ. ἔχομεν Πάσχα εἰς τὰς κή. τοῦ Μαρτίου. Ἰνδικτιῶνος. ιγ΄. Ἡλίου Κύκλοι κϛ΄. Σελήνης Κύκλοι ιγ΄. Νομικὸν Φάσκα τῇ κά. Ἀπριλλίου ἡμέρα Κυριακῇ. Τῷ δὲ ἐρχομένῳ ἔτει, ὁποῦ εἶναι ᾳχλά. ἔχομεν Πάσχα Ἀπριλλίου. ι. Ἰνδικτιῶνος. ιδ΄. Ἡλίου Κύκλοι κζ΄. Σελήνης Κύκλοι ιδ΄. Νομικὸν Φάσκα Ἀπριλλίου θ΄. ἡμέρα Σαββάτῳ, καὶ οὕτω καθεξῆς ἀκολουθεῖ, ὡς φαίνεται κατεστρωμένον. Τὰ δὲ λοιπὰ ὁποῦ ἀκολουθοῦσι τῶν Πάσχα ὅ,τι ον διαμονὴ τῶν Χριστοῦ γεννῶν, καὶ τὰ ὀξῆς εὑρέσεως κατὰ τάξιν εἰς τὰ ἔμπροσθεν λέ. Κανόνια ὁποῦ εἰς τὸ τέλος εἶναι.

Ἰστέον, ὅτι ἡ ἔννοια τῆς παρούσης μεθόδου, ἔχει οὕτως ἐπειδὴ ὁ ἥλιος ἔχη Κύκλους. κή. ἡ δὲ Σελήνη Κύκλους. ιθ. πολυπλασιαζόμενα τὰ κή. μετὰ ιθ΄. γίνονται. φλβ΄. καὶ τόσοι χρόνοι κάμνουσιν, μίαν μεγάλην Κυκλοφορίαν Θετίον. εἰς τὸν καιρὸν τῆς πραγματικῆς τοῦ Χριστοῦ ἀναστάσεως, ἤτον ἡμέρα Κυριακὴ

κὴν Μαρτίῳ κέ. Ἡλίου Κύκλοι κγ. Σελήνης Κύκλοι, ι. μετὰ χρόνους φλβ. ἀπέρασεν μία μεγάλη Κυκλοφορία, καὶ συνῆλθον πάλιν, ὁ αὐτὸς μὴν ἡ αὐτὴ ἡμέρα, ὁ αὐτὸς Κύκλος τοῦ Ἡλίου, καὶ τῆς Σελήνης ἀπαραλλάκτως, ὡς καὶ τὸν τότε καιρόν. Ἔπειτα πάλιν μετὰ φλβ΄. χρόνους ἀπέρασεν δευτέρα Κυκλοφορία. Καὶ συνῆλθον πάλιν τὰ αὐτὰ καθὰ πρότερον. Ὁμοίως πάλιν μετέπειτα ἄλλους φλβ΄. χρόνους ἀπέρασεν ἡ τρίτη Κυκλοφορία. Ἦσαν δὲ ἀπὸ Ἀδὰμ ἔτη ζρλέ. ἀπὸ δὲ Χριστοῦ ἔτη, αχκζ΄. καὶ συνῆλθον πάλιν ἅπαντα ἀπαραλλάκτως, ὡς καὶ τὸν τότε καιρὸν τῆς τοῦ Χριστοῦ σταυρώσεως, ἤγουν τὸ ἅγιον Πάσχα ἡμέραν Κυριακὴν Μαρτίῳ κέ. Ἡλίου Κύκλοι κγ΄. καὶ Σελήνης Κύκλοι ι. καὶ ἂν ποτὲ ἔτυχεν ἀναμεταξὺ τῶν αὐτῶν φλβ χρόνων ἡ ἡμέρα τοῦ ἁγίου Πάσχα εἰς τὴν κε. τοῦ Μαρτίου, ἢ τύχῃ, καθὼς μέλλῃ νὰ συνέβῃ εἰς τὴν χρονίαν αχλή. Χριστοῦ. Καὶ ἄλλαις βολαῖς συμβαίνει. Ἀλλὰ δὲν συνέρχονται, καὶ οἱ Κύκλοι τοῦ Ἡλίου, κγ. καὶ τῆς Σελήνης, ι. ὡσὰν τότε. Κατὰ δὲ τὴν ἡμετέραν μέθοδον. Ἀφοῦ περάσουν φλβ. χρόνοι ὅλα συνέρχονται ὁμοῦ ἀπαραλλάκτως, πλὴν τῆς Ἰνδικτιῶνος. Εἰ δὲ θέλῃς νὰ συναρμώσῃς, καὶ τὴν Ἰνδικτιῶνα μὲ τὸν συγχρονισμὸν τῆς παρούσης Κυκλοφορίας. Μετὰ τὸ τέλος τῆς αὐτῆς ὁποῦ γίνονται ἔτη ἀπὸ Χριστοῦ βρνθ. Ὅταν θέλῃς νὰ ἀρχήσῃς νέαν Κυκλοφορίαν πρόσθες ὀκτὼ, καὶ οὕτως συναρμολογεῖται, καὶ ἡ Ἰνδικτιών.

Ὅμως ἡμεῖς εὑρισκόμενοι νῦν τῇ τοῦ Χριστοῦ χάριτι εἰς τὴν ἀρχὴν τῆς δ. Κυκλοφορίας κάμνομεν πρῶτον ὡς δεῖ, τῆς ἡμετέρας μεθόδου. τὸ αχκζ. ἀπὸ Χριστοῦ, καὶ ἕως τὸ βρνθ. Καθὼς φαίνεται ὧδε κατεστρωμένον τελειώννει. Καὶ πάλιν ἀρχίζῃ ἡ. Ε΄. Κυκλοφορία μόνον τὸ ἔτος παρέρχεται. Ἤγουν ἐκεῖ ὁποῦ εἶναι ἡ ἀρχὴ, αχκζ΄. κάμνῃς ἀρχὴν ἀπὸ τὸ ἔτος, βρνθ. τὰ δὲ ἄλλα πάντα ἀκολουθοῦσιν ἀπαραλλάκτως.

Ταύτην τὴν μικρὰν συνεισφορὰν, θέλοντας ἐγὼ ὁ πάντων ἐλάχιστος, ἵνα φέρω εἰς τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ. Μετὰ πολλῆς σκέψεως. καὶ ἐπιμελείας, ἐξέδωκά την εἰς τὰς χεῖρας τοῦ ἐντίμου κυρίου Ἰωάννη Ἀντωνίου Ἰουλιανοῦ. Ἐκ προγόνων, Τυπογράφου παλαιοῦ. Γνωρίζων τοῦτον προθυμότατον νὰ δείξῃ τὴν ἀγάπην ὁποῦ ἔχει μὲ τὸ ἐνδοξότατον γένος τῶν Γραικῶν ὅστις ἐτύπωσέ την εἰς δόξαν θεοῦ, καὶ εὐφροσύνην τῶν ἐντυγχανόντων. Καὶ εἰ μὲν ὀρθῶς λογιάζω, εὖγε, τῷ θεῷ χάρις. Τῷ δωτῆρι πάντων τῶν ἀγαθῶν. Εἰ δὲ ἔλαττον δόξῃ, καὶ ἀνωφελὲς, ἀλλ᾽ ὑμεῖς γε τὴν ἀγαθὴν προαίρεσιν δέξασθαι. Ἥτις καὶ αὐτῷ τῷ θεῷ ἐστὶν εὐαπόδεκτος. Ἔρρωσθαι.

Ἐλάχιστος ἐν πρεσβυτέροις.

Ματθαῖος ὁ Τζιγάλας ὁ Κύπριος.

# ΠΑΣΧΑ'ΛΙΟΝ ΑΙ'Ω'ΝΙΟΝ.

| Ἔτη ἀπὸ Χριστοῦ. | Ἰνδικτιών. | Κύκλοι ἡλίου | Κύκλοι Σελήνης | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης. | Ἔτη ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1627 | | κγ | ι | κδ. ζ | μαρτ. κε. | κγ | 7135 |
| B 1628 | ια | κδ | ια | ιβ. ζ | ἀπριλλ. ιγ. | δ | 7136 |
| 1629 | ιβ | κε | ιβ | α. δ | ἀπριλλ. ε | ιε | 7137 |
| 1630 | ιγ | κϛ | ιγ | κα. ζ | μαρτ. κη | κϛ | 7138 |
| 1631 | ιδ | κζ | ιδ | θ. ζ | ἀπριλλ. ι | ζ | 7139 |
| B 1632 | ιε | κη | ιε | κθ. ε | ἀπριλλ. α | ιη | 7140 |
| 1633 | Α | Α | ιϛ | ιζ. δ | ἀπριλλ. κα | κθ | 7141 |
| 1634 | β | β | ιζ | [illegible] ζ | ἀπριλλ. ϛ | ι | 7142 |
| 1635 | γ | γ | ιη | κ[illegible] δ | μαρτ. κθ | κα | 7143 |
| B 1636 | δ | δ | ιθ | ιγ. δ | ἀπριλλ. ιζ | β | 7144 |
| 1637 | ε | ε | Α | β. α | ἀπριλλ. θ | ιδ | 7145 |
| 1638 | ϛ | ϛ | β | κβ. ε | μαρτ. κε | κε | 7146 |
| 1639 | ζ | ζ | γ | ι. δ | ἀπριλλ. ιδ | ϛ | 7147 |
| B 1640 | η | η | δ | λ. β | ἀπριλλ. ε | ιζ | 7148 |
| 1641 | θ | θ | ε | ιη. α | ἀπριλλ. κε | κη | 7149 |
| 1642 | ι | ι | ϛ | ζ. ε | ἀπριλλ. ι | θ | 7150 |
| 1643 | ια | ια | ζ | βζ. β | ἀπριλλ. β | κ | 7151 |
| B 1644 | ιβ | ιβ | η | ιε. β | ἀπριλλ. κα | α | 7152 |
| 1645 | ιγ | ιγ | θ | δ. ϛ | ἀπριλλ. ϛ | ιβ | 7153 |
| 1646 | ιδ | ιδ | ι | κδ. γ | μαρτ. κθ | κγ | 7154 |
| 1647 | ιε | ιε | ια | ιβ. β | ἀπριλλ. ιη | δ | 7155 |
| B 1648 | Α | ιϛ | ιβ | α. ζ | ἀπριλλ. β | ιε | 7156 |
| 1649 | β | ιζ | ιγ | κα. δ | μαρτ. κε | κϛ | 7157 |
| 1650 | γ | ιη | ιδ | θ. β | ἀπριλλ. ιδ | ζ | 7158 |
| 1651 | δ | ιθ | ιε | κθ. ζ | μαρτ. λ | ιη | 7159 |
| B 1652 | ε | κ | ιϛ | ιζ. ζ | ἀπριλλ. ιη | κθ | 7160 |
| 1653 | ϛ | κα | ζ | ε. γ | ἀπριλλ. ι | ι | 7161 |
| 1654 | ζ | κβ | ιη | κε. ζ | μαρτ. κϛ | κα | 7162 |
| 1655 | η | κγ | ιθ | ιγ. ϛ | ἀπριλλ. ιε | β | 7163 |
| B 1656 | θ | κδ | Α | β. β | ἀπριλλ. ϛ | ιδ | 7164 |
| 1657 | ι | κε | β | κβ. α | ἀπριλλ. κθ | κε | 7165 |
| 1658 | ια | κϛ | γ | ι. ζ | ἀπριλλ. ια | ϛ | 7166 |
| 1659 | ιβ | κζ | δ | λ. δ | ἀπριλλ. γ | ιζ | 7167 |
| B 1660 | ιγ | κη | ε | ιη. δ | ἀπριλλ. κβ | κη | 7168 |

# ΠΑΣΧΑ'ΛΙΟΝ ΑΙ'Ω'ΝΙΟΝ.

| Ἔτει ἀπὸ Χριστοῦ. | Ἰνδικτιῶν. | Κύκλοι ἡλίου ☉ | Κύκλοι Σελήνης ☽ | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης | Ἔτει ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1661 | ιδ | α | ϛ | ξ. α | ἀπριλλ. ιδ | θ | 7169 |
| 1662 | ιε | β | ζ | κζ. ε | μαρτ. λ. | κ | 7170 |
| 1663 | α | γ | η | ιε. δ | ἀπριλλ. ιθ. | α | 7171 |
| B 1664 | β | δ | θ | δ. β | ἀπριλλ. ι | ιβ | 7172 |
| 1665 | γ | ε | ι | κδ. ϛ | μαρτ. κϛ | κγ | 7173 |
| 1666 | δ | ϛ | ια | ιβ. ε | ἀπριλλ. ιε | δ | 7174 |
| 1667 | ε | ζ | ιβ | α. β | ἀπριλλ. ζ | ιε | 7175 |
| B 1668 | ϛ | η | ιγ | κα. ζ | μαρτ. κβ | κϛ | 7176 |
| 1669 | ζ | θ | ιδ | θ. ϛ | ἀπριλλ. ια | ζ | 7177 |
| 1670 | η | ι | ιε | κθ. γ | ἀπριλλ. γ | ιη | 7178 |
| 1671 | θ | ια | ιϛ | ιζ. β | ἀπριλλ. κγ | κθ | 7179 |
| B 1672 | ι | ιβ | ιζ | ε. ϛ | ἀπριλλ. ζ | ι | 7180 |
| 1673 | ια | ιγ | ιη | κε. γ | μαρτ. λ | κα | 7181 |
| 1674 | ιβ | ιδ | ιθ | ιγ. β | ἀπριλλ. ιθ | β | 7182 |
| 1675 | ιγ | ιε | α | β. ϛ | ἀπριλλ. δ | ιδ | 7183 |
| B 1676 | ιδ | ιϛ | β | κβ. δ | μαρτ. κϛ | κε | 7184 |
| 1677 | ιε | ιζ | γ | ι. γ | ἀπριλλ. ιε | ϛ | 7185 |
| 1678 | α | ιη | δ | λ. ζ | μαρτ. λα | ιζ | 7186 |
| 1679 | β | ιθ | ε | ιη. ϛ | ἀπριλλ. κ | κη | 7187 |
| B 1680 | γ | κ | ϛ | ζ. δ | ἀπριλλ. ια | θ | 7188 |
| 1681 | δ | κα | ζ | κζ. α | ἀπριλλ. γ | κ | 7189 |
| 1682 | ε | κβ | η | ιε. ζ | ἀπριλλ. ιϛ | α | 7190 |
| 1683 | ϛ | κγ | θ | δ. δ | ἀπριλλ. η | ιβ | 7191 |
| B 1684 | ζ | κδ | ι | κδ. β | μαρτ. λ | κγ | 7192 |
| 1685 | η | κε | ια | ιβ. α | ἀπριλλ. ιθ | δ | 7193 |
| 1686 | θ | κϛ | ιβ | α. ε | ἀπριλλ. δ | ιε | 7194 |
| 1687 | ι | κζ | ιγ | κα. β | μαρτ. κζ | κϛ | 7195 |
| B 1688 | ια | κη | ιδ | θ. β | ἀπριλλ. ιε | ζ | 7196 |
| 1689 | ιβ | Α | ιε | κθ. ϛ | μαρτ. λα | ιη | 7197 |
| 1690 | ιγ | β | ιϛ | ιζ. ε | ἀπριλλ. κ | κθ | 7198 |
| 1691 | ιδ | γ | ιζ | ε. α | ἀπριλλ. ιβ | ι | 7199 |
| B 1692 | ιε | δ | ιη | κε. ϛ | μαρτ. κζ | κα | 7200 |
| 1693 | Α | ε | ιθ | ιγ. ε | ἀπριλλ. ιϛ | β | 7201 |
| 1694 | β | ϛ | Α | β. β | ἀπριλλ. η | ιδ | 7202 |

# ΠΑΣΧΑ΄ΛΙΟΝ ΑΙ΄Ω΄ΝΙΟΝ.

| Ἔτη ἀπὸ Χριστοῦ. | Ἰνδικτιών. | Κύκλοι ἡλίου ☼ | Κύκλοι Σελήνης ☽ | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης. | Ἔτη ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1695 | γ | ζ | β | κβ. ϛ | μαρτ. κδ. | κε | 7203 |
| B 1696 | δ | ε | γ | ι. ϛ | ἀπριλλ. ιβ. | ϛ | 7204 |
| 1697 | ε | θ | δ | λ. γ | ἀπριλλ. δ | ιζ | 7205 |
| 1698 | ϛ | ι | ε | ιη. β | ἀπριλλ. κδ | κη | 7206 |
| 1699 | ζ | ια | ϛ | ζ. ϛ | ἀπριλλ. θ | θ | 7207 |
| B 1700 | η | ιβ | ζ | κζ. δ | μαρτ. λα | κ | 7208 |
| 1701 | θ | ιγ | η | ιε. γ | ἀπριλλ. κ | Α | 7209 |
| 1702 | | ιδ | θ | δ. ζ | ἀπριλλ. ε | ιβ | 7210 |
| 1703 | ια | ιε | ι | κδ. δ | μαρτ. κη | κγ | 7211 |
| B 1704 | ιβ | ιϛ | ια | ιβ. δ | ἀπριλλ. ιϛ | δ | 7212 |
| 1705 | ιγ | ιζ | ιβ | α. α | ἀπριλλ. η | ιε | 7213 |
| 1706 | ιδ | ιη | ιγ | κα. ε | μαρτ. κδ | κϛ | 7214 |
| 1707 | ιε | ιθ | ιδ | θ. δ | ἀπριλλ. ιγ | ζ | 7215 |
| B 1708 | Α | κ | ιε | κθ. β | ἀπριλλ. δ | ιη | 7216 |
| 1709 | β | κα | ιϛ | ιζ. α | ἀπριλλ. κδ | κθ | 7217 |
| 1710 | γ | κβ | ιζ | ε. δ | ἀπριλλ. θ | ι | 7218 |
| 1711 | δ | κγ | ιη | βι. α | ἀπριλλ. α | κα | 7219 |
| B 1712 | ε | κδ | ιθ | ιγ. α | ἀπριλλ. κ | β | 7220 |
| 1713 | ϛ | κη | Α | β. ε | ἀπριλλ. ε | ιδ | 7221 |
| 1714 | ζ | κϛ | β | κβ. β | μαρτ. κη | κε | 7222 |
| 1715 | η | κζ | γ | ι. α | ἀπριλλ. ιζ | ϛ | 7223 |
| B 1716 | θ | κη | δ | λ. ϛ | ἀπριλλ. α | ιζ | 7224 |
| 1717 | ι | Α | ε | ιη. ε | ἀπριλλ. κα | κη | 7225 |
| 1718 | ια | β | ϛ | ζ. β | ἀπριλλ. ιγ | θ | 7226 |
| 1719 | ιβ | γ | ζ | βζ. ϛ | μαρτ. κθ | κ | 7227 |
| B 1720 | ιγ | δ | η | ιε ϛ | ἀπριλλ. ιζ | α | 7228 |
| 1721 | ιδ | ε | θ | δ. γ | ἀπριλλ. θ | ιβ | 7229 |
| 1722 | ιε | ϛ | ι | βδ. ξ | μαρτ. κε | κγ | 7230 |
| 1723 | Α | ζ | ια | ιβ. ϛ | ἀπριλλ ιδ | δ | 7231 |
| B 1724 | β | η | ιβ | α. δ | ἀπριλλ. ε | ιε | 7232 |
| 1925 | γ | θ | ιγ | κα. α | μαρτ. κη | κϛ | 7233 |
| 1726 | δ | ι | ιδ | θ. ζ | ἀπριλλ. ι | ζ | 7234 |
| 1727 | ε | ια | ιε | κθ. δ | ἀπριλλ. β | ιη | 7235 |
| B 1728 | ϛ | ιβ | ιϛ | ιζ. δ | ἀπριλλ. κα | κθ | 7236 |

# ΠΑΣΧΑΛΙΟΝ ΑἸΩΝΙΟΝ.

| Ἔτει ἀπὸ Χριστοῦ. | Ἰνδικτιῶν. | Κύκλοι ἡλίου | Κύκλοι Σελήνης | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης | Ἔτει ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1729 | ζ | ιγ | ιζ | ε. ζ | ἀπριλλ. ς | ι | 7237 |
| 1730 | η | ιδ | ιη | αε. δ | μαρτ. κθ | κα | 7238 |
| 1731 | θ | ιε | ιθ | ιγ. γ | ἀπριλλ. ιη | β | 7239 |
| B 1732 | ι | ις | α | β. α | ἀπριλλ. θ | ιδ | 7240 |
| 1733 | ια | ιζ | β | κβ. ε | μαρτ. κε | κε | 7341 |
| 1734 | ιβ | ιη | γ | ι. δ | ἀπριλλ. ιδ | ς | 7242 |
| 1735 | ιγ | ιθ | δ | λ. α | ἀπριλλ. ς | ιζ | 7243 |
| B 1736 | ιδ | κ | ε | ιη. α | ἀπριλλ. κε | κη | 7244 |
| 1737 | ιε | κα | ς | ζ. ε | ἀπριλλ. ι | θ | 7245 |
| 1738 | α | κβ | ζ | κζ. β | ἀπριλλ. β | κ | 7246 |
| 1739 | β | κγ | η | ιε. α | μαρτ. κβ | α | 7247 |
| B 1740 | γ | κδ | θ | δ. ς | ἀπριλλ. ς | ιβ | 7248 |
| 1741 | δ | κε | ι | κδ. γ | μαρτ. κθ | κγ | 7249 |
| 1742 | ε | κς | ια | ιβ. β | ἀπριλλ. ιη | δ | 7250 |
| 1743 | ς | κζ | ιβ | α. ς | ἀπριλλ. γ | ιε | 7251 |
| B 1744 | ζ | κη | ιγ | κα. δ | μαρτ. κε | κς | 7252 |
| 1745 | η | Α | ιδ | θ. γ | ἀπριλλ. ιδ | ζ | 7253 |
| 1746 | θ | β | ιε | κθ. ζ | μαρτ. λ | ιη | 7254 |
| 1747 | ι | γ | ις | ιζ. ς | ἀπριλλ. ιθ | κθ | 7255 |
| B 1748 | ια | δ | ιζ | ε. γ | ἀπριλλ. ι | ι | 7256 |
| 1749 | ιβ | ε | ιη | κε. ζ | μαρτ. κς | κα | 7257 |
| 1750 | ιγ | ς | ιθ | ϛγ. ς | ἀπριλλ. ιε | β | 7258 |
| 1751 | ιδ | ζ | Α | β. γ | ἀπριλλ. ζ | ιδ | 7259 |
| B 1752 | ιε | η | β | κθ. α | μαρτ. κϑ | κε | 7260 |
| 1753 | Α | θ | γ | ι. ζ | ἀπριλλ. ια | ς | 7261 |
| 1754 | β | ι | δ | λ. δ | ἀπριλλ. γ | ιζ | 7262 |
| 1755 | γ | ια | ε | ιη. γ | ἀπριλλ. κγ | κη | 7263 |
| B 1756 | δ | ιβ | ς | ζ. α | ἀπριλλ. ιδ. | ϑ | 7264 |
| 1757 | ε | ιγ | ζ | κζ. ε | μαρτ. λ | κ | 7265 |
| 1758 | ς | ιδ | η | ιε. δ | ἀπριλλ. ιϑ | α | 726 |
| 1759 | ζ | ιε | θ | δ. α | ἀπριλλ. ια | ιβ | 7267 |
| B 1760 | η | ις | ι | κδ. ς | μαρτ. κς | κγ | 7268 |
| 1761 | ϑ | ιζ | ια | ιβ. ε | ἀπριλλ. ιε | δ | 7269 |
| 1762 | ε | ιη | ιβ | α. β | ἀπριλλ. ζ | ιε | 7270 |

Ἔτει

# ΠΑΣΧΑΛΙΟΝ ΑἸΩΝΙΟΝ.

| Ἔτει ἀπὸ Χριστοῦ. | Ἰνδικτιών. | Κύκλοι ἡλίου. | Κύκλοι Σελήνης. | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης. | Ἔτει ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1763 | ια | ιθ | ιγ | κα. ϛ΄ | μαρτ. κγ | κϛ | 7271 |
| Β 1764 | ιβ | κ | ιδ | θ. ϛ΄ | ἀπριλ. ια | ζ | 7272 |
| 1765 | ιγ | κα | ιε | κθ. γ | ἀπριλλ. γ | ιη | 7273 |
| 1766 | ιδ | κβ | ιϛ | ιζ. β | ἀπριλ. βγ | κθ | 7274 |
| 1767 | ιε | κγ | ιζ | ε ε΄. | ἀπριλλ. η | ι | 7275 |
| Β 1768 | α | κδ | ιη | κε. γ΄ | μαρτ. λ | κα | 7276 |
| 1769 | β | κε | ιθ | ιγ. β΄ | ἀπριλ. ιθ | β | 7277 |
| 1770 | γ | κϛ | α | β. ϛ΄ | ἀπριλλ. δ | ιδ | 7278 |
| 1771 | δ | κζ | β | κ β. γ | μαρτ. κζ | κ[illegible] | 7279 |
| Β 1772 | ε | κη | γ | ι. γ΄ | ἀπριλλ. ιε | ϛ | 7280 |
| 1773 | ϛ | α | δ | λ. ζ΄ | μαρτ. λα | ιζ | 7281 |
| 1774 | ζ | β | ε | ιη. ϛ΄ | ἀπριλλ. κ | κη | 7282 |
| 1775 | η | γ | ϛ | ζ. γ΄ | ἀπριλλ. ιβ | θ | 7283 |
| Β 1776 | θ | δ | ζ | κζ. α΄ | ἀπριλ. γ | κ | 7284 |
| 1777 | ι | ε | η | ιε. ζ | ἀπριλ. ιϛ | α | 7285 |
| 1778 | ια | ϛ | θ | δ δ΄ | ἀπριλ. η | ιβ | 7286 |
| 1779 | ιβ | ζ | ι | κδ. α | μαρτ. λα. | κγ | 7287 |
| Β 1780 | ιγ | η | ια | ιβ. α | ἀπριλλ. ιθ | δ | 7288 |
| 1781 | ιδ | θ | ιβ | α. ε΄ | ἀπριλλ. δ | ιε | 7289 |
| 1782 | ιε | ι | ιγ | κα. β | μαρτ. κζ | κϛ | 7290 |
| 1783 | α | ια | ιδ | θ. α | ἀπριλλ. ιϛ | ζ | 7291 |
| Β 1784 | β | ιβ | ιε | κθ. ϛ΄ | μαρτ. λα | ιη | 7292 |
| 1785 | γ | ιγ | ιϛ | ιζ ε΄. | ἀπριλλ. η | κθ | 7293 |
| 1786 | δ | ιδ | ιζ | ε. α | ἀπριλλ. ιβ | ι | 7294 |
| 1787 | ε | ιε | ιη | κε. ε΄ | μαρτ. κη | κα | 7295 |
| Β 1788 | ϛ | ιϛ | ιθ | ιγ. ε΄ | ἀπριλλ. ιϛ | β | 7296 |
| 1789 | ζ | ιζ | α | β. β΄ | ἀπριλλ. | ιδ | 7297 |
| 1790 | η | ιη | β | κβ. ϛ΄ | μαρτ. κδ | κε | 7298 |
| 1791 | θ | ιθ | γ | ι. ε | ἀπριλλ. ιγ | ϛ | 7299 |
| Β 1792 | ι | κ | δ | λ. γ | ἀπριλλ. δ | ιζ | 7300 |
| 1793 | ια | κα | ε | ιη. β | ἀπριλλ. κδ | κη | 7301 |
| 1794 | ιβ | κβ | ϛ | ζ. ϛ΄ | ἀπριλλ. θ | θ | 7302 |
| 1795 | ιγ | κγ | ζ | κζ. γ΄ | ἀπριλλ. α | κ | 7303 |
| Β 1796 | ιδ | κδ | η | ιε γ | ἀπριλλ. κ | α | 7304 |

# ΠΑΣΧΑ'ΛΙΟΝ ΑΙ'Ω'ΝΙΟΝ.

| Ἔτη ἀπὸ Χριστοῦ. | Ἰνδικτιῶν. | Κύκλοι ἡλίου ☼ | Κύκλοι Σελήνης ☾ | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης. ☾ | Ἔτη ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1797 | ιε | κε | θ | δ. ζ' | ἀπριλ. ε | ιβ | 7305 |
| 1798 | Α | κϛ | ι | κδ. δ' | μαρτ. κη | κγ | 7306 |
| 1799 | β | κζ | ια | ιβ. γ' | ἀπριλ. ιζ | δ | 7307 |
| B 1800 | γ | κη | ιβ | α. α' | ἀπριλ. η | ιε | 7308 |
| 1801 | δ | Α | ιγ | κα. ε' | μαρτ. κδ | κϛ | 7309 |
| 1802 | ε | β | ιδ | θ. δ' | ἀπριλ. ιγ | ζ | 7310 |
| 1803 | ϛ | γ | ιε | κθ. α' | ἀπριλ. ε | ιη | 7311 |
| B 1804 | ζ | δ | ιϛ | ιζ. α' | ἀπριλ. κδ | κθ | 7312 |
| 1805 | η | ε | ιζ | ε. δ' | ἀπριλ. θ | κ | 7313 |
| 1806 | θ | ϛ | ιη | κε. α' | ἀπριλ. α | κα | 7314 |
| 1807 | ι | ζ | ιθ | ιγ. ζ' | ἀπριλ. ιδ | ιβ | 7315 |
| B 1808 | ια | η | α | β. ε' | ἀπριλ. ε | ιδ | 7316 |
| 1809 | ιβ | θ | β | κβ'. β | μαρτ. κη | κε | 7317 |
| 1810 | ιγ | ι | γ | ι. α' | ἀπριλ. ιζ | ϛ | 7318 |
| 1811 | ιδ | ια | δ | λ. ε' | ἀπριλ. β | ιζ | 7319 |
| B 1812 | ιε | ιβ | ε | ιη. ε' | ἀπριλ. κα | κη | 7320 |
| 1813 | α | ιγ | ϛ | ζ. β' | ἀπριλ. ιγ | θ | 7321 |
| 1814 | β | ιδ | ζ | κζ. ϛ' | μαρτ. κθ | κ | 7322 |
| 1815 | γ | ιε | η | ιε. ε' | ἀπριλ. ιη | α | 7323 |
| B 1816 | δ | ιϛ | θ | δ. γ' | ἀπριλ. θ. | ιβ | 7324 |
| 1817 | ε | ιζ | ι | κδ. ζ' | μαρτ. κε | κγ | 7325 |
| 1818 | ϛ | ιη | ια | ιβ. ϛ' | ἀπριλ. ιδ | δ | 7326 |
| 1819 | ζ | ιθ | ιβ | α. γ' | ἀπριλ.κ ϛ | ιε | 7327 |
| B 1820 | η | κ | ιγ | κα. α' | μαρτ. κη | κϛ | 7328 |
| 1821 | θ | κα | ιδ | θ. ζ | ἀπριλ. ι | ζ | 7329 |
| 1822 | ι | κβ | ιε | κθ. δ' | ἀπριλ. β | ιη | 7330 |
| 1823 | ια | κγ | ιϛ | ιζ. γ' | ἀπριλ. κβ | κθ | 7331 |
| B 1824 | ιβ | κδ | ιζ | ε. ζ' | ἀπριλ. ϛ | ι | 7332 |
| 1825 | ιγ | κε | ιη | κε. δ' | μαρτ. κθ | κα | 7333 |
| 1826 | ιδ | κϛ | ιθ | ιγ. θ' | ἀπριλ. ιη | β | 7334 |
| 1827 | ιε | κζ | α | β. ζ' | ἀπριλ. γ | ιδ | 7335 |
| B 1828 | α | κη | β | κβ. ε' | μαρτ. κε | κε | 7336 |
| 1829 | β | α | γ | ι. δ' | ἀπριλ. ιδ | ϛ | 7337 |
| 1830 | γ | β | δ | λ. α' | ἀπριλλ. ϛ' | ιζ | 7338 |

Ἔτη

# ΠΑΣΧΑΛΙΟΝ ΑΙΩΝΙΟΝ.

| Ἔτη ἀπὸ Χριστοῦ. | Ἰνδικτιών. | Κύκλοι ἡλίου. | Κύκλοι Σελήνης. | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης. | Ἔτη ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1831 | δ | γ | ε | ιη. ζ' | ἀπριλλ. ιθ | κη | 7339 |
| Β 1832 | ε | δ | ς | ζ. ε' | ἀπριλλ. ι | θ | 7340 |
| 1833 | ς | ε | ζ | κζ. β' | ἀπριλλ. β | κ | 7341 |
| 1834 | ζ | ς | η | ιε α | ἀπριλκ. κβ | α | 7342 |
| 1835 | η | ζ | θ | δ. ε | ὀπριλλ. ζ | ιβ | 7343 |
| Β 1836 | θ | η | ι | κδ. γ' | μαρτ. κθ | κγ | 7344 |
| 1837 | ι | θ | ια | ιβ. β | ἀπριλλ. ιη | δ | 7345 |
| 1838 | ια | ι | ιβ | α. ς' | ἀπριλλ. γ | ιε | 7346 |
| 1839 | ιβ | ια | ιγ | κα. γ' | μαρτ. κς | κς | 7347 |
| Β 1840 | ιγ | ιβ | ιδ | θ. γ' | ἀπριλλ. ιδ | ζ | 7348 |
| 1341 | ιδ | ιγ | ιε | κθ. ζ | μαρπ. λ | ιη | 7349 |
| 1342 | ιε | ιδ | ις | ιζ. ς | ἀπριλ. ιθ | κθ | 7350 |
| 1843 | α | ιε | ιζ | ε β'. | ἀπριλλ. ια | ι | 7351 |
| Β 1844 | β | ις | ιη | κε. ζ | μαρτ. κς | κα | 7352 |
| 1845 | γ | ιζ | ιθ | ιγ. ς' | ἀπριλλ. ιε | β | 7353 |
| 1846 | δ | ιη | α | β. γ' | ἀπριλλ. ζ | ιδ | 7354 |
| 1747 | ε | ιθ | β | κβ. ζ | μαρτ. κγ | κε | 7355 |
| Β 1848 | ς | κ | γ | ι. ζ | ἀπριλ. ια | ς | 7356 |
| 1849 | ζ | κα | δ | λ. δ' | ἀπριλλ. γ | ιζ | 7357 |
| 1850 | η | κβ | ε | ιη. γ' | ἀπριλ. κγ | κη | 7358 |
| 1851 | θ | κγ | ς | ζ. ζ' | ἀπριλλ. η | θ | 7359 |
| Β 1852 | ι | κδ | ζ | κζ. ε' | μαρτ. λ | κ | 7360 |
| 1853 | ια | κε | η | ιε. δ' | ἀπριλλ. ιθ | α | 7361 |
| 1854 | ιβ | κς | θ | δ α' | ἀπριλ. ια | ιβ | 7362 |
| 1855 | ιγ | κζ | ι | κδ. ε' | μαρτ. κζ | κγ | 7363 |
| Β 1856 | ιδ | κη | ια | ιβ ε | ἀπριλλ. ιε | δ | 7364 |
| 1857 | ιε | α | ιβ | α. β' | ἀπριλ. ζ | ιε | 7365 |
| 1858 | α | β | ιγ | κα. ς | μαρτ. κγ. | κς | 7366 |
| 1859 | β | γ | ιδ | θ. ε' | ἀπριλλ. ιβ | ζ | 7367 |
| Β 1860 | γ | δ | ιε | κθ. γ' | ἀπριλ. γ | ιη | 7368 |
| 1861 | δ | ε | ις | ιζ β'. | ἀπριλλ. κγ | κθ | 7369 |
| 1862 | ε | ς | ιζ | ε. ε | ἀπριλλ. η | ι | 7370 |
| 1863 | ς | ζ | ιη | κε. β' | μαρτ. λα | κα | 7371 |
| Β 1864 | ζ | η | ιθ | ιγ. β' | ἀπριλλ. ιθ | β | 7372 |

Ἔτη

# ΠΑΣΧΑ΄ΛΙΟΝ ΑΙ΄Ω΄ΝΙΟΝ.

| Ἔτη ἀπὸ Χριστοῦ. | Ἰνδικτιῶν. | Κύκλοι ἡλίου ☼ | Κύκλοι Σελήνης ☾ | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης. ☾ | Ἔτη ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1665 | η | θ | α | β. ϛ' | ἀπριλ. δ | ιδ | 7373 |
| 1866 | θ | ι | β | κβ. γ | μαρτ. κζ | κε | 7374 |
| 1867 | ι | ια | γ | ι. β | ἀπριλ. ιϛ | ϛ | 7375 |
| Β 1868 | ια | ιβ | δ | λ. ζ | μαρτ. λα | ιζ | 7376 |
| 1869 | ιβ | ιγ | ε | ιη. ϛ | ἀπριλ. κ | κη | 7377 |
| 1870 | ιγ | ιδ | ϛ | ζ. γ' | ἀπριλ. ιβ | θ | 7378 |
| 1871 | ιδ | ιε | ζ | κζ. ζ' | μαρτ. κη | κ | 7379 |
| Β 1872 | ιε | ιϛ | η | ιε. ζ | ἀπριλ. ιϛ | α | 7380 |
| 1873 | α | ιζ | θ | δ. δ' | ἀπριλ. η | ιβ | 7381 |
| 1874 | β | ιη | ι | κδ. α' | μαρτ. λα | κγ | 7382 |
| 1875 | γ | ιθ | ια | ιβ. ζ | ἀπριλ. ιγ | δ | 7383 |
| Β 1876 | δ | κ | ιβ | α. ε' | ἀπριλλ. δ' | ιε | 7384 |
| 1877 | ε | κα | ιγ | κα. β' | μαρτ. κζ | κϛ | 7385 |
| 1878 | ϛ | κβ | ιδ | θ. α | ἀπριλ. ιϛ | ζ | 7386 |
| 1879 | ζ | κγ | ιε | κθ. ε' | ἀπριλ. α | ιη | 7387 |
| Β 1880 | η | κδ | ιϛ | ιζ. η' | ἀπριλ. κ. | κθ | 7388 |
| 1881 | θ | κε | ιζ | ε. α' | ἀπριλ. ιβ | ι | 7389 |
| 1882 | ι | κϛ | ιη | κε. ε' | μαρτ. κη | κα | 7390 |
| 1883 | ια | κζ | ιθ | ιγ. δ' | ἀπριλ. ιζ | β | 7391 |
| Β 1884 | ιβ | κη | α | β. β' | ἀπριλ. η | ιδ | 7392 |
| 1885 | ιγ | α | β | κβ'. ϛ | μαρτ. κδ | κε | 7393 |
| 1886 | ιδ | β | γ | ε. ε' | ἀπριλ. ιγ | ϛ | 7394 |
| 1887 | ιε | γ | δ | λ. β | ἀπριλ. ε | ιζ | 7395 |
| Β 1888 | α | δ | ε | ιη. β' | ἀπριλ. κδ | κη | 7396 |
| 1889 | β | ε | ϛ | ζ. ϛ | ἀπριλ. θ | θ | 7397 |
| 1890 | γ | ϛ | ζ | κζ. γ' | ἀπριλ. α | η | 7398 |
| 1891 | δ | ζ | η | ιε. β' | ἀπριλ. κα | α | 7399 |
| Β 1892 | ε | η | θ | δ. ζ | ἀπριλ. ε | ιβ | 7400 |
| 1893 | ϛ | θ | ι | κδ. δ' | μαρτ. κη | κγ | 7401 |
| 1894 | ζ | ι | ια | ιβ. γ' | ἀπριλ. ιζ | δ | 7402 |
| 1895 | η | ια | ιβ | α. ζ | ἀπριλ. β | ιε | 7403 |
| Β 1896 | θ | ιβ | ιγ | κα. β' | μαρτ. κζ | κϛ | 7404 |
| 1897 | ι | ιγ | ιδ | θ. δ' | ἀπριλ. ιγ | ζ | 7405 |
| 1898 | ια | ιε | ιε | κθ. α' | ἀπριλ. ε | ιη | 7406 |

# ΠΑΣΧΑΛΙΟΝ ΑἸΩΝΙΟΝ.

| Ἔτει ἀπὸ Χριστοῦ. | Ἰνδικτιῶν. | Κύκλοι ἡλίου ☉ | Κύκλοι Σελήνης ☽ | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης ☽ | Ἔτει ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1899 | ιβ | ιε | ιϛ | ιζ ζ′. | ἀπριλλ. ιη | κθ | 7407 |
| B 1900 | ιγ | ιϛ | ιζ | ε. δ′ | ἀπριλλ. θ | ι | 7408 |
| 1901 | ιδ | ιζ | ιη | κε α | ἀπριλλ. α | κα | 7409 |
| 1902 | ιε | ιη | ιθ | ιγ. ζ′ | ἀπριλλ. ιδ | β | 7410 |
| 1903 | α | ιθ | α | β. δ′ | ἀπριλλ. ϛ | ιδ | 7411 |
| B 1904 | β | κ | β | κβ. β′ | μαρτ. κη | κε | 7412 |
| 1905 | γ | κα | γ | ι α. | ἀπριλλ. ιζ | ϛ | 7413 |
| 1906 | δ | κβ | δ | λ. ε′ | ἀπριλλ. β | ιζ | 7414 |
| 1907 | ε | κγ | ε | ιη. δ′ | ἀπριλλ. κβ | κη | 7415 |
| B 1908 | ϛ | κδ | ϛ | ζ. β′ | ἀπριλλ. ιγ | θ | 7416 |
| 1909 | ζ | κε | ζ | κζ. ϛ′ | μαρτ. κθ | κ | 7417 |
| 1910 | η | κϛ | η | ιε ε′ | ἀπριλλ. ιη | α | 7418 |
| 1911 | θ | κζ | θ | δ. β | ἀπριλλ. ι | ιβ | 7419 |
| B 1912 | ι | κη | ι | κδ. ζ′ | μαρτ. κε | κγ | 7420 |
| 1913 | ια | α | ια | ιβ. ϛ′ | ἀπριλ. ιδ | δ | 7421 |
| 1914 | ιβ | β | ιβ | α. γ′ | ἀπριλλ. ϛ | ιε | 7422 |
| 1915 | ιγ | γ | ιγ | κα. ζ | μαρτ. κβ | κϛ | 7423 |
| B 1916 | ιδ | δ | ιδ | θ. ζ′ | ἀπριλλ. ι | ζ | 7424 |
| 1917 | ιε | ε | ιε | κθ. δ | ἀπριλλ. β | ιη | 7425 |
| 1918 | α | ϛ | ιϛ | ιζ. γ | ἀπριλλ. κβ | κθ | 7426 |
| 1919 | β | ζ | ιζ | ε ϛ′. | ἀπριλ. ζ | ι | 7427 |
| B 1920 | γ | η | ιη | κε. δ′ | μαρτ. κθ | κα | 7428 |
| 1921 | δ | θ | ιθ | ιγ. γ | ἀπριλλ. ιη | β | 7429 |
| 1922 | ε | ι | α | β. ζ′ | ἀπριλ. γ | ιδ | 7430 |
| 1923 | ϛ | ια | β | κβ. δ | μαρτ. κϛ | κε | 7431 |
| B 1924 | ζ | ιβ | γ | ι. δ′ | ἀπριλλ. ιδ | ϛ | 7432 |
| 1925 | η | ιγ | δ | λ. α′ | ἀπριλλ. ϛ | ιζ | 7433 |
| 1926 | θ | ιδ | ε | ιη. ζ′ | ἀπριλλ. ιθ | κη | 7434 |
| 1927 | ι | ιε | ϛ | ζ. δ′ | ἀπριλλ. ια | θ | 7435 |
| B 1928 | ια | ιϛ | ζ | κζ. β′ | ἀπριλ. β | κ | 7436 |
| 1929 | ιβ | ιζ | η | ιε. α′ | ἀπριλλ. κβ | α | 7437 |
| 1930 | ιγ | ιη | θ | δ. ε′ | ἀπριλ. ζ | ιβ | 7438 |
| 1931 | ιδ | ιθ | ι | κδ. β′ | μαρτ. λ | κγ | 7439 |
| B 1932 | ιε | κ | ια | ιβ. β | ἀπριλ. ιη | δ | 7440 |

Ἔτει

# ΠΑΣΧΑ'ΛΙΟΝ ΑΙ'Ω'ΝΙΟΝ.

| Ἔτη ἀπὸ Χριστοῦ. | Ἰνδικτιῶν. | Κύκλοι ἡλίου ☼ | Κύκλοι Σελήνης ☽ | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης. | Ἔτη ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1933 | α | κα | ιβ | α. ϛ' | ἀπριλ. γ | ιε | 7441 |
| 1934 | β | κβ | ιγ | κα. γ' | μαρτ. κϛ | κϛ | 7442 |
| 1935 | γ | κγ | ιδ | θ. β' | ἀπριλ. ι | ζ | 7443 |
| B 1936 | δ | κδ | ιε | κθ. ζ' | μαρτ. λ | ιη | 7444 |
| 1937 | ε | κε | ιϛ | ιζ. ϛ' | ἀπριλ. ιθ | κθ | 7445 |
| 1938 | ϛ | δϛ | ιζ | ε. β' | ἀπριλ. ια | ι | 7446 |
| 1939 | ζ | κζ | ιη | κε. ϛ' | μαρτ. κζ | κα | 7447 |
| B 1940 | η | κη | ιθ | ιγ. ϛ' | ἀπριλ. ιε | β | 7448 |
| 1941 | θ | Α | Α | β. γ' | ἀπριλ. ζ | ιδ | 7449 |
| 1942 | ι | β | β | κβ. ζ' | μαρτ. κγ | κε | 7450 |
| 1943 | ια | γ | γ | ι. ϛ' | ἀπριλ. ιβ | ϛ | 7451 |
| B 1944 | ιβ | δ | δ | λ. δ' | ἀπριλ. γ | ιζ | 7452 |
| 1945 | ιγ | ε | ε | ιη. γ' | μαρτ. κγ | κη | 7453 |
| 1946 | ιδ | ϛ | ϛ | ζ. ζ' | ἀπριλ. η | θ | 7454 |
| 1947 | ιε | ζ | ζ | κζ. δ' | μαρτ. λα | κ | 7455 |
| B 1948 | Α | η | η | ιε. δ' | ἀπριλ. ιθ | α | 7456 |
| 1949 | β | θ | θ | δ. α' | ἀπριλ. ια | ιβ | 7457 |
| 1950 | γ | ι | ι | κδ. ε' | μαρτ. κζ | κγ | 7458 |
| 1951 | δ | ια | ια | ιβ. δ' | ἀπριλ. ιϛ | δ | 7459 |
| B 1952 | ε | ιβ | ιβ | α. β' | ἀπριλ. ζ | ιε | 7460 |
| 1953 | ϛ | ιγ | ιγ | κα. ϛ' | μαρτ. κγ | κϛ | 7461 |
| 1954 | ζ | ιδ | ιδ | θ. ε' | ἀπριλ. ιβ | ζ | 7462 |
| 1955 | η | ιε | ιε | κθ. β' | ἀπριλ. δ | ιη | 7463 |
| B 1956 | θ | ιϛ | ιϛ | ιζ. β' | ἀπριλ. κγ | κθ | 7464 |
| 1957 | ι | ιζ | ιζ | ε. ε' | ἀπριλ. η | κ | 7465 |
| 1958 | ια | ιη | ιη | κε. β' | μαρτ. λα' | κα | 7466 |
| 1959 | ιβ | ιθ | ιθ | ιγ. α' | ἀπριλ. κ. | ιβ | 7467 |
| B 1960 | ιγ | κ | α | β. ϛ' | ἀπριλ. δ | ιδ | 7468 |
| 1961 | ιδ | κα | β | κβ. γ' | μαρτ. κζ | κε | 7469 |
| 1962 | ιε | κβ | γ | ι. β' | ἀπριλ. ιϛ | ϛ | 7470 |
| 1963 | α | κγ | δ | λ. ϛ' | ἀπριλ. α | ιζ | 7471 |
| B 1964 | β | κδ | ε | ια. ϛ' | ἀπριλ. κ | κη | 7472 |
| 1965 | γ | κε | ϛ | ζ. γ | ἀπριλ. ιβ | θ | 7473 |
| 1966 | δ | κϛ | ζ | λζ.ζ' | μαρτ. κη | κ | 7474 |

Ἐν τῃ

# ΠΑΣΧΑ'ΛΙΟΝ ΑΙ'Ω'ΝΙΟΝ.

| Ἔτει ἀπὸ Χριςοῦ. | Ἰνδικτιών. | Κύκλοι ἡλίου ☉ | Κύκλοι Σελήνης ☽ | Νομικὸν Φάσκα. | Χριςιανῶν Πάσχα. | Θεμέλιον Σελήνης ☽ | Ἔτει ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 1967 | ε | κζ | η | ιε. ς' | ἀπριλλ. ιζ | α | 7475 |
| B 1968 | ς | κη | θ | δ. δ' | ἀπριλλ. η | ιβ | 7476 |
| 1969 | ζ | α | ι | κδ. α' | μαρτ. λα | κγ | 7477 |
| 1970 | η | β | ια | ιβ. ζ' | ἀπριλλ. ιγ | δ | 7478 |
| 1971 | θ | γ | ιβ | α δ' | ἀπριλλ. ε | ιε | 7479 |
| B 1972 | ι | δ | ιγ | κα. β' | μαρτ. κζ | κς | 7480 |
| 1973 | ια | ε | ιδ | ζ. α' | ἀπριλ. ις | ζ | 7481 |
| 1974 | ιβ | ς | ιε | κθ ε' | ἀπριλλ. α | ιη | 7482 |
| 1975 | ιγ | ζ | ις | ιζ δ'. | ἀπριλ. λα | κθ | 7483 |
| B 1976 | ιδ | η | ιζ | ε. α' | ἀπριλλ. ιβ | ι | 7484 |
| 1977 | ιε | θ | ιη | κε ε' | μαρτ. κη | κα | 7485 |
| 1978 | α | ι | ιθ | ιγ. δ' | ἀπριλλ. ιζ | β | 7486 |
| 1979 | β | ια | α | β. α' | ἀπριλλ. θ | ιδ | 7487 |
| B 1980 | γ | ιβ | β | κβ. ς' | μαρτ. κδ | κε | 7488 |
| 1981 | δ | ιγ | γ | ι ε. | ἀπριλ. ιγ | ς | 7489 |
| 1982 | ε | ιδ | δ | λ. β' | μαρπ. ε | ιζ | 7490 |
| 1983 | ς | ιε | ε | ιη. α' | ἀπριλ. κε | κη | 7491 |
| B 1984 | ζ | ις | ς | ζ. ς' | ἀπριλ. θ | θ | 7492 |
| 1985 | η | ιζ | ζ | κζ. γ' | ἀπριλλ. α | κ | 7493 |
| 1986 | θ | ιη | η | ιε β' | ἀπριλλ. κα | α | 7494 |
| 1987 | ι | ιθ | θ | δ. ς | ἀπριλλ. ς | ιβ | 7495 |
| B 1988 | ια | κ | ι | κδ. δ' | μαρτ. κη | κγ | 7496 |
| 1989 | ιβ | κα | ια | ιβ. γ' | ἀπριλλ. ιζ | δ | 7497 |
| 1990 | ιγ | κβ | ιβ | α. ζ' | ἀπριλλ. β | ιε | 7498 |
| 1991 | ιδ | κγ | ιγ | κα. δ' | μαρτ. κε | κς | 7499 |
| B 1992 | ιε | κδ | ιδ | θ. δ' | ἀπριλλ. ιγ | ζ | 7500 |
| 1993 | α | κε | ιε | κθ. α' | ἀπριλλ. ε | ιη | 7501 |
| 1994 | β | κς | ις | ιζ. ζ' | ἀπριλλ. ιη | κθ | 7502 |
| 1995 | γ | κζ | ιζ | ε γ'. | ἀπριλλ. ι | ι | 7503 |
| B 1996 | δ | κη | ιη | κε. α' | ἀπριλλ. α | κα | 7504 |
| 1999 | ε | α | ιθ | ιγ. ζ' | ἀπριλλκ. ιδ | β | 7505 |
| 1998 | ς | β | α | β. δ' | ἐπριλλ. ς | ιδ | 7506 |
| 1999 | ζ | γ | β | κβ. α' | μαρτ. κθ | κε | 7507 |
| B 2000 | η | δ | γ | ι. α' | ἀπριλλ. ιζ | ς | 7508 |

Ἔτει

# ΠΑΣΧΑ'ΛΙΟΝ ΑἸΩ'ΝΙΟΝ.

| Ἔτει ἀπὸ Χριστοῦ. | Ἰνδικτιῶν. | Κύκλοι ἡλίου | Κύκλοι Σελήνης | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης. | Ἔτει ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 2001 | θ | ε | δ | λ. ε' | ἀπριλ. β | ιζ | 7509 |
| 2002 | ι | ϛ | ε | ιη. δ' | ἀπριλ. κβ | κη | 7510 |
| 2003 | ια | ζ | ϛ | ζ. α' | ἀπριλ. ιδ | θ | 7511 |
| B 2004 | ιβ | η | ζ | κζ. ϛ' | μαρτ. κθ | κ | 7512 |
| 2005 | ιγ | θ | η | ιε. ε' | ἀπριλ. ιη | α | 7514 |
| 2006 | ιδ | ι | θ | δ. β' | ἀπριλ. ι | ιβ | 7514 |
| 2007 | ιε | ια | ι | κδ. ϛ' | μαρτ. κϛ | κγ | 7515 |
| B 2008 | Α | ιβ | ια | ιβ. ϛ' | ἀπριλ. ιδ | δ | 7516 |
| 2009 | β | ιγ | ιβ | α. γ' | ἀπριλ. ϛ | ιε | 7517 |
| 2010 | γ | ιδ | ιγ | κα. ζ' | μαρτ. κβ | κϛ | 7518 |
| 2011 | δ | ιε | ιδ | θ. ϛ' | ἀπριλ. ια | ζ | 7519 |
| B 2012 | ε | ιϛ | ιε | κθ. δ' | ἀπριλ. β | ιη | 7520 |
| 2013 | ϛ | ιζ | ιϛ | ιζ. γ' | ἀπριλ. κβ | κθ | 7521 |
| 2014 | ζ | ιη | ιζ | ε. ϛ' | ἀπριλ. ζ. | κ | 7522 |
| 2015 | η | ιθ | ιη | κε. γ' | μαρτ. λ | κα | 7523 |
| B 2016 | θ | κ | ιθ | ιγ. γ' | ἀπριλ. ικ | ιβ | 7524 |
| 2017 | ι | κα | α | β. ζ' | ἀπριλ. γ | ιδ | 7525 |
| 2018 | ια | κβ | β | κβ'. δ' | μαρτ. κϛ | κε | 7526 |
| 2019 | ιβ | κγ | γ | ι. γ' | ἀπριλ. ιε | ϛ | 7527 |
| B 2020 | ιγ | κδ | δ | λ. α' | ἀπριλ. ϛ | ιζ | 7528 |
| 2021 | ιδ | κε | ε | ιη. ζ' | ἀπριλ. ιθ | κη | 7529 |
| 2022 | ιε | κϛ | ϛ | ζ. δ' | ἀπριλ. ια | θ | 7530 |
| 2023 | α | κζ | ζ | κζ. α' | ἀπριλ. γ | κ | 7531 |
| B 2024 | β | κη | η | ιε. α' | ἀπριλ. κ β | α | 7532 |
| 2025 | γ | Α | θ | δ. ε' | ἀπριλ. ζ | ιβ | 7533 |
| 2026 | δ | β | ι | κδ. β' | μαρτ. λ' | κγ | 7534 |
| 2027 | ε | γ | ια | ιβ. α' | ἀπριλ. ιθ | δ | 7535 |
| B 2028 | ϛ | δ | ιβ | α. ϛ' | ἀπριλ. γ | ιε | 7536 |
| 2029 | ζ | ε | ιγ | κα. γ' | μαρτ. κϛ | κϛ | 7537 |
| 2030 | η | ϛ | ιδ | θ. β' | ἀπριλ. ιε | ζ | 7538 |
| 2031 | θ | ζ | ιε | κθ. ϛ' | μαρτ. λα | ιη | 7539 |
| B 2032 | ι | η | ιϛ | ιζ. ϛ' | ἀπριλ. ιθ | κθ | 7540 |
| 2033 | ια | θ | ιζ | ε. β' | ἀπριλ. ια | ι | 7541 |
| 2034 | ιβ | ι | ιη | κε. ϛ' | μαρτ. κγ | κα | 7542 |

Ἔτει

# ΠΑΣΧΑ΄ΛΙΟΝ ΑΙ΄Ω΄ΝΙΟΝ.

| Ἔτη ἀπὸ Χριστοῦ. | Ἰνδικτιών. | Κύκλοι ἡλίου ☉ | Κύκλοι Σελήνης ☽ | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμέλιον Σελήνης | Ἔτη ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 2035 | ιγ | ια | ιθ | ιγ. έ | ἀπριλλ. ιϛ | β | 7543 |
| B 2036 | ιδ | ιβ | α | β. γ́ | ἀπριλλ. ζ | ιδ | 7544 |
| 2037 | ιε | ιγ | β | κβ. ζ́ | μαρτ. κγ | κε | 7545 |
| 2038 | α | ιδ | γ | ιϛ́ | ἀπριλλ. ιβ | ϛ | 7546 |
| 2039 | β | ιε | δ | λ. γ́ | ἀπριλλ. δ | ιθ | 7547 |
| B 2040 | γ | ιϛ | ε | ιη. γ́ | ἀπριλλ. κγ | κη | 7548 |
| 2041 | δ | ιζ | ϛ | ζ. ζ́ | ἀπριλλ. η | θ | 7549 |
| 2042 | ε | ιη | ζ | κζ. δ́ | μαρπ. λα | κ | 7550 |
| 2043 | ϛ | ιθ | η | ιε. γ́ | ἀπριλλ. κ | α | 7551 |
| B 2044 | ζ | κ | θ | δ. ά | ἀπριλλ. ια | ιβ | 7552 |
| 2045 | η | κα | ι | κδ. έ | μαρτ. κζ | κγ | 7553 |
| 2046 | θ | κβ | ια | ιβ. δ́ | ἀπριλλ. ιϛ | δ | 7554 |
| 2047 | ι | κγ | ιβ | α. ά | ἀπριλλ. η | ιε | 7555 |
| B 2048 | ια | κδ | ιγ | κα. ϛ́ | μαρτ. κγ | κϛ | 7556 |
| 2049 | ιβ | κε | ιδ | θ. έ | ἀπριλλ. ιβ | ζ | 7557 |
| 2050 | ιγ | κϛ | ιε | κθ. β́ | ἀπριλλ. δ | ιη | 7558 |
| 2051 | ιδ | κζ | ιϛ | ιζ. ά | ἀπριλλ. κδ | κθ | 7559 |
| B 2052 | ιε | κη | ιζ | ε. έ | ἀπριλλ. η | κ | 7560 |
| 2053 | α | α | ιη | κε. β́ | μαρτ. λα | κα | 7561 |
| 2054 | β | β | ιθ | ιγ. ά | ἀπριλλ. κ | β | 7562 |
| 2055 | γ | γ | α | β. έ | ἀπριλλ. ε | ιδ | 7563 |
| B 2056 | δ | δ | β | κβ. γ́ | μαρτ. κζ | κε | 7564 |
| 2057 | ε | ε | γ | ι. β́ | ἀπριλλ. ιϛ | ϛ | 7565 |
| 2058 | ϛ | ϛ | δ | λ. ϛ́ | ἀπριλ. α | ιζ | 7566 |
| 2059 | ζ | ζ | ε | ιη. έ | ἀπριλ. κα | κη | 7567 |
| B 2060 | η | η | ϛ | ξ. γ́ | ἀπριλ. ιβ | θ | 7568 |
| 2061 | θ | θ | ζ | κζ. ζ́ | μαρτ. κη | κ | 7569 |
| 2062 | ι | ι | η | ιε. ϛ́ | ἀπριλ. ιζ | α | 7570 |
| 2063 | ια | ια | θ | δ. γ́ | ἀπριλλ. θ | ιβ | 7571 |
| B 2064 | ια | ιβ | ι | κδ. ά | μαρτ. λα | κγ | 7572 |
| 2065 | ιγ | ιγ | ια | ιβ. ζ́ | ἀπριλλ. ιγ | δ | 7573 |
| 2066 | ιδ | ιδ | ιβ | α. δ́ | ἀπριλλ. ε | ιε | 7574 |
| 2067 | ιε | ιε | ιγ | κα. ά | μαρτ. κη | κϛ | 7575 |
| B 2068 | α | ιϛ | ιδ | θ. ά | ἀπριλλ. ιϛ | ζ | 7576 |

# ΠΑΣΧΑ΄ΛΙΟΝ ΑΙ'Ω΄ΝΙΟΝ.

| Ἔτει ἀπὸ Χριστοῦ. | Ἰνδικτιῶν. | Κύκλοι ἡλίου ☼ | Κύκλοι Σελήν. ☽ | Νομικὸν Φάσκα. | Χριστιανῶν Πάσχα. | Θεμίλιον Σελήνης. | Ἔτει ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 2069 | β | ιζ | ιε | κθ. ε΄ | ἀπριλ. α | ιη | 7577 |
| 2070 | γ | ιη | ιϛ | ιζ. δ΄ | ἀπριλ. κα | κθ | 7578 |
| 2071 | δ | ιθ | ιζ | ε. ζ΄ | ἀπριλ. ϛ | ι | 7579 |
| B 2072 | ε | κ | ιη | κε. ε΄ | μαρτ. κη | κα | 7580 |
| 2073 | ϛ | κα | ιθ | ιγ. δ΄ | ἀπριλ. ιζ | β | 7581 |
| 2074 | ζ | κβ | Α | β. α΄ | ἀπριλ. θ | ιδ | 7582 |
| 2075 | η | κγ | β | κβ. ε΄ | μαρτ. κε | κε | 7583 |
| B 2076 | θ | κδ | γ | ι. ε΄ | ἀπριλ. ιγ | ϛ | 7584 |
| 2077 | ι | κε | δ | λ. β΄ | ἀπριλ. ε | ιζ | 7585 |
| 2078 | ια | δϛ | ε | ιη. α΄ | ἀπριλ. κε | κη | 7586 |
| 2079 | ιβ | κζ | ϛ | ζ. ε΄ | ἀπριλ. ι | θ | 7587 |
| B 2080 | ιγ | κη | ζ | κζ. γ΄ | ἀπριλ. α | κ | 7588 |
| 2081 | ιδ | Α | η | ιε. β΄ | ἀπριλ. κα | α | 7589 |
| 2082 | ιε | β | θ | δ. ϛ΄ | ἀπριλ. ϛ | ιβ | 7590 |
| 2083 | Α | γ | ι | κδ. γ΄ | μαρτ. κθ | κγ | 7591 |
| B 2084 | β | δ | ια | ιβ. γ΄ | ἀπριλ. ιζ | δ | 7592 |
| 2085 | γ | ε | ιβ | α. ζ΄ | ἀπριλ. β | ιε | 7593 |
| 2086 | δ | ϛ | ιγ | κα. δ΄ | μαρτ. κε | κϛ | 7594 |
| 2087 | ε | ζ | ιδ | θ. γ΄ | ἀπριλ. ιδ | ζ | 7595 |
| B 2088 | ϛ | η | ιθ | κθ. α΄ | ἀπριλ. ε | ιη | 7596 |
| 2089 | ζ | θ | ιϛ | ιζ. ζ΄ | ἀπριλ. ιη | κθ | 7597 |
| 2090 | η | ι | ιζ | ε. γ΄ | ἀπριλ. ι. | ι | 7598 |
| 2091 | θ | ια | ιη | κε. ζ΄ | μαρτ. κϛ | κα | 7599 |
| B 2092 | ι | ιβ | ιθ | ιγ. ζ΄ | ἀπριλ. ιδ | β | 7600 |
| 2093 | ια | ιγ | α | β. δ΄ | ἀπριλ. ϛ | ιδ | 7601 |
| 2094 | ιβ | ιδ | β | κβ. α΄ | μαρτ. κθ | κε | 7602 |
| 2095 | ιγ | ιε | γ | ι. ζ΄ | ἀπριλ. ια | ϛ | 7603 |
| B 2096 | ιδ | ιϛ | δ | λ. ε΄ | ἀπριλ. β | ιζ | 7604 |
| 2097 | ιε | ιζ | ε | ιη. δ΄ | ἀπριλ. κβ | κη | 7605 |
| 2098 | α | ιη | ϛ | ζ. α΄ | ἀπριλ. ιδ | θ | 7606 |
| 2099 | β | ιθ | ζ | ιζ. ε΄ | μαρτ. λ | κ | 7607 |
| B 2100 | γ | κ | η | ιε. ε΄ | ἀπριλ. ιη | α | 7608 |
| 2101 | δ | κα | θ | δ. β΄ | ἀπριλ. ι | ιβ | 7609 |
| 2102 | ε | κβ | ι | κδ. ϛ΄ | μαρτ. κϛ | κγ | 7610 |

Ἔτει

| Ἔτη ἀπὸ Χριστοῦ. | Ἰνδικτιών. | Κύκλοι ἡλίου ☉ | Κύκλοι Σελήνης ☽ | Νομικὸν Φάσκα. | Χριστιανῶν. Πάσχα. | Θεμίλιον Σελήνης ☽ | Ἔτη ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 2103 | ς | κγ | ια | ιβ. έ | ἀπριλλ. ιε | δ | 7011 |
| B 2104 | ζ | κδ | ιβ | α. γ' | ἀπριλλ. ς | ιε | 7012 |
| 2105 | η | κε | ιγ | κα. ζ' | μαρτ. κβ | κς | 7013 |
| 2106 | θ | κς | ιδ | θ. ς' | ἀπριλλ. ια | ζ | 7014 |
| 2107 | ι | κζ | ιε | κθ. γ' | ἀπριλλ. γ | ιη | 7015 |
| B 2108 | ια | κη | ις | ιζ. γ' | ἀπριλλ. κβ | κθ | 7016 |
| 2109 | ιβ | α | ιζ | ε. ς' | ἀπριλλ. ζ | ι | 7017 |
| 2110 | ιγ | β | ιη | κε γ' | μαρπ. λ' | κα | 7018 |
| 2111 | ιδ | γ | ιθ | ιγ. β' | ἀπριλλκ. ιθ | β | 7019 |
| B 2112 | ιε | δ | α | β. ζ' | ἀπριλλ. γ | ιδ | 7020 |
| 2113 | α | ε | β | κβ. δ' | μαρτ. κς | κε | 7021 |
| 2114 | β | ς | γ | ι γ. | ἀπριλλ. ιε | ς | 7022 |
| 2115 | γ | ζ | δ | λ. ζ' | μαρτ. λα | ιζ | 7023 |
| B 2116 | δ | η | ε | ιη. ζ' | ἀπριλλ. ιθ | κη | 7024 |
| 2117 | ε | θ | ς | ζ. δ' | ἀπριλλ. ια | θ | 7025 |
| 2118 | ς | ι | ζ | κζ. ά | ἀπριλλ. γ | κ | 7026 |
| 2119 | ζ | ια | η | ιε. ζ' | ἀπριλλ. ις | α | 7027 |
| B 2120 | η | ιβ | θ | δ. έ | ἀπριλλ. ζ | ιβ | 7028 |
| 2121 | θ | ιγ | ι | κδ. β' | μαρτ. λ | κγ | 7029 |
| 2122 | ι | ιδ | ια | ιβ ά | ἀπριλλ. ιθ | δ | 7030 |
| 2123 | ια | ιε | ιβ | α. έ | ἀπριλλ. δ | ιε | 7031 |
| B 2124 | ιβ | ις | ιγ | κα. γ' | μαρτ. κς | κς | 7032 |
| 2125 | ιγ | ιζ | ιδ | θ. β' | ἀπριλλ. ιε | ζ | 7033 |
| 2126 | ιδ | ιη | ιε | κθ. ς' | ἀπριλ. λα | ιη | 7034 |
| 2127 | ιε | ιθ | ις | ιζ. έ | ἀπριλ. κ | κθ | 7035 |
| B 2128 | α | κ | ιζ | ε. β' | ἀπριλ. ια | ι | 7036 |
| 2129 | β | κα | ιη | κε. ς' | μαρτ. κζ | κα | 7037 |
| 2130 | γ | κβ | ιθ | ιγ. έ | ἀπριλ. ις | β | 7038 |
| 2131 | δ | κγ | α | β. β' | ἀπριλλ. η | ιδ | 7039 |
| B 2132 | ε | κδ | β | κβ. ζ' | μαρτ. κγ | κε | 7040 |
| 2133 | ς | κε | γ | ι. ς' | ἀπριλλ. ιβ | ς | 7041 |
| 2134 | ζ | κς | δ | λ. γ' | ἀπριλλ. δ | ιζ | 7042 |
| 2135 | η | κζ | ε | ιη. γ' | ἀπριλ. κγ | κη | 7043 |
| B 2136 | θ | κη | ς | ζ. ζ' | ἀπριλλ. η | θ | 7044 |

# ΠΑΣΧΑ'ΛΙΟΝ ΑἸΩ'ΝΙΟΝ.

| Ἔτη ἀπὸ Χριστοῦ. | Ἰνδικτιῶν. | Κύκλοι ἡλίου ☼. | Κύκλοι Σελήνης. | Νομικὸν Φάσκα. | Χριστιανῶν. Πάσχα. | Θεμέλιον Σελήνης. | Ἔτη ἀπὸ Ἀδάμ. |
|---|---|---|---|---|---|---|---|
| 2137 | ι | Α | ζ | κζ. δ' | μαρτ. λα | κ | 7645 |
| 2138 | ια | β | η | ιε. γ' | ἀπριλ. κ | α | 7646 |
| 2139 | ιβ | γ | θ | δ. ζ' | ἀπριλ. ε | ιβ | 7647 |
| Β 2140 | ιγ | δ | ι | κδ. ε' | μαρτ. κζ | κγ | 7648 |
| 2141 | ιδ | ε | ια | ιβ. δ' | ἀπριλ. ις | δ | 7649 |
| 2142 | ιε | ς | ιβ | α. α' | ἀπριλ. η | ιε | 7650 |
| 2143 | α | ζ | ιγ | κα. ε' | μαρτ. κδ | κς | 7651 |
| Β 2144 | β | η | ιδ | θ. ε' | ἀπριλ. ιβ | ζ | 7652 |
| 2145 | γ | θ | ιε | κθ. β' | ἀπριλ. δ | ιη | 7653 |
| 2146 | δ | ι | ις | ιζ. α' | ἀπριλ. κδ | κθ | 7654 |
| 2147 | ε | ια | ιζ | ε. δ' | ἀπριλ. θ | ι | 7655 |
| Β 2148 | ς | ιβ | ιη | κε. β' | μαρτ. λα | κα | 7656 |
| 2149 | ζ | ιγ | ιθ | ιγ. α' | ἀπριλ. κ | β | 7657 |
| 2150 | η | ιδ | Α | β. ε' | ἀπριλ. ε | ιδ | 7658 |
| 2151 | θ | ιε | β | κβ. β' | μαρτ. κη | κε | 7659 |
| Β 2152 | ι | ις | γ | ι. β' | ἀπριλ. ις | ς | 7560 |
| 2153 | ια | ιζ | δ | λ. ς' | ἀπριλ. α | ιζ | 7661 |
| 2154 | ιβ | ιη | ε | ιη. ε' | ἀπριλ. κα | κη | 7662 |
| 2155 | ιγ | ιθ | ς | ζ. β' | ἀπριλ. ιγ | θ | 7663 |
| Β 2156 | ιδ | κ | ζ | κζ. ζ' | μαρτ. κη | κ | 7664 |
| 2157 | ιε | κα | η | ιε. ς' | ἀπριλ. ιζ | α | 7665 |
| 2158 | Α | κβ | θ | δ. γ' | ἀπριλ. θ | ιβ | 7666 |

Τέλος τῆς Τετάρτης μεγάλης Κυκλοφορείας.

Βουλόμενος οὖν σὺν Θεῷ νὰ ἀρχήσῃς τὴν πέμπτην Κυκλοφορείαν. Πάλιν ἐπαναστρέφου εἰς τὴν ἀρχὴν τοῦ αὐτοῦ Πασχαλίου. Εἰς τὴν ἐξχρονίαν ἀπὸ Χριστοῦ. 1627. Καὶ μετάλλαξον μόνον τὸ ἔτος. Ἤγουν ἀπὸ ἔτη. 1627. Βάλε τὸ ἔτος ὅπου ἀκολουθεῖ ἐδῶ. 2159. Καὶ εὑρήσῃς ἀπαραλλάκτως. Τὰ ἐπίλοιπα ὅλα πάρεξ τῆς Ἰνδικτιῶνος. Τὴν ὁποῖαν θέλοντός σου νὰ τὴν συναρμολόγησις. πρόσθες ὀκτώ. Καὶ ἔτζη συναρμολογεῖται, καὶ ἡ Ἰνδικτιών. Τὰ δὲ ἄλλα πάντα εὑρήσῃς ἀπαραλλάκτως ὡς καὶ τὸν καιρὸν. τῆς πραγματικῆς τοῦ κυρίου σταυρώσεως. ἦτον Ἡλίου Κύκλοι, κγ'. Σελήνης Κύκλοι, ι. Νομικὸν Φάσκα Ἀπριλ. δ'. ἡμέρα ς'. Χριστιανῶν Πάσχα Μαρτ. κε'. ἔρρωσθαι οἱ ἐντυγχάνοντες.

| ☉ | Μ | Α | Μ | Ι | Ι | Α | Σ | Ο | Ν | Δ | Ι | Φ | ☉ |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| α | ιε | ιδ | ιγ | ιβ | ια | ι | θ | η | ζ | ϛ | ε | δ | ιδ |
| β | δ | γ | β | αlλα | λ | κθ | κη | κζ | κϛ | κε | κδ | κγ | κε |
| γ | κγ | κβ | κα | κ | ιθ | ιη | ιζ | ιϛ | ιε | ιδ | ιγ | ιβ | ϛ |
| δ | ιβ | ια | ι | θ | η | ζ | ϛ | ε | δ | γ | β | α | ιζ |
| ε | αlλα | λ | κθ | κη | κζ | κϛ | κε | κδ | κγ | κβ | κα | κ | κη |
| ϛ | κ | ιθ | ιη | ιζ | ιϛ | ιε | ιδ | ιγ | ιβ | ια | ι | θ | θ |
| ζ | θ | η | ζ | ϛ | ε | δ | γ | β | αlλα | λ | κθ | κη | κ |
| η | κη | κζ | κϛ | κε | κδ | κγ | κβ | κα | κ | ιθ | ιη | ιζ | α |
| θ | ιζ | ιϛ | ιε | ιδ | ιγ | ιβ | ια | ι | θ | η | ζ | ϛ | ιβ |
| ι | ϛ | ε | δ | γ | β | αlλα | λ | κθ | κη | κζ | κϛ | κε | κγ |
| ια | κε | κδ | κγ | κβ | κα | κ | ιθ | ιη | ιζ | ιϛ | ιε | ιδ | δ |
| ιβ | ιδ | ιγ | ιβ | ια | ι | θ | η | ζ | ϛ | ε | δ | γ | ιε |
| ιγ | γ | β | αlλα | λ | θ | κη | κζ | κϛ | κε | κδ | κγ | κβ | κϛ |
| ιδ | κβ | κα | κ | ιθ | ιη | ιζ | ιϛ | ιε | ιδ | ιγ | ιβ | ια | ζ |
| ιε | ια | ι | θ | η | ζ | ϛ | ε | δ | γ | β | αlλα | λ | ιη |
| ιϛ | λ | κθ | κη | κζ | κϛ | κε | κδ | κγ | κβ | κα | κ | ιθ | κθ |
| ιζ | ιθ | ιη | ιζ | ιϛ | ιε | ιδ | ιγ | ιβ | ια | ι | θ | η | ι |
| ιη | η | ζ | ϛ | ε | δ | γ | β | αlλα | λ | κθ | κη | κζ | κα |
| ιθ | κζ | κϛ | κε | κδ | κγ | κβ | κα | κ | ιθ | ιη | ιζ | ιϛ | β |

Ἐὰν θέλῃς νὰ εὕρῃς τὴν ἡμέραν τοῦ Μηνὸς ὁποῦ γίνεται ἡ Σελήνη εἰς ταύτην τὴν Σκάραν κράτησον τὸν Κύκλον, ἢ τὸ Θεμέλιον αὐτῆς, ὁποῦ εἶναι εἰς τὰ δύο ἄκρα τῆς αὐτῆς Σκάρας. Καὶ ὁποῦ ἀντικρύζει, ἐκεῖ εἶναι σημειωμένη ἡ ἡμέρα τοῦ Μηνὸς ὁποῦ γίνεται.

## ΜΗ'Ν ΣΕΠΤΕ'ΜΒΡΙΟΣ.

ἔχων ἡμέρας, λ. ἡ ἡμέρα, ἔχει ὥρας, ιβ. καὶ ἡ νύξ, ὥρας, ιβ.

α ἀρχὴ τῆς ἰνδίκτου, καὶ συμεὼν τοῦ ςυλ.
β μάμαντος, καὶ ἰωάννου τοῦ νηστευτοῦ.
γ ἀνθίμου μάρτυρος.
δ βαβύλα ἱερομάρτυρος.
ε ζαχαρίου προφήτου.
ς τοῦ ταξιάρχου, κατάλ. οἶνος καὶ.
ζ σώζοντος μάρτυρος.
η τὸ γενέσιον τῆς θεοτόκου. ἀργία.
θ Ἰωακεὶμ, καὶ ἄννης.
ι μηνοδώρας μάρτυρος.
ια θεοδώρας ὁσίας.
ιβ αὐτονόμου ἱερομάρτυρος.
ιγ κορνηλίου ἱερομάρτυρος.
ιδ τοῦ σταυροῦ ὕψωσις. ἀργία, κατάλυσις, δὲ οὔ.
ιε νικήτα μάρτυρος.
ις εὐφημίας μάρτυρος.
ιζ σοφίας μάρτυρος.
ιη εὐμενίου, τοῦ θαυματουργοῦ.
ιθ τροφίμου μάρτυρος.
κ εὐσταθίου μάρτυρος. κατάλ.
κα ἀποστόλου κοδράτου.
κβ φωκᾶ ἱερομάρτυρος.
κγ ἡ σύλληψις τοῦ προδρόμου. κατάλ.
κδ θέκλης πρωτομάρτυρος.
κε εὐφροσύνης ὁσιομάρτ.
κς ἰωάννου θεολόγου κατάλ.
κζ καλλιστράτου μάρτυρος.
κη χαρίτωνος. ὁσίου.
κθ κυριακοῦ. ὁσίου.
λ γρηγορίου ἱερομάρτ.

## ΜΗ'Ν ΟΚΤΩ'ΒΡΙΟΣ.

ἔχων ἡμέρας, λα ἡ ἡμέρα ἔχει, ὥρας, ια. καὶ ἡ νύξ. ὥρας, ιγ.

α ἀνανίου, καὶ ῥωμανοῦ.
β κυπριανοῦ ἱερομάρτ.
γ διονυσίου, ἀρεοπαγίτου.
δ ἱεροθέου, ἀθηνῶν.
ε χαριτήνης μάρτ.
ς θωμᾶ τοῦ ἀποστόλου κατάλ.
ζ σεργίου, καὶ βάκχου.
η πελαγίας, ὁσίας,
θ ἰακώβου τοῦ ἀλφαίου.
ι εὐλαμπίου μάρτ.
ια φιλίππου ἀποστόλου ἐκ τῶν ό.
ιβ πρόβου μάρτυρος.
ιγ κάρπου μάρτυρος.
ιδ ναζαρίου μάρτ.
ιε λουκιανοῦ μάρτυρος.
ις λογγίνου, ἑκατοντάρχου μάρτ.
ιζ ὠσηὲ προφήτου, καὶ ἀνδρέου.
ιη λουκᾶ τοῦ εὐαγγελιστοῦ. κατάλ.
ιθ ἰωὴλ προφήτου.
κ ἀρτεμίου μάρτυρος.
κα ἱλαρίωνος τοῦ μεγάλου.
κβ ἀβερκίου τοῦ θαυματ.
κγ ἰακώβου τοῦ ἀδελφοθέου. κατάλ.
κδ ἀρέθα μάρτυρος.
κε μαρκιανοῦ μάρτυρος.
κς τοῦ ἁγίου δημητρίου. ἀργία.
κζ νέστορος μάρτυρος.
κη στεφάνου τοῦ σαββαΐτου.
κθ ἀναστασίας τῆς ῥωμαίας. τὰ [illegible]
λ ζηνοβίου μάρτ.
λα στάχυος ἀποστόλου.

# ΜΗΝΟΛΟΓΙΟΝ.

## ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ.

ἔχων ἡμέρας, λ. ἡ ἡμέρα, ἔχει ὥρας, ι. καὶ ἡ νὺξ ὥρας, ιδ.

α τῶν ἁγίων ἀναργύρων, κατάλ.
β ἀκινδύνου μάρτ.
γ ἀκεψιμᾶ μάρτ.
δ ἰωαννικίου τοῦ μεγάλου.
ε γαλατίωνος μάρτ.
ϛ παύλου, τοῦ ὁμολογητοῦ.
ζ λαζάρου τοῦ θαυματουργοῦ.
η τῶν ἀσωμάτων ἀργία. καὶ κατάλ.
θ ὀνησιφόρου μάρτ.
ι ἐράστου, τοῦ ἀποστόλου.
ια μηνᾶ βίκτορος, καὶ βικεντίου μάρτ.
ιβ ἰωάννου τοῦ ἐλεήμονος κατάλυσις.
ιγ ἰωάννου τοῦ χρυσοστόμου. ἀργία.
ιδ φιλίππου ἀποστόλου. ἀργία.
ιε γουργία καὶ ἀβίβου μάρτ.
ιϛ ματθαίου τοῦ εὐαγγελιστοῦ. κατάλ.
ιζ γρηγορίου τοῦ θαυματουργοῦ μάρτ
ιη πλάτωνος καὶ ῥωμανοῦ.
ιθ βαρλαὰμ μάρτ.
κ γρηγορίου τοῦ δεκαπολίτου.
κα Τὰ εἰσόδια τῆς θεοτόκου, ἀργία καὶ ἰχθύος κατάλ.
κβ φιλήμονος ἀποστόλου.
κγ γρηγορίου ἀκραγαντίνων.
κδ αἰκατερίνης ἀργία. καὶ.
κε κλήμεντος πάπα ῥώμης.
κϛ ἀλυπίου τοῦ κιονίτου.
κζ ἰακώβου τοῦ πέρσου μάρτ.
κη στεφάνου τοῦ νέου.
κθ τοῦ ὁσίου ἀκακίου.
λ ἀνδρέου ἀποστόλου. ἀργία καὶ κατάλ.

## ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ.

ἔχων ἡμέρας, λά. ἡ ἡμέρα. ἔχει, ὥρας, θ'. καὶ ἡ νὺξ ὥρας, ιε.

α ναοὺμ τοῦ προφήτου.
β ἀββακοὺμ προφ.
γ σοφονίου προφ.
δ βαρβάρας μάρτ.
ε σάββα. οἴνου καὶ ἐλαίου.
ϛ τοῦ ἁγίου νικολάου. ἀργία καὶ ἰχθύος.
ζ ἀμβροσίου μεδιολάνων.
η παταπίου τοῦ ὁσίου.
θ ἡ σύλληψις τῆς ἁγίας ἄννης.
ι μηνᾶ βίκτορος, καὶ βικεντίου μάρτ.
ια δανιὴλ τοῦ στυλίτου.
ιβ σπυρίδωνος, ἀργία, καὶ κατάλ.
ιγ εὐστρατίου.
ιδ θύρσου μάρτ.
ιε ἐλευθερίου ἱερομ.
ιϛ ἀγγαίου προφ.
ιζ δανιὴλ τοῦ προφ.
ιη σεβαστιανοῦ μάρτ.
ιθ βονιφατίου μάρτ.
κ ἰγνατίου μάρτ.
κα ἰουλιανῆς μάρτ.
κβ ἀναστασίας φαρμακολυτρίας.
κγ δέκα μαρτύρων τῶν ἐν κρήτῃ.
κδ εὐγενίας.
κε κατὰ σάρκα γέννησις τοῦ κυρίου πάσχα. καὶ τελήμερος κατάλυσις εἰς πάντα.
κϛ τὰ ἐπιλόχια τῆς θεοτόκου.
κζ στεφάνου πρωτομάρτ.
κη τῶν δισμυρίων μαρτύρων.
κθ τῶν ἁγίων νηπίων.
λ ἀνυσίας μάρτ.
λα μελάνης τῆς ὁσίας.

## ΜΗ'Ν ΙΑΝΟΥΑ'ΡΙΟΣ.

ἔχων ἡμέρας, λα. ἡ ἡμέρα, ἔχει ὥρας, ι. καὶ ἡ νύξ, ὥρας, ιδ.

α ἡ περιτομὴ τοῦ κυρίου, καὶ βασιλείου τοῦ μεγάλου. ἀργία.
β σιλβέστρου πάπα ῥώμης.
γ γορδίου μάρτ.
δ ἡ σύναξις τῶν ἀποστόλων.
ε θεοπέμπτου μαρτ. σίνου, καὶ ἐλαίου.
ϛ τὰ ἅγια θεοφάνια τοῦ κυ ἡμῶν Ιυ Χυ
ζ Ἡ σύναξις τοῦ προδρόμου. ἀργία, καὶ ἰχθύος κατάλ.
η τῆς ὁσίας δομνίκας.
θ πολυεύκτου μάρτ.
ι γρηγορίου νύσσης.
ια θεοδοσίου τοῦ κοινοβιάρχου. κατάλ.
ιβ τατιανῆς μάρτ.
ιγ ἑρμύλου μάρτ.
ιδ τῶν ἀναιρεθέντων ἐν ῥαϊθοῦ.
ιε ἰωάννου τοῦ καλυβίτου.
ιϛ ἡ προσκύνησις τῆς ἁλύσεως τοῦ ἁγίου πέτρου.
ιζ τοῦ ἁγίου ἀντωνίου, ἀργία. κατ.
ιη ἀθανασίου, καὶ κυρίλλου ἀργία.
ιθ μακαρίου τοῦ αἰγυπτίου.
κ εὐθυμίου τοῦ μεγάλου ἀργία.
κα μαξίμου τοῦ ὁμολογητοῦ.
κβ τιμοθέου τοῦ ἀποστόλου.
κγ Κλήμεντος ἱερομάρτ.
κδ ξένης τῆς ὁσίας.
κε γρηγορ. τοῦ θεολόγου. ἀργία καὶ ἰχθύος κατ.
κϛ ξενοφῶντος τοῦ ὁσίου.
κζ τοῦ χρυσοστόμου ἀργία, καὶ ἰχθύος.
κη ἐφραὶμ τοῦ σύρου.
κθ ἀνακομιδὴ ἰγνατίου.
λ τῶν τριῶν ἱεραρχῶν. ἀργία, καὶ
λα τῶν ἁγίων ἀναργύρων. κύρου, καὶ ἰωάν.

## ΜΗ'Ν ΦΕΥΡΟΥΑ'ΡΙΟΣ.

ἔχων ἡμέρας, κη. ἢ κθ. ἡ ἡμέρα. ἔχει, ὥρας, ια. καὶ ἡ νύξ. ὥρας, ιγ.

α τοῦ ἁγίου μάρτ τρύφωνος.
β ἡ ὑπαπαντὴ τοῦ κυρίου ἡμῶν Ιυ Χυ ἀργία. καὶ ἰχθύος κατάλ.
γ συμεὼν τοῦ θεοδόχου.
δ ἰσιδώρου τοῦ πηλουσιώτου.
ε ἀγάθης μάρτ.
ϛ βουκόλου σμύρνης.
ζ παρθενίου λαμψάκου μάρτ.
η θεοδώρου τοῦ στρατηλάτου.
θ νικηφόρου μάρτ.
ι χαραλάμπους μάρτ.
ια τοῦ ἁγίου βλασίου. ἀργία.
ιβ μελετίου ἀντιοχείας.
ιγ μαρτινιανοῦ τοῦ ὁσίου.
ιδ αὐξεντίου τοῦ ὁσίου.
ιε ὀνησίμου ἀποστόλου.
ιϛ παμφίλου μάρτ.
ιζ θεοδώρου τοῦ τύρωνος. κατάλ.
ιη λέοντος πάπα ῥώμης.
ιθ ἀρχίππου ἀποστόλου.
κ λέοντος κατάνης.
κα τιμοθέου τοῦ ἐν συμβόλοις.
κβ τῶν ἁγίων μάρτ. τῶν ἐν τοῖς εὐγενίου
κγ πολυκάρπου σμύρνης.
κδ τοῦ προδρόμου, ἀργία καὶ κατάλ.
κε ταράσιου κωνσταντινουπόλεως.
κϛ πορφυρίου γάζης.
κζ προκοπίου τοῦ ὁμολογητοῦ.
κη βασιλείου τοῦ ὁμολογητοῦ.
κθ τοῦ ὁσίου κασιανοῦ τοῦ ῥωμαίου.

## ΜΗ'Ν ΜΑ'ΡΤΙΟΣ.

ἔχων ἡμέρας, λα. ἡ ἡμέρα, ἔχει ὥρας, ιβ. καὶ ἡ νύξ. ὥρας, ιβ'.

α τῆς ἁγίας εὐδοκίας.
β θεοδότου κηρυνίας.
γ εὐτροπίου μάρτ.
δ γερασίμου τοῦ ὁσίου.
ε κόνωνος μάρτ.
ς τῶν ἐν τῷ ἀμμορείῳ νεοφανῶν μάρ.
ζ καπίτωνος χερσῶνος.
η θεοφυλάκτου νικομηδείας.
θ τῶν ἁγίων μ. μάρ. ἀργία καὶ κατάλ.
ι κοδράτου μάρτ.
ια σωφρονίου ἱεροσολύμων.
ιβ θεοφάνους τοῦ ὁμολογητοῦ.
ιγ νικηφόρου κωνσταντινουπόλεως.
ιδ βενεδίκτου τοῦ ὁσίου.
ιε ἀγαπίου μάρτ.
ις σαβίνου μάρτ.
ιζ ἀλεξίου τοῦ ἀνθρώπου τοῦ θεοῦ.
ιη κυρίλλου ἱεροσολύμων.
ιθ χρυσάνθου μάρτ.
κ τῶν ὁσίων τῶν ἀναιρεθέντων ἐν τῇ νῇ τοῦ ἁγίου σάββα.
κα ἰακώβου τοῦ ὁμολογητοῦ.
κβ βασιλείου ἱερομ.
κγ νίκωνος τοῦ ὁσιομάρτυρος.
κδ τοῦ ὁσίου Ζαχαρίου.
κε ὁ εὐαγγελισμὸς τῆς θεοτόκου. ἀργία. καὶ ἰχθ. κατ.
κς ἡ σύναξις τοῦ ἀρχιστρατήγου γαβρ.
κζ ματρώνης τῆς ἐν θεσσαλονίκῃ.
κη στεφάνου τοῦ θαυματουργοῦ.
κθ μάρκου ἀρεθουσίων.
λ ἰωάννου τῆς κλίμακος.
λα. ὑπατίου τοῦ θαυματουργοῦ.

## ΜΗ'Ν Α'ΠΡΙ'ΛΛΙΟΣ.

ἔχων ἡμέρας, λ. ἡ ἡμέρα, ἔχει ὥρας, ιγ. καὶ ἡ νύξ. ὥρας, ια.

α τῆς ὁσίας Μαρίας τῆς αἰγυπτίας.
β τίτου τοῦ θαυματουργοῦ.
γ τοῦ ὁσίου νικήτα.
δ ἰωσὴφ τοῦ ὑμνογράφου.
ε θεοδούλου μάρτ.
ς εὐτυχίου κωνσταντινουπόλεως.
ζ γεωργίου μελιτινῆς.
η ἡρωδίωνος τοῦ ἀποστόλου.
θ εὐψυχίου μάρτ.
ι τερεντίου μάρτ.
ια ἀντύπα ἐπισκόπου περγάμου.
ιβ βασιλείου παρίου.
ιγ ἀρτέμονος ἱερομ.
ιδ μαρτίνου πάπα ῥώμης.
ιε ἀριστάρχου τοῦ ἀποστόλου.
ις ἀγάπης εἰρήνης. χιονίας.
ιζ συμεὼν τοῦ ἐν τῇ περσίδι.
ιη τοῦ ὁσίου Ἰωάννου.
ιθ ἰωάννου τοῦ παλαιολαυρίτου.
κ θεοδώρου τριχινᾶ.
κα ἰανουαρίου ἱερομ.
κβ θεοδώρου συκεώτου.
κγ τοῦ ἁγίου γεωργίου. ἀργία.
κδ σάββα στρατηλάτου μάρτ.
κε τοῦ ἁγίου μάρκου. καὶ ἀργία.
κς βασιλέως ἱερομ.
κζ συμεὼν συγγενοῦς τοῦ κυρίου.
κη ἰάσωνος καὶ σωσιπάτρου ἀποστόλ.
κθ μέμνονος τοῦ θαυματουργοῦ.
λ ἰακώβου ἀδελφοῦ τοῦ θεολόγου.

## ΜΗΝ ΜΑΙΟΣ.

ἔχων ἡμέρας, λα. ἡ ἡμέρα, ἔχει, ὥρας, ιδ. καὶ ἡ νύξ. ὥρας, ι.

α ἱερεμίου τοῦ προφήτου.
β τοῦ ἁγίου ἀθανασίου. ἀργία.
γ τιμοθέου, καὶ μαύρας μάρτ.
δ πελαγίας.
ε εἰρήνης.
ϛ δικαίου Ἰώβ.
ζ τοῦ σταυροῦ. ἀργία.
η ἰωάννου τοῦ θεολόγου. ἀργία.
θ ἡσαΐου τοῦ προφήτου.
ι σίμωνος τοῦ ζηλωτοῦ.
ια μωκίου ἱερομ.
ιβ ἐπιφανίου κύπρου.
ιγ γλυκερίας μάρτ.
ιδ ἰσιδώρου τοῦ ἐν τῇ χίω.
ιε παχωμίου τοῦ μεγάλου.
ιϛ θεοδώρου τοῦ ἡγιασμένου.
ιζ ἀνδρονικοῦ τοῦ ἀποστόλου.
ιη πέτρου, καὶ διονυσίου μάρτ.
ιθ πατρικίου προύσης.
κ θαλελαίου μάρτ.
κα κωνσταντίνου, καὶ ἑλένης. ἀργία.
κβ βασιλίσκου μάρτ.
κγ μιχαὴλ συννάδων.
κδ συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει.
κε τοῦ προδρόμου. κατάλυσις οἴνου.
κϛ κάρπου τοῦ ἀποστόλου.
κζ θεράποντος ἱερομ.
κη νικήτα χαλκηδῶνος.
κθ θεοδοσίας ὁσιομ.
λ ἰσαακίου δαλμάτων.
λα ἑρμείου τοῦ ἀποστόλου.

## ΜΗΝ ΙΟΥΝΙΟΣ.

ἔχων ἡμέρας, λ. ἡ ἡμέρα, ἔχει ὥρας, ιε. καὶ ἡ νύξ. ὥρας, θ.

α ἰουστίνου, φιλοσόφου μάρτ.
β νικηφόρου τοῦ ὁμολογητοῦ.
γ λουκιλλιανοῦ.
δ μητροφάνους κωνσταντινουπόλεως.
ε δωροθέου τύρου.
ϛ βησσαρίωνος τοῦ θαυματουργοῦ.
ζ θεοδότου ἀγκύρας.
η Θεοδώρου τοῦ στρατηλάτου. κατάλ.
θ κυρίλλου ἀλεξανδρείας.
ι τιμοθέου προύσης.
ια βαρθολομαίου καὶ βαρνάβα τῶν ἀποστόλ.
ιβ ὀνουφρίου τοῦ ὁσίου.
ιγ τριφυλλίου λευκωσίας.
ιδ ἐλισσαίου τοῦ προφ.
ιε ἀμμῶς προφ.
ιϛ τύχωνος ἀμαθούντων.
ιζ μανουὴλ μάρτ.
ιη λεοντίου μάρτ.
ιθ ἰούδα ἀδελφοῦ τοῦ κυρίου.
κ μεθοδίου πατάρων.
κα ἰουλιανοῦ τοῦ ταρσέως μάρτ.
κβ εὐσεβίου σαμοσάτων.
κγ ἀγριππίνης.
κδ τοῦ προδρόμου Γέννησις. ἀργία καὶ ἰχθ.
κε φεβρωνίας μάρτ.
κϛ δαβὶδ τοῦ ἐν θεσσαλονίκη.
κζ σαμψὼν τοῦ ξενοδόχου.
κη τῶν ἁγίων ἀναργύρων.
κθ πέτρου καὶ παύλου τῶν ἀποστόλ. ἀργία.
λ ἡ σύναξις τῶν ιβ. ἀποστόλων.

## ΜΗ'Ν ΙΟΥ'ΛΙΟΣ.

ἔχων ἡμέρας, λα. ἡ ἡμέρα ἔχει ὥρας, ιδ. καὶ ἡ νὺξ. ὥρας, ι.

α τῶν ἁγίων ἀναργύρων κατάλυσις.
β τῆς θεοτόκου τῆς ἐν βλαχέρναις.
γ ὑακίνθου μάρτυρ.
δ ἀνδρέου κρήτης.
ε μάρθας τῆς ὁσίας, καὶ ἀθανασίου.
ς σισώη τοῦ μεγάλου.
ζ κυριακῆς μάρτυρ.
η προκοπίου. κατάλ. οἴνου καὶ ἔλ.
θ παγκρατίου ταυρομένιας.
ι τῶν με. μαρτύρων.
ια εὐφημίας μάρτυρ.
ιβ πρόκλου, καὶ ἱλαρίου μαρτ.
ιγ τοῦ ἀρχαγγέλου γαβριήλ.
ιδ ἀκύλα τοῦ ἀποςόλου.
ιε κηρύκου, καὶ ἰουλίττης.
ις ἀθηνογένους ἱερομ.
ιζ τῆς ἁγίας μαρίνης ἀργία.
ιη ὑακίνθου μαρτ.
ιθ τοῦ δίου τοῦ ὁσίου.
κ τοῦ ἁγίου ἠλίου. ἀργία. καὶ.
κα συμεὼν τοῦ σαλοῦ.
κβ μαρίας τῆς μαγδαληνῆς.
κγ τροφίμου μαρτ.
κδ χριςίνης μαρτ.
κε τῆς ἁγίας ἄννης. κατάλυσις.
κς τῆς ἁγίας παρασκευῆς. ἀργία.
κζ τοῦ ἁγίου παντελεήμονος. ἀργία.
κη προχόρου τοῦ ἀποςόλου.
κθ καλλινίκου μαρτ.
λ σύλα τοῦ ἀποςόλου.
λα εὐδοκίμου τοῦ δικαίου.

## ΜΗ'Ν ΑΥ'ΓΟΥ'ΣΤΟΣ.

ἔχων ἡμέρας, λα. ἡ ἡμέρα, ἔχει ὥρας, ιγ. καὶ ἡ νὺξ. ὥρας, ια.

α ἡ πρόοδος τοῦ ςαυροῦ.
Ἀρχὴ τῆς νηςείας τῆς θεοτόκου.
β ἡ ἀνακομιδὴ τοῦ ἁγίου ςεφάνου.
γ ἰσαακίου τοῦ ὁσίου.
δ εὐδοκίας ὁσιομάρτ.
ε εὐσιγνίου μαρτ.
ς ἡ μεταμόρφωσις τοῦ σωτῆρος. ἀργία.
ζ Δομετίου ὁσιομάρτ.
η αἰμιλιανοῦ κυζίκου.
θ ματθία τοῦ ἀποςόλου.
ι λαυρεντίου.
ια εὔπλου μαρτ.
ιβ φωτίου μαρτ.
ιγ μαξίμου τοῦ ὁμολογητοῦ.
ιδ μιχαίου τοῦ Προφήτου.
ιε ἡ κοίμησις τῆς θεοτόκου. ἀργία. καὶ.
ις τοῦ ἁγίου μανδυλίου.
ιζ μύρωνος μαρτ.
ιη φλώρου μαρτ.
ιθ ἀνδρέου τοῦ ςρατηλάτου.
κ σαμουὴλ τοῦ προφήτου.
κα θαδδαίου τοῦ ἀποςόλου.
κβ ἀγαθονίκου μαρτ.
κγ λέππου μαρτ.
κδ εὐτυχοῦς ἱερομ.
κε ἡ ἐπάνοδος τοῦ λειψάνου τοῦ ἁγίου Βαρθολ.
κς ἀδριανοῦ, καὶ ναταλίας μαρτ.
κζ Ποιμένος τοῦ ὁσίου.
κη μωϋσέως τοῦ αἰθίοπος.
κθ ἡ ἀποτομὴ τοῦ προδρόμου. ἀργία.
λ ἀλεξάνδρου κωνςαντινουπόλεως.
λα ἡ κατάθεσις τῆς ζώνης θεοτόκου κατάλυσις οἴνου, καὶ ἐλαίου.

BIBLIOTHECA NACIONAL DE LISBOA

# ΣΥΝΤΑΓΜΑΤΙΟΝ

## ΠΕΡΙΕΧΟΝ ΚΑΝΟΝΑΣ ΤΕ ΚΑΙ ΕΥΧΑΣ ΙΚΕΤΗΡΙΟΥΣ

Εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον. Συλλεχθὲν μὲν ἐκ διαφόρων Βιβλίων, Τὰ πλεῖστα δὲ ἀπὸ τοῦ Ἁγίου Ἐφραίμ.

## ΛΕΓΟΜΕΝΑΙ ΚΑΘ' ΕΣΠΕΡΑΝ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

Παρὰ τοῖς βουλομένοις πολεμῆσαι τὴν ἑαυτῶν προαίρεσιν πρὸς τὰ πάθη καὶ ἡδονὰς ἐγκειμένην. Ἀρχόμεναι ἀπὸ τῷ Σαββάτῳ Ἑσπέρας, καὶ λήγουσαι ἕως τῇ Παρασκευῇ Ἑσπέρας.

Προσετέθησαν δὲ καὶ ἕτεροι τρεῖς Κανόνες Παρακλητικοὶ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον, καὶ ὁλόκληρος ὁ Ἀκάθιστος Ὕμνος.

## ΕΤΙ ΔΕ ΠΡΟΣΕΤΕΘΗ ΚΑΙ ΠΑΣΧΑΛΙΟΝ ΑΙΩΝΙΟΝ,

Καὶ Κανόνιον πασῶν τῶν Ἑορτῶν, ὅπου ἀκολουθοῦσι τῷ Πάσχᾳ. Μετὰ Σεληνοδρομίου συνοπτικωτάτου, καὶ Μηνολογίου συντομωτάτου. Τὰ πάντα πρόχειρα τοῖς πᾶσι.

Συντεθέντα παρὰ τοῦ Εὐλαβεστάτου ἐν Ἱερεῦσι Κυρίου Ματθαίου Τζιγάλα τοῦ Κυπρίου.

CON LICENZA DE' SVPERIORI.



ΕΝΕΤΙΗΣΙΝ, Παρὰ Ἀνδρέᾳ τῷ Ἰουλιανῷ. αχπα'. 1651

Πωλεῖται κοντὰ εἰς τὸν Πόντε τοῦ Ἁγίου Φαντίνου.

# ΠΙΝΑΞ

## ΤΩ͂Ν ΠΕΡΙΕΧΟΜΕ΄ΝΩΝ

Ἐν τῷ δὲ τῷ Συνταγματίῳ.


Κανὼν ψαλλόμενος τῷ Σαββάτῳ Ἑσπέρας εἰς τὸ Ἀπόδειπνον, μετὰ τριῶν Εὐχῶν Θεομητορικῶν διὰ στίχου, καὶ ἑτέρων τριῶν Εὐχῶν Δεσποτικῶν. φύλ. 1

Εὐχὴ μετὰ τὸ Ἀπόδειπνον, ἥτις ὀφείλει ἀναγινώσκεσθαι καθ' Ἑσπέραν. φύλ. 12

Ἀκολουθία ψαλλομένη εἰς τὸ Ἀπόδειπνον τῇ Κυριακῇ Ἑσπέρας. φύλ. 14

Ἀκολουθία ἑτέρα ὁμοία, τῇ Δευτέρᾳ Ἑσπέρας. φύλ. 28

Ἀκολουθία ἑτέρα, τῇ Τρίτῃ Ἑσπέρας. φύλ. 40

Ἀκολουθία τῇ Τετάρτῃ Ἑσπέρας. φύλ. 52

Ἀκολουθία τῇ Πέμπτῃ Ἑσπέρας. φύλ. 63

Ἀκολουθία τῇ Παρασκευῇ Ἑσπέρας. φύλ. 75

Κανὼν Κατανυκτικὸς εἰς τὴν Ὑπεραγίαν Θεοτόκον. φύλ. 87

Κανόνες Παρακλητικοὶ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον, ψαλλόμενοι εἰς πᾶσαν θλίψιν ἢ περίστασιν καθ' ἑνὸς Χριστιανοῦ. φύλ. 91

Ἕτερος Κανὼν Ποίημα τοῦ Βασιλέως Κυρίου Θεοδώρου τοῦ Δούκα τοῦ Λασκάρεως. φύλ. 93

Καὶ ὁλόκληρος ὁ Ἀκάθιστος Ὕμνος. φύλ. 97


BIBLIOTHECA NACIONAL DE LISBOA

# ΚΑΝΩ'Ν

# ΚΑΤΑΝΥΚΤΙΚΟ'Σ

## ΨΑΛΛΟ'ΜΕΝΟΣ ΤΩ͂ ΣΑΒΒΑ'ΤΩ, ΕΣΠΕ'ΡΑΣ

Παρὰ τοῖς βουλομένοις πολεμῆσαι τὴν ἑαυτῶν σάρκα.

Εἰς τὸ Ἀπόδειπνον, μετὰ τὸ Δόξα ἐν ὑψίστοις, καὶ τὸ Πιστεύω, ψάλλεται ὁ παρὼν Κανὼν, μετὰ προσοχῆς εὐλαβῶς.

Ὠδὴ ά. Ἦχος πλ. β'.

### ΒΟΗΘΟ'Σ ΚΑΙ' ΣΚΕΠΑΣΤΗ'Σ.

Τὴν ἡμέραν τὴν φρικτὴν, τῆς παναρρήτου σου παρουσίας. φρίττω ἐννοῶν· δεδοικὼς προορῶ. ἐν ᾗ προκαθήσεις. κρῖναι ζῶντας καὶ νεκροὺς, Θεέ μου παντοδύναμε.

Ὅτε ἥξεις ὁ Θεὸς, ἐν μυριάσι καὶ χιλιάσι. τῶν Ἀγγελικῶν, Οὐρανίων Ἀρχῶν. κἀμὲ ἐν νεφέλαις. ὑπαντῆσαί σοι Χριστὲ, τὸν ἄθλιον ἀξίωσον.

Ἐξιστᾷ με καὶ φοβεῖ, τὸ πῦρ τὸ ἄσβεστον τῆς γεέννης. σκώληξ ὁ πικρὸς, τῶν ὀδόντων βρυγμός. ἀλλ' ἄνες μοι ἄφες. καὶ τῇ στάσει με Χριστὲ, τῶν ἐκλεκτῶν σου σύνταξον.

Μὴ εἰσέλθῃς μετ' ἐμοῦ, ἐν κρίσει φέρων μου τὰ πρακτέα. λόγους ἐκζητῶν, καὶ εὐθύνων ὁρμάς. ἀλλ' ἐν οἰκτιρμοῖς σου. παρορῶν μου τὰ δεινὰ, σῶσόν με παντοδύναμε. Δόξα.

Τρισυπόστατε μονὰς, ἀρχικωτάτη κυρία πάντων. τελεταρχικὴ καὶ ὑπεράρχιε. αὐτὴ ἡμᾶς σῶσον. ὁ Πατὴρ καὶ ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ πανάγιον. Καὶ νῦν.

Τίς ἐγέννησεν υἱὸν τὸν μὴ σπαρέντα πατρῴῳ νόμῳ. τοῦτον ὃν ἀγύναιξ, ὁ Πατὴρ πλὴν μητρός. παράδοξον τέρας. σὺ γὰρ ἔτεκες Ἁγνὴ, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον.

Ὠδὴ γ'. Στερέωσον Κύριε.

Ἐπίστρεψον στέναξον, ψυχὴ ἀθλία πρὶν ἡ τοῦ βίου. πέρας λάβῃ ἡ πανήγυρις. πρὶν τὴν θύραν, κλείσῃ τοῦ νυμφῶνος ὁ Κύριος.

Ἐλέησόν Κύριε, ἐλέησόν με ἀναβοῶ σοι, ὅτε ἥξεις μετ' Ἀγγέλων σου. ἀποδοῦναι, πᾶσι κατ' ἀξίαν τῶν πράξεων.

Τὴν ἄστεκτον Κύριε, ὀργὴν πῶς οἴσω τῆς κρίσεώς σου. παρακούσας σου τὸ πρόσταγμα;

σάγμα; ἀλλὰ φεῖσαι φεῖσαί μου ἐν ὥρᾳ τῆς κρίσεως.

Ἡμάρτηκα Κύριε, καθάπερ ἄλλος οὐδεὶς ἀνθρώπων. πλημμελήσας ὑπὲρ ἄνθρωπον. πρὸ τῆς δίκης ἵλεως γενοῦ μοι φιλάνθρωπε. Δόξα.

Τριὰς ἁπλῆ ἄκτιστε, ἄναρχε φύσις ἡ ἐν τριάδι. ὑμνουμένη ὑποστάσεων. ἡμᾶς σῶσον, πίστει προσκυνοῦντας τὸ κράτος σου. Καὶ νῦν.

Ἐβλάστησας Ἄχραντε, ἀσπόρῳ τόκῳ τὸν ζῶντα Λόγον. σαρκωθέντα ἐν τῇ μήτρᾳ σου. οὐ τραπέντα, δόξα Θεομῆτορ τῷ τόκῳ σου.

Ὠδὴ δ'. Ἀκήκοεν ὁ Προφήτης.

Ἀδέκαστος ἡ κρίσις. ἀλάθητος οὖσα τὸ βῆμα τεχνολογίας. οὐ ῥητόρων πιθανότης κλέπτουσα, οὐ μαρτύρων σκῆψις παρακρούουσα. τὸ δίκαιον ἐν σοὶ γάρ, πάντων τὰ κεκρυμμένα τῷ Θεῷ παρίστανται.

Μὴ ἔλθω εἰς γῆν κλαυθμῶνος. μὴ ἴδω τόπον τοῦ σκότους Χριστέ μου Λόγε. μὴ δεθῶ χεῖρας καὶ πόδας μου, ἔξω τοῦ νυμφῶνός σου ῥιπτόμενος. τὸ ἔνδυμα τῆς ἀφθαρσίας ῥερυπωμένον, ἔχων ὁ πανάθλιος.

Ἡνίκα ἀποχωρίσῃς, ἁμαρτωλοὺς ἐκ δικαίων κρίνων τὸν Κόσμον. ἐν ἅμα τῶν προβάτων σου με σύνταξον, ἀπὸ τῶν ἐρίφων διακρίνων με. φιλάνθρωπε εἰς τὸ ἀκοῦσαι φωνῆς ἐκείνης, τῆς εὐλογημένης σου.

Ἀκούων τῆς τοῦ πλουσίου. ἐν τῇ φλογὶ τῆς βασάνου θρηνολογίας. κλαίω καὶ ὀδύρομαι ὁ ἄθλιος, τῆς αὐτῆς ὑπάρχων κατακρίσεως. καὶ δέομαι ἐλέησόν με Σωτὴρ τοῦ Κόσμου, ἐν καιρῷ τῆς κρίσεως. Δόξα.

Υἱὸν ἐκ Πατρός, καὶ Πνεῦμα. δοξάζω ὡς ἐξ ἡλίου φῶς καὶ ἀκτῖνα. τὸν μὲν γεννητῶς ὅτι καὶ γέννημα, τὸ δὲ προβλητῶς ὅτι καὶ πρόβλημα. συνανάρχων θείαν Τριάδα προσκυνουμένην, ὑπὸ πάσης Κτίσεως. Καὶ νῦν.

Παρθένος βρέφος τεκοῦσα. καὶ τὴν ἁγνείαν τηροῦσα, σεμνὴ σὺ ὤφθης. τὸν Θεὸν γεννήσασα καὶ ἄνθρωπον, ἕνα τὸν αὐτὸν ἐν ἑκατέρᾳ μορφῇ. τὸ θαῦμά σου Παρθενομῆτορ, ἐκπλήττει πᾶσαν, ἀκοὴν καὶ ἔννοιαν.

Ὠδὴ ε'. Ἐκ νυκτὸς ὀρθρίζοντα φιλάνθρωπε.

Τρόμος ἀδιήγητος καὶ φόβος ἐκεῖ. ἥξει γὰρ Κύριος, καὶ τὸ ἔργον μετ' αὐτοῦ. ἑκάστου τῶν ἀνθρώπων. καὶ τίς ἐντεῦθεν λοιπόν, ἑαυτὸν μὴ πενθήσῃ.

Φεῖσαι φεῖσαι Κύριε τοῦ δούλου σου. μήποτε δώσῃς με, τοῖς πικροῖς βασανισταῖς. Ἀγγέλων ἀποτόμων. ἐν οἷς οὐκ ἔστιν ἐκεῖ, ἀνάπαυσιν εὑρέσθαι.

Ἄνες ἄφες Κύριε καὶ σύγγνωθι. ὅσα σοι ἥμαρτον, καὶ μὴ δείξῃς με ἐκεῖ. ἐνώπιον Ἀγγέλων. ἐν κατακρίσει πυρός, αἰσχύνης αἰωνίου.

Φεῖσαι φεῖσαι Κύριε τοῦ πλάσματός σου. ἥμαρτον ἄνες μοι, ὅτι φύσει καθαρός. αὐτὸς ὑπάρχεις μόνος. καὶ ἄλλος πλὴν σοῦ οὐδείς, ὑπάρχει ἔξω ῥύπου. Δόξα.

Μονάδα τῇ φύσει σε Τριὰς ἀνυμνῶ. ἄναρχον ἄληπτον, ἀρχικὴν βασιλικήν. ὑπερτελῆ ἑνάδα. Θεὸν καὶ φῶς καὶ ζωήν, δημιουργὸν τοῦ Κόσμου. Καὶ νῦν.

Ἐν τῇ ὑπὲρ φύσιν σου κυήσει σεμνή. νόμοι τῆς φύσεως, καταλύονται σαφῶς. καὶ γὰρ ἀσπόρως τίκτεις. τὸν πρὸ αἰώνων Θεόν, ἐκ Πατρὸς γεννηθέντα.

Ὠδὴ

Ὠδὴ ϛ΄. Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου.

Ἐν τῇ φρικτῇ Χριστὲ παρουσίᾳ σου, ὅταν φανῇς ἐξ Οὐρανοῦ. καὶ τεθῶσι θρόνοι, καὶ βίβλοι ἀνοιγῶσι. φεῖσαι φεῖσαι τότε, Σωτὴρ τοῦ πλάσματός σου.

Τὸ φοβερὸν ψυχὴ λογοθέσιον, ἐννοουμένη τοῦ Κριτοῦ. φρίξον ἀπ' ἐντεῦθεν, ἑτοίμασον τὸν λόγον. μὴ κατακριθήσῃ, δεσμοῖς τοῖς αἰωνίοις.

Ἄρον τὸ σὸν, μὴ ἀκούσω Κύριε, ἀποπεμπόμενος ἐκ σοῦ. μηδὲ τὸ πορεύου, εἰς πῦρ κατηραμένον. ἀλλὰ τῆς εὐκταίας, φωνῆς τῆς τῶν δικαίων.

Ἅδου πυλῶν λύτρωσαί με Κύριε, χάους καὶ ζόφου ἀφεγγοῦς. ἐκ καταχθονίων, καὶ πυρὸς τοῦ ἀσβέστου. ἐξ ἁπάσης ἄλλης, ποινῆς τῆς αἰωνίου. Δόξα.

Τριαδικῆς μονάδος Θεότητα, ὑμνῶ Πατέρα καὶ Υἱόν. καὶ τὸ θεῖον Πνεῦμα, μιᾶς ἀρχῆς τὸ κράτος. συνδιῃρημένης, τρισὶ τοῖς χαρακτῆρσι. Καὶ νῦν.

Πύλη σὺ εἶ ἣν μόνος διώδευσεν, ὁ εἰσελθὼν καὶ ἐξελθών. καὶ τὰς κλεῖς μὴ λύσας, Ἁγνὴ τῆς παρθενίας. Ἰησοῦς ὁ πλάσας, Ἀδὰμ καὶ ὁ Υἱός σου.

Τροπάρια εἰς τὴν Ἕκτην. Ἦχος πλ. β.

Ἐννοῶ τὴν ἡμέραν τὴν φοβεράν. καὶ θρηνῶ μου τὰς πράξεις τὰς πονηράς. πῶς ἀπολογήσομαι τῷ ἀθανάτῳ Βασιλεῖ. ποίᾳ δὲ παῤῥησίᾳ, ἀτενίσω τῷ Κριτῇ, ὁ ἄσωτος ἐγὼ εὔσπλαγχνε Πάτερ, Υἱὲ μονογενὲς, τὸ Πνεῦμα τὸ ἅγιον ἐλέησόν με. Δόξα.

Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν διέθου. ὅταν καθίσῃς ἐλεῆμον, ποιῆσαι δικαίαν κρίσιν. μὴ δημοσιεύσῃς μου τὰ κεκρυμμένα. μὴ δὲ καταισχύνῃς με ἐνώπιον τῶν Ἀγγέλων, ἀλλὰ φεῖσαί μου ὁ Θεὸς, καὶ ἐλέησόν με. Καὶ νῦν.

Ἐλπὶς τοῦ Κόσμου ἀγαθὴ, Θεοτόκε Παρθένε, τὴν σὴν καὶ μόνην φοβερὰν, προστασίαν αἰτοῦμαι. σπλαγχνίσθητι εἰς ἀπερίστατον λαὸν, δυσώπησον τὸν ἐλεήμονα Θεόν. ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν, ἐκ πάσης ἀπειλῆς, μόνη εὐλογημένη.

Ὠδὴ ζ΄. Ἡμάρτομεν ἠνομήσαμεν.

Ἀδέκαστος ἡ ἐξέτασις, φοβερὰ ἐστὶν ἐκεῖ ἡ κρίσις. ὅπου ὁ Κριτὴς ἀλάθητος ἐστὶν, ὅπου πρόσωπον οὐκ ἔστιν ἐν δώροις λαβεῖν. ἀλλὰ φεῖσαί μου Δέσποτα καὶ λύτρωσαι, πάσης ὀργῆς σου Φρικτῆς.

Τὸ ἄσβεστον πῦρ ταράττει με, ὁ πικρότατος βρυγμὸς σκωλήκων. ᾅδης ὁ ψυχοφθόρος φοβεῖ με. εὑρίσκομαι ἀκατανύκτος, οὐδ' ὅλως δὲ γίνομαι. ἀλλὰ Κύριε, Κύριε πρὸ τέλους με, στήριξον φόβῳ τῷ σῷ.

Προσπίπτω σοι καὶ προσάγω σοι, ὥσπερ δάκρυα τὰ ῥήματά μου. ἥμαρτον ὡς οὐχ ἥμαρτε πόρνη, καὶ ἠνόμησα ὡς ἄλλος οὐδεὶς ἐπὶ γῆς. ἀλλ' οἰκτείρησον Δέσποτα τὸ ποίημά σου, καὶ ἀνακάλεσαί με.

Ἐπίστρεψον μετανόησον, ἀνακάλυψον τὰ κεκρυμμένα. λέγε Θεῷ τῷ τὰ πάντα εἰδότι, σὺ γινώσκεις μου τὰ κρύφια μόνε Σωτὴρ. ἀλλ' αὐτός με ἐλέησον ὡς ψάλλει Δαβὶδ, κατὰ τὸ ἔλεός σου. Δόξα.

Τὰ Τρία ἓν οὐσιότητι, καὶ τὰ ἓν προσώποις Τρία ὑμνῶ. ταῦτα Πατὴρ, Υἱὸς, καὶ ἅγιον

ἁγίου Πνεῦμα, μία δύναμις, βουλὴ καὶ ἐνέργεια. εἷς Θεὸς ὁ Τρισάγιος Βασίλειον ἓν μοναρχικώτατον. Καὶ νῦν.

Προέρχεται ὡραιώτατος, ἐκ θαλάμου τῆς γαστρός σου Θεός. ὥσπερ ἀνάκτων ἠμφιεσμένος, θεοΰφαντον ἁλουργίδα βαφῆς μυστικῆς. τῶν παννάγνων αἱμάτων σου Ἀνύμφευτε, καὶ βασιλεύει τῆς γῆς.

Ὠδὴ, η΄. Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσι.

Τῆς φοβερᾶς δευτέρας σου Κύριε, παρουσίας ἔννοων τὴν ὑπαντήν. τρέμω τὴν ἀπειλήν σου, φοβοῦμαι τὴν ὀργήν σου. ταύτης με τῆς ὥρας κραυγάζω σῶσον εἰς αἰῶνας.

Πάντων Κριτὰ Θεέ μου καὶ Κύριε, ἀκούσομαι σου φωνῆς τότε εὐκτικῆς. ἴδωσου φῶς τὸ μέγα, ἀθρήσω τὰς σκηνάς σου. βλέψω σου τὴν δόξαν, γηθόμενος εἰς τοὺς αἰῶνας.

Δικαιοκρίτα Σωτὴρ ἐλέησον, καὶ ῥῦσαί με τοῦ πυρὸς καὶ τῆς ἀπειλῆς. ἧς μέλλω ἐν τῇ κρίσει, δικαίως ὑποστῆναι. ἄνες μοι πρὸ τέλους, δι᾿ ἀρετῆς καὶ μετανοίας.

Ὅταν καθίσῃς Κριτὴς ὡς εὔσπλαγχνος, καὶ δείξῃς τὴν φοβερὰν δόξαν σου Χριστέ. ὢ ποῖος φόβος τότε, καμίνου καιομένης. πάντων δειλιώντων, τὸ ἄσεκτον τοῦ βήματός σου. Δόξα.

Ἕνα Θεὸν κατ᾿ οὐσίαν σέβομαι, τρεῖς ὑποστάσεις ὑμνῶ διοριστικῶς. ἄλλας ἀλλ᾿ οὐκ ἀλλοίας, ἐπεὶ Θεότης μία. ἐν Τρισὶ προσώποις. Πατὴρ Υἱὸς καὶ θεῖον Πνεῦμα. Καὶ νῦν.

Φωτεινῇ προελθὼν νηδύος σου, ὡς νυμφίος ἐκ παστοῦ ἔλαμψε Χριστός. φῶς τοῖς ἐν σκότει μέγα, καὶ ἥλιος Δικαιοσύνης. Ἥλιος ἀστράψας, ἐφώτισεν Ἁγνὴ τὸν Κόσμον. Ὠδὴ θ΄. Ἀπόρου συλλήψεως.

Ἔμφοβος καὶ ἔντρομος, Μωσῆς ἰδών σε γεγόνεν ἐκ τοῦ ὄπισω. πῶς δὲ ὑποστήσομαι τὸ πρόσωπόν σου βλέπων, τότε ἐγὼ ὁ τάλας. ἡνίκα ἔλθῃς ἐξ Οὐρανοῦ. ἀλλὰ φεῖσαί μου οἰκτίρμον, ἐν ἱλέῳ σου προσβλέμματι.

Τὸ πῦρ ἑτοιμάζεται, ὁ σκώληξ εὐτρεπίζεται, τῆς εὐφροσύνης. ἡ δόξα ἡ αἴνεσις, τὸ φῶς τὸ ἀνέσπερον, ἡ χαρὰ τῶν δικαίων, καὶ τίς μακάριος ἐκφυγεῖν. τιμωρίας τῶν προτέρων, κομισάμενος τὰ δεύτερα.

Μή με ἀποστρεψάτω, τοῦ σοῦ προσώπου Κύριε, θυμὸς ὀργῆς σου, μηδὲ εἰσακούσωμαι, φωνῆς κατηραμένης, εἰς πῦρ ἀποπεμπούσης. ἀλλ᾿ εἰσελεύσωμαι εἰς χαρὰν. τοῦ ἀφθάρτου σου νυμφῶνος, κἀγὼ τότε σὺν Ἁγίοις σου.

Ὁ νοῦς τετραυμάτισται, τὸ σῶμα μεμαλάκισται, νοσεῖ τὸ πνεῦμα. ὁ λόγος ἠσθένησεν, ὁ βίος νενέκρωται, τὸ τέλος ἐπὶ θύραις. διό μοι τάλαινα ψυχὴ, τί ποιήσεις ὅταν ἔλθῃ, ὁ Κριτὴς ἀνερευνῆσαι τὰ σά. Δόξα.

Μόνου μονογεννήτορ, μονογενοῦς Υἱοῦ Πατὴρ, καὶ μόνε μόνου. φῶς φωτὸς ἀπαύγασμα, καὶ μόνου μόνως μόνε, Θεοῦ ἅγιον Πνεῦμα, Κυρίου Κύριον ὄντως ὄν. ὦ Τριὰς μονὰς ἁγία, σῶσόν με θεολογοῦντάς σε. Καὶ νῦν.

Τὸ θαυ-

Τὸ θαῦμα τοῦ τόκου σου, ἐκπλήττει με πανάμωμε, πῶς συλλαμβάνεις ἀσπόρως τὸν ἄληπτον, εἰπὲ πῶς παρθενεύεις, γεννήσασα ὡς μήτηρ. τὸ ὑπὲρ φύσιν πίστει λαβὼν. τὸ τικτόμενον προσκύνει, ὅσα θέλει γὰρ καὶ δύναται.

Στιχηρὰ Κατανυκτικὰ Προσόμοια. ἦχος πλ. β'. Ἡ ἀπεγνωσμένη.

Ὁ Θεὸς ὁ θέλων πάντας σωθῆναι. ἐπίβλεψον, ἴδε τὴν προσευχήν μου. καὶ μή μου τὰ δάκρυα ὡς μάταια ἀπώσῃ. τίς γὰρ προσῆλθε σοι προσπίπτων, καὶ εὐθὺς οὐκ ἐσώθη. τίς δὲ ἐβόησε θερμῶς σοι, καὶ εὐθὺς οὐκ ἠκούσθη. καὶ γὰρ Δέσποτα ταχὺς εὑρίσκῃ. εἰς σωτηρίαν πᾶσι τοῖς αἰτοῦσι σε Κύριε, διὰ τὸ μέγα σου ἔλεος.

Ῥῦσαι με γεέννης ἀποκειμένης. ἐξελοῦ πυρός με τοῦ αἰωνίου. Κριτὰ δικαιότατε, τὸν κατακεκριμμένον. δέξον ἐκ ζάλης ἐναντίας, ἀνάλωτόν με Λόγε. τρέμω ὁ τάλας ἐννοῶν μου, τὸ τῶν πταισμάτων πλῆθος. καὶ προσπίπτω σοι μετὰ δακρύων, καὶ συντετριβῆς καρδίας μου, τὸ σὸν αἰτούμενος ἔλεος.

Τίς ἐμὲ μὴ κλαύσῃ τὸν παραβάντα. ἐντολὴν Δεσπότου δι' ἀκρασίαν. τὸν ᾅδην οἰκήσαντα, ἀντὶ τοῦ Παραδείσου. βρῶσις γλυκεῖα μοι φανεῖσα, εἰς χολὴν μετέτραπη. ξένος τῆς δόξης σου οἰκτίρμων, καὶ Ἀγγέλων ἐδείχθην. ἀλλὰ δέξαι με μετανοοῦντα, ὡς ἐλεήμων καὶ φιλάνθρωπος Κύριος, διὰ τὸ μέγα σου ἔλεος.

Τὸν ταῖς ἁμαρτίαις καταπτωθέντα. καὶ φιληδονίαις καταῤῥαγέντα. ἀνάστησον εὔσπλαγχνε, τῇ σῇ φιλανθρωπίᾳ. μή με ἐπίχαρμα δαιμόνων, συγχωρήσῃς γενέσθαι. μηδὲ ἀνάξιον ἐάσῃς, τῶν φρικτῶν μυστηρίων. ἀλλὰ πρόσδεξαι ὡς ἐλεήμων, πρὸ τῆς ἐξόδου στεναγμούς τε καὶ δάκρυα; καὶ τῶν παθῶν ἐλευθέρωσον. Δόξα.

Ἄνοιξόν μοι θύραν τῆς μετανοίας. δός μοι Παναγία πηγὴν δακρύων. παράσχου μοι κατάνυξιν, καὶ σώφρονα καρδίαν. σὲ γὰρ βεβαίαν προστασίαν, ἐπιγράφομαι μόνην. πᾶσαν ἐπὶ σὲ προσδοκίαν, τὴν ἐμὴν ἀναφέρω. μὴ ἀπώσῃ με κατῃσχυμμένον. ἀλλὰ προσδέχου τὴν μετάνοιαν Δέσποινα, διὰ τὸ μέγα σου ἔλεος. Καὶ νῦν.

Κατακαμπτομένην δυσφορωτάτῳ. βάρει τὴν ψυχήν μου τῷ τῶν πταισμάτων; καὶ κατασυγκύπτουσαν, ἀνόρθωσον Παρθένε. σὺ γὰρ τὸν τοὺς κατεῤῥαγμένους, ἀνορθοῦντα Σωτῆρα. ἔχεις πειθόμενον εὐκόλως, μητρικῇ παῤῥησίᾳ. καὶ διάῤῥηξον σῇ μεσιτείᾳ, τῆς ἁμαρτίας τὸ χειρόγραφον δέομαι, διὰ τὸ μέγα σου ἔλεος.

Τὸ Ἄξιόν ἐστιν, τὸ Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν. καὶ τὸ Κοντάκιον. ἦχος α'.

Ὅταν ἔλθῃς ὁ Θεὸς ἐπὶ γῆς μετὰ δόξης, καὶ τρέμουσι τὰ σύμπαντα. ποταμὸς δὲ τοῦ πυρὸς πρὸς τοῦ βήματος ἕλκει. καὶ βίβλοι ἀνοίγονται, καὶ τὰ κρυπτὰ δημοσιεύονται. τότε ῥῦσαί με ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου, καὶ ἀξίωσόν με ἐκ δεξιῶν σου μὲ στῆναι, Κριτὰ δικαιότατε. Τὸ κύριε ἐλέησον, μ. Ὁ ἐν παντὶ καιρῷ.

Καὶ καθ' ἑξῆς αἱ παροῦσαι Εὐχαὶ Κατανυκτικαὶ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον, κατὰ Ἀλφάβητον. Εὐχὴ ά.

Ἄχραντε πανάσπιλε σεμνὴ Παρθένε,
Βασιλέα τέξασα Θεὸν καὶ Λόγον.
Γένους τῶν βροτῶν ἀῤῥαγὴς προστασία,
Δῶρον οὖσα μέγιστον τῶν Ὀρθοδόξων.
Ἔμψυχε Ναὲ τοῦ Θεοῦ ζῶντος Λόγου,
Ζώωσον κἀμοῦ τὴν ψυχὴν νεκρωθεῖσαν
Ἡδοναῖς ἀτόποις τε καὶ ψυχοφθόροις.
Θαυμαστὸν παλάτιον τοῦ Βασιλέως,
Ἱλασμὸς πιστῶν καὶ ἀντίληψις Κόσμου,
Καὶ καταφυγὴ τῶν εἰς σὲ προστρεχόντων.
Λυχνία φωτὸς τοῦ ἀδύτου καὶ θείου,
Μαρία Θεόνυμφε παντὸς Κυρία,
Νοός μου διάλυσον τὴν σκοτομήνην.
Ξένον δέ με ποίησον τοῦ ἀλλοτρίου,
Ὅλικῶ ἀπὸ τῇ κακίᾳ πραθέντα.
Παῦσον τοὺς πολλοὺς στεναγμοὺς τῆς ψυχῆς μου,
Ῥῆξον τὰς σειρὰς τῶν κακῶν μου Παρθένε.
Σάλῳ κινδυνεύοντος παθῶν ποικίλων,
Τὰς οὐλὰς ἀφάνισον τὰς τῆς ψυχῆς μου.
Ὑπὸ γὰρ τὴν σὴν ἀῤῥωγὴν καταφεύγω.
Φαεινὴ παστὰς τοῦ ἀφθάρτου καὶ θείου,
Χάριν τὴν ἀένναον ἡ τετοκυῖα,
Ψυχήν μου ἀπάλλαξον παντοίας βλάβης.
Ὦ Μῆτερ Θεοῦ παντευλόγητε μόνη.

Εὐχὴ δευτέρα, καὶ αὐτὴ κατὰ Ἀλφάβητον, εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Ἀναμέλπω τὴν χάριν σου Δέσποινα,
Βηματίζειν ὀρθῶς με εὐόδωσον,
Γρηγορεῖν με πρὸς ὕμνον ἐνίσχυσον,
Δεδεμένον σειραῖς ὀφλημάτων μου,
Ἐν νυκτὶ καὶ ἡμέρα με φρούρησον,
Ζωοδότην Θεὸν ἡ κυήσασα,
Ἡ τὸ φῶς τὸ ἀνέσπερον τέξασα,
Θαυμαστὸν τοῦ Δεσπότου παλάτιον,
Ἰατρὸν ἡ τεκοῦσα ἰάτρευσον,
Κυματούμενον βίου τῷ κλύδωνι,
Λύτρωσαί με πυρὸς αἰωνίζοντος,
Δυσωπῶ σε τὸν νοῦν μου χαρίτωσον.
Τὰς ὁδοὺς τῶν Χριστοῦ διατάξεων.
Ῥαθυμίας τὸν ὕμνον διώκουσα.
Ἱκεσίας σου λῦσον Θεόνυμφε.
Πολεμίων ἐχθρῶν λυτρουμένη με.
Νεκρωθέντα με πάθεσι ζώωσον.
Τὴν ψυχήν μου τυφλώττουσαν φώτισον.
Οἶκον Πνεύματος θείου με ποίησον.
Τῆς ψυχῆς μου τὰ πάθη σου δέομαι.
Μετανοίας πρὸς τρίβους με ἴθυνον.
Τοῦ βρυγμοῦ τῶν ὀδόντων καὶ σκώληκος.

Μή με

Μή με δείξῃς δαιμόνων ἐπίχαρμα,
Νεοποίησον με παλαιούμενον,
Ξένον πάσης κολάσεως δεῖξόν με,
Ὅπως χαίρων δοξάζω πανάμωμε,
Παναγία Παρθένε ἐπάκουσον,
Ῥεῖθρα δός μοι δακρύων Πανάχραντε,
Στεναγμοὺς ἐκ καρδίας προσφέρειν σοι,
Τὴν οἰκτρὰν λειτουργίαν μου πρόσδεξαι,
Ὑπηρέτην γενέσθαι ἀξίωσον,
Φωτοφόρε σκηνὴ ἐνσκήνωσαί μοι,
Χεῖρας αἴρω καὶ χείλη πρὸς αἴνεσιν,
Ψυχοφθόρων σφαλμάτων με λύτρωσαι,
Ὦ τιμὴ καὶ προσκύνησις πρέπει ἀεί,
Τὸν πολλαῖς ἁμαρτίαις ὑπεύθυνον.
Ἀθεμίτοις πανάμωμε πταίσμασι.
Καὶ τῷ πάντων Δεσπότῃ οἰκείωσον.
Τὸν ἐκ σοῦ σαρκωθέντα Θεάνθρωπον.
Τῆς φωνῆς τοῦ ἀχρείου οἰκέτου σου.
Τῆς ψυχῆς μου τὸν ῥύπον καθαίροντα.
Ἀενάως εὐόδωσον Δέσποινα.
Καὶ Θεῷ τῷ εὐσπλάγχνῳ προσάγαγε.
Τοῦ Υἱοῦ καὶ Θεοῦ σου Παντάνασσα.
Τὴν τοῦ Πνεύματος χάριν ἀπεργάσαι.
Μολυνθέντα καθάρισον ἄσπιλε.
Τὸν Χριστὸν ἐκτενῶς ἱκετεύουσα.
Εἰς αἰῶνας αἰώνων ἀέναος.

Εὐχὴ τρίτη διὰ στίχου εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

ΠΑναγία Παρθένε βοήθησον,
Οὐ καιρὸς μετανοίας νῦν ἄθλιε,
Μετανοίας ἀργοῦσι τὰ δάκρυα,
Στεναγμοὶ ἐπιστροφῆς οὐκ ἀκούονται,
Ἡ παράκλησις ἄρτι ἠσθένησεν,
Ἀλλὰ ἀπέλθε λάβε τῶν ἔργων σου,
Κατακαίου ὡς ὕλη ἀκάθαρτος,
Πορεύου τοῦ γενέσθαι κατάβρωμα,
Ὡς τοῦ σκότους υἱὸς κατατρύφησον,
Ἐπαπόλαυσον μέλανα πρόσωπα,
Ἐκεῖ ἔσται κλαυθμὸς ἀκατάπαυστος,
Ὁ Θεὸς ὁ ἐλεήμων μὴ δώσῃς μοι,
Ἀλλὰ πρὶν παραστῶ σου τῷ βήματι,
Ἱκεσίαις Μητρὸς τῆς τεκούσης σε,
Ὅτι πρέπει σοι πᾶσα προσκύνησις,
Εἰς τὴν σὴν παρρησίαν γὰρ πάρεστιν.
Ἀλλ' ἀνταποδώσεως ἕστηκεν.
Τῶν κολάσεων δὲ περιασύουσι.
Ὀδυρμὸς γὰρ καὶ θρῆνος αἰώνιος.
Ἡ γὰρ κρίσις ἀνίλεως πράττεται.
Τὴν πικρὰν καὶ δεινὴν ἀνταπόδοσιν.
Ἀναφλέγων πυρὰν τῆς Κολάσεως.
Ἀκοιμήτου πυρὸς, πικροῦ σκώληκος.
Αἰωνίζοντα ζόφον ὡς ἔπραξας.
Ἐπειδὴ ἐβδελύξω φῶς ἄδυτον.
Καὶ βρυγμὸς τῶν ὀδόντων ἐπώδυνος.
Τὴν τοιαύτην κατάκρισιν δέομαι.
Τῶν σφαλμάτων μου πάρασχε ἄφεσιν.
Τῶν ἁγίων τε πάντων φιλάνθρωπε.
Δόξα καὶ τιμὴ εἰς τοὺς αἰῶνας, ἀμήν.

Εὐχὴ Κατανυκτικὴ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

ὩΣ ἐπὶ τοῦ φοβεροῦ σου καὶ ἀπροσοπολείπτου παρεστηκὼς βήματος Χριστὲ ὁ Θεὸς. καὶ δίκας ὑπέχων, καὶ λόγον ποιούμενος, τῶν ἐμοὶ πεπραγμένων κακῶν. οὕτω σήμερον πρὸ τοῦ φθάσαι τὴν ἡμέραν τῆς κατακρίσεώς μου, ἐπὶ τῷ ἁγίῳ σου Θυσιαστηρίῳ παριστάμενος, ἐνώπιόν σου, καὶ τῶν φοβερῶν καὶ ἁγίων Ἀγγέλων σου. κατακαμπτόμενος ὑπὸ τοῦ ἰδίου συ-

νειδότος, προσφέρω τὰς πονηράς μου καὶ ἀθέσμους πράξεις, θριαμβεύων αὐτὰς καὶ δημοσιεύων. Ἴδε Κύριε τὴν ταπείνωσίν μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. ἴδε ὅτι ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, αἱ ἀνομίαι μου. τί γὰρ οὐκ ἔπραξα κακόν; ποῖον ἁμάρτημα οὐκ ἐποίησα; ποῖον κακὸν οὐ διετυπωσάμην ἐν τῇ ψυχῇ μου; ἤδη δὲ καὶ ἐν τοῖς ἔργοις διεπραξάμην πορνείαν, μοιχείαν, ὑπερηφανίαν, ἀλαζονίαν, λοιδορίαν, βλασφημίαν, ἀργολογίαν, βρασμῶν γέλωτας, μέθην, γαστριμαργίαν, ἀδδηφαγίαν, μῖσος, φθόνον, φιλαργυρίαν, φιλοχρηματίαν, πλεονεξίαν, φιλαυτίαν, φιλοδοξίαν, ἁρπαγὴν, ἀδικίαν, αἰσχροκέρδειαν, ζηλοτυπίαν, καταλαλιὰν, παρανομίαν. πᾶσάν μου αἴσθησιν, καὶ πᾶν μέλος ἐμίανα, ἔφθειρα, ἠχρείωσα, ἐργαστήριον γενόμενος καθόλου τοῦ διαβόλου. καὶ οἶδα Κύριε, ὅτι αἱ ἀνομίαι μου ὑπερῇραν τὴν κεφαλήν μου, ἀλλ' ἀνείκαστον τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τὸ ἔλεος ἄφατον τῆς σῆς ἀνεξικάκου ἀγαθοσύνης, καὶ οὐκ ἔστιν ἁμαρτία ἡ νικῶσα τὴν φιλανθρωπίαν σου.

Διὸ πανθαύμαστε Βασιλεῦ, ἀνεξίκακε Κύριε, θαυμάστωσον καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ τὰ ἐλέη σου. δεῖξον τὴν τῆς χρηστότητός σου δύναμιν, καὶ ἐμφάνισον τὴν ἰσχὺν τῆς εὐσπλάγχνου ῥοπῆς σου. καὶ ἐπιστρέφοντα δέξαι με τὸν ἁμαρτωλόν. Δέξαι με ὡς ἐδέξω τὸν ἄσωτον, τὸν λῃστὴν, τὴν πόρνην. Δέξαι με τὸν ὑπερβαλλόντως καὶ λόγῳ, καὶ ἔργῳ, καὶ ἐπιθυμίᾳ ἀτόπῳ, καὶ ἐνθυμήσει ἀλόγῳ ἡμαρτηκότα σοι. Καὶ ὡς τοὺς περὶ τὴν ἑνδεκάτην ὥραν ἐδέξω, μηδὲν ἄξιον ἐργασαμένους, οὕτω δέξαι κἀμὲ τὸν ἁμαρτωλόν. πολλὰ γὰρ ἐπλημμέλησα, καὶ ἠσέλγησα, καὶ ἐλύπησα τὸ Πνεῦμά σου τὸ ἅγιον. καὶ παρεπίκρανα τὰ φιλάνθρωπά σου σπλάγχνα καὶ ἔργῳ, καὶ λόγῳ, καὶ διανοίᾳ, ἐν νυκτὶ καὶ ἡμέρᾳ, φανερῶς τε καὶ ἀφανῶς, ἑκουσίως τε καὶ ἀκουσίως. καὶ οἶδα ὅτι παραστήσεις τὰς ἁμαρτίας μου ἔμπροσθέν μου, τοιαύτας οἷαι καὶ παρ' ἐμοῦ γεγόνασι, καὶ συνάρεις λόγον μετ' ἐμοῦ, ὑπὲρ ὧν ἐν γνώσει ἀσύγγνωστα ἔπραξα ἁμαρτήματα. Ἀλλὰ Κύριε, Κύριε, μὴ τῇ δικαίᾳ σου κρίσει, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ἐλέησόν με Κύριε, ὅτι οὐ μόνον εἰμὶ ἀσθενὴς, ἀλλὰ καὶ σὸν εἰμὶ πλάσμα. Σὺ μὲν Κύριε ἐπεστήριξας ἐπ' ἐμὲ τὸν φόβον σου, ἐγὼ δὲ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. Σοὶ οὖν μόνῳ ἥμαρτον, ἀλλὰ δέομαί σου μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃ, Κύριε Κύριε, τίς ὑποστήσεται; Ἐγὼ γάρ εἰμι τὸ πέλαγος τῆς ἁμαρτίας. καὶ οὐκ εἰμὶ ἄξιος, οὐδὲ ἱκανὸς ἀτενίσαι, καὶ ἰδεῖν τὸ ὕψος τοῦ Οὐρανοῦ, ἀπὸ τοῦ πλήθους τῶν ἁμαρτιῶν μου, ὧν οὐκ ἔστιν ἀριθμός, Πᾶσαι γὰρ κακοπραγίαι, καὶ ἐπίνοιαι, καὶ μεθοδίαι σατανικαὶ, διαφθοραὶ, ῥαθυμίαι, μαλακίαι, παιδορθορίαι, μνησικακίαι, συμβουλίαι πρὸς ἁμαρτίαν, γαργαλισμοὶ, ἄλλα τε μυρία πάθη οὐκ ἐξέλιπον ἀπ' ἐμοῦ. Ποίοις γὰρ οὐ διεφθάρην ἁμαρτήμασι; Ποίοις οὐ συνεσχέθην κακοῖς;

Πᾶσαν ἁμαρτίαν διεπραξάμην, πᾶσαν ἀσωτίαν διεθέμην ἐν τῇ ψυχῇ μου. ἠχρείωμαι ἀπὸ σοῦ τοῦ Θεοῦ μου καὶ ἀνθρώπων. Τίς ἀναστήσει με τὸν ἐν τοιούτοις κακοῖς, καὶ τοσούτοις περιπεσόντα πλημμελήμασιν. Ἐπὶ σοὶ Κύριε ἤλπισα ὁ Θεός μου, εἰ ἔστι μοι σωτηρίας ἐλπίς. Εἰ νικᾷ ἡ φιλανθρωπία σου τὰ πλήθη τῶν ἀνομιῶν μου, γενοῦ μοι Σωτήρ. καὶ κατὰ τοὺς οἰκτιρμούς σου, καὶ τὰ ἐλέη σου, ἄνες, ἄφες, συγχώρησόν μοι πάντα ὅσα σοι ἥμαρτον, ὅτι πολλῶν κακῶν ἡ ψυχή μου ἐπλήσθη. καὶ οὐκ ἔστιν ἐν ἐμοὶ σωτηρίας ἐλπίς. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ μὴ ἀποδώσῃς μοι κατὰ τὰ ἔργα μου. ἀλλ᾽ ἐπίστρεψον, ἀντιλαβοῦ, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ τῶν συμφυέντων αὐτῇ κακῶν, καὶ δεινῶν προσλήψεων. Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, ἵνα ὅπου ἡ ἁμαρτία ἐπλεόνασεν, ὑπερπερισσεύσῃ ἡ χάρις σου. καὶ αἰνέσω καὶ δοξάσω σε διαπαντός, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Σὺ γὰρ εἶ Θεὸς τῶν μετανοούντων, καὶ Σωτὴρ τῶν ἁμαρτανόντων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι. καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Εὐχὴ Δευτέρα εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Ἡ χάρις σου δέδωκέ μοι τοῦ λαλεῖν πρὸς σὲ Κύριε, καὶ ὁ πόθος ὃν ἔχω πρὸς τὴν σὴν ἀγαθότητα, ἀναγκάζει με δεδιέναι. Ὁ μόνος Ἅγιος καὶ ἀγαθὸς καὶ πάντων ἡμῶν δημιουργός, συγχώρησον ἀνομίας, καὶ ἁμαρτίας δούλου σου ἁμαρτωλοῦ καὶ ἀγνώμονος. Οἶδα ὅτι ὑπερβάλλω ταῖς ἁμαρτίαις πάντα ἄνθρωπον Κύριε, ἀλλ᾽ ἔχω καταφυγὴν τὴν ὑπερβάλλουσαν ἄβυσσον τῶν σῶν οἰκτιρμῶν. Πέπεισμαι γάρ, ὅτι προσδέχῃ καὶ ἐλεεῖς πάντας τοὺς προσερχομένους τῇ σῇ χρηστότητι. καὶ προγνώστης ὢν Δέσποτα, καρδίαν τοῦ προσερχομένου βλέπεις, ἐὰν ἐξεδύσατο τὸν Κόσμον παντελῶς. πρὸ τοῦ φθάσαι αὐτὸν τὴν θύραν, ἀνοίγεις αὐτῷ. πρὸ τοῦ αὐτὸν προσπεσεῖν, χεῖρα ἐπιδίδως. πρὸ τοῦ βρύσαι αὐτὸν δάκρυα, τοὺς οἰκτιρμούς σου ἐπιρρίπτεις. καὶ ὡς ἐμπόρον ἐπιδημήσαντα μετὰ πλούτου πολλοῦ, οὕτω προσδέχῃ τὸν προσερχόμενόν σοι ἐξ ὅλης ψυχῆς. Ποθεῖς γὰρ ἰδεῖν τὴν μετάνοιαν, καὶ ἐπιθυμεῖς ἰδεῖν τὰ δάκρυα, καὶ χαίρεις ἐπὶ τῇ σπουδῇ τῶν ἀγωνιζομένων, εὑρεῖν τὴν καθαρότητα. Ἀλλ᾽ ἐπειδὴ οὐκ ἔστι δυνατὸν πραθῆναι ἰάματα τῆς χάριτός σου Κύριε, διὰ δὲ τῶν δακρύων παρέχεις αὐτὰ δωρεάν. δώρησαι κἀμοὶ τῷ ἀναξίῳ δούλῳ σου δάκρυα, ἵνα μετὰ φωτισμοῦ, καὶ πόθου, καὶ πίστεως, ἱκετεύω τὴν ἀνείκασόν σου ἀγαθότητα, ὅπως ἰαθῶ ἀπὸ τῶν κρυπτῶν μου τραυμάτων. Δεῖξον δὲ εἰς τὰ μέλη μου τὴν πολλήν σου εὐσπλαγχνίαν, εὔσπλαγχνε ἰατρέ, καὶ ἄσπιλα ποίησον τὰ τραύματά μου. Ἀπάλλαξόν με Κύριε ἀπὸ τῆς συνοχῆς τῶν ἀοράτων πολεμίων, καὶ κηρυχθήτω ἡ χάρις σου, ὅτι αὕτη με ἐρρύσατο. Ἔοικε Δέσποτα ὁ ἀληθινὸς ἡμῶν νοῦς, τῷ νεοφύτῳ ξύλῳ, χρήζοντι πάντοτε τῶν

πνοῶν

πνοίῳ τοῦ ὕδατος. οὕτως ἡ διάνοια ἡ ἡμετέρα ἀσθενὴς οὖσα, δέεται ἀδιαλείπτως ἀπὸ τῆς σῆς χάριτός τε καὶ φωτισμοῦ. Ἴασαί με Κύριε, καὶ ἰαθήσομαι. εἰ δὲ ἠθέτησα καὶ ἀθετῶ ὡς χοϊκὸς, ἀλλ' ὁ πληρώσας τὰς ὑδρίας ἀπὸ τῆς εὐλογίας σου, πλήρωσόν μου καὶ τὴν καρδίαν ἀπὸ τῆς χάριτος καὶ ἀγαθοσύνης σου. Ἡ εὔσπλαγχνος μήτηρ Κύριε, ἀθετουμένη ὑπὸ τοῦ ἰδίου βρέφους, οὐ θέλει ὑπεριδεῖν αὐτό. διότι νικᾶται ὑπὸ τῶν σπλάγχνων αὐτῆς. τὰ σπλάγχνα τοῦ πετεινοῦ, κέχυται ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ. καὶ καθ' ὥραν ἐπισκέπτεται αὐτὰ, καὶ βρώματα αὐτοῖς φέρει, καὶ κοπιᾷ, ἵνα ἐκθρέψῃ αὐτά. οὕτω καὶ ἡ σὴ εὐσπλαγχνία ἡττηθήσεται ὑπὸ τῆς ἐμφύτου σου ἀγαθότητος, ἐλεῆσαι τοὺς ἐξ ὅλης ψυχῆς ἐπικαλουμένους σε. Ἀλλ' ἐκεῖνα μὲν νήπια ὄντα, εἰς κρίσιν οὐκ ἔρχεται. ἐγὼ δὲ ὁ τάλας ἐν γνώσει ἁμαρτάνων, οἶδα ὅτι κριθήσομαι. Προσπίπτω οὖν τοῖς οἰκτιρμοῖς σου δεόμενος. Υἱὲ Θεοῦ μονογενὲς, ἵνα κατὰ πᾶσαν ὥραν, ἐπισκέπτεταί με ἡ χάρις σου τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον. καὶ γένηταί μοι αὕτη φωτισμὸς, καὶ καταφυγὴ, καὶ δύναμις, ἵνα καὶ ἐκεῖ ἐν τῇ φοβερᾷ ὥρᾳ τῆς δίκης, ὑπὸ τῶν πτερύγων αὐτῆς σκεπασθῶ. καὶ σταθῶ ἐκ δεξιῶν σου, μετὰ τῶν καλῶς ἀγωνισαμένων. καὶ εὐαρεστησάντων σοὶ, οἰκτειρηθεὶς χάριτι, σωθεὶς ἐν ἐλέει, δοξάζων καὶ εὐλογῶν τὴν ἀπειροδύναμόν σου ἀγαθότητα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

### Εὐχὴ τρίτη εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διὰ στίχου.

ΩΣ ἐνώπιον Κύριε τοῦ φοβεροῦ σου βήματος ἑστὼς ὁ κατάκριτος. καὶ τὸν ἔλεγχον βλέπων τῶν ἔργων μου. καὶ τὴν δοθεῖσάν μοι ψῆφον δικαίαν σου, ἀπορρίπτουσάν με τοῦ ἁγίου προσώπου σου, εἰς κολάσεις ἀφορήτους τὸν ἄθλιον. Καὶ ὡς πότε σοὶ μέλλων προσφθέγγεσθαι, νῦν κραυγάζω σὺν βρόμῳ καὶ δάκρυσι. Δίκαιος εἶ Κριτὰ δικαιότατε, καὶ δικαία ὑπάρχει ἡ κρίσις σου, ἐξ αὐτῆς γάρ ἐγὼ οὐκ ἠδίκημαι. Ἀγαθοὶ ἁγιώτατοι Ἄγγελοι. ἐπ' ἐμοὶ νῦν σταλάξατε δάκρυα. Ἐγὼ γὰρ ἐμαυτὸν οὐκ ἠλέησα, τοῦ Θεοῦ παραβλέψας τὸν ἔλεον. λοιπὸν ὄντως δικαίως κολάζομαι. Τὰ φιλάνθρωπα σπλάγχνα ἐλύπησα, τοῦ Θεοῦ καὶ δικαίως εὐθύνομαι. Ὅτι παρετίθη μοι τὸ ἔλεος ὁ Κύριος, καὶ ἐγὼ μὴ φρονῶν τούτου ἤκουον, καὶ εὐλόγως μὲν νῦν ἀποστρέφεται. Τότε δὴ ἀποκρίνονται οἱ Ἄγγελοι. Οὐ καιρὸς μετανοίας νῦν πάρεστιν, ἀλλ' ἀνταποδώσεως πέφυκεν. Ἡ παράκλησις ἄρτι ἠσθένησε, μετανοίας ἀργοῦσι τὰ δάκρυα, τῶν κολάσεων δὲ περιασδύουσι. Στεναγμοὶ ἐπιστροφῆς οὐκ ἀκούονται, ἀλλ' ἀπὸ τοῦ νῦν ὀδυρμὸς ἀτελεύτητος. Διὸ ἄπελθε λάβε τῶν ἔργων σου, τὴν πικρὰν καὶ δεινὴν ἀνταπόδοσιν. Καταφλέγου ὡς ὕλη ἀκάθαρτος, ἀναφλέγων τὴν ἄσβεστον γέενναν. Ἀκοιμήτου πυρὸς, πικροῦ σκώληκος, ὡς τοῦ σκότους υἱὸς καταβρόφησον. Ὡς ἠγάπησας ζόφον αἰώνιον, ἐπαπόλαυσον μέλαινα πρόσωπα, ἀνθ' ὧν ἐβδελύξω φῶς τὸ ἀΐδιον. Ἐκεῖ ἔσται κλαυθμὸς ἀκατάπαυστος, καὶ βρυγμὸς τῶν ὀδόντων κατώδυνος. Οἴμοι, οἴμοι, ψυχή μου ταλαίπωρε, γυμνὴ οὖσα χρηστῶν ὅλως πράξεων, πῶς θεάσῃ Κριτὴν τὸν ἀδέκαστον; Ἀρχαγγέλων ἑ-

ςώτων λειτυργικῶς, γηγενῶν παρεςώτων πάντων γυμνῶν. Τετραχηλισμένων πρὸ τῦ φρικτῦ, βήματος τῦ πάντων Δημιυργῦ. Ἡ γὰρ κρίσις ἀνίλεως ἐςαι ἐκεῖ, τοῖς μὴ πράξασιν ὧδε τὸν ἔλαιον. Τί ἂν εἴπω ψυχὴ ὀδυρόμϑμος, ὅπου ὐκ ἔςι τὶς ὁ λυτρύμενος; ἴδεσυ τὰ πταίσματα, ἴδε τὰ ὀφλήματα, τὸ μέλλον κριτήριον ἀναλόγισαι. Ἕως καιρὸς ἔςισοι, ςέναξον καὶ δάκρυσον, ὡς τῶν ἐγκλημάτωνσου λάβῃς ἄφεσιν. μὴ ἡ τελευταῖασε ὥρα καταλήψεται, ἐμπαθῆ ἀνέτοιμον καὶ ἀμετανόητον. οἷα τότε εἴπειμοι ψυχὴ ὀδυρόμενος, ἐπ' ἐδάφυς κείμϑμος ἀπορύμενος. Ὅτε παραγίνονται ἐπὶ σὲ οἱ Ἄγγελοι, ὅτε φόβος λείψεται καὶ τρόμοσσε ἄπειρος. Καὶ πικρῶς ςενάζουσα ἐννοεῖς ἃ ἔπραξας. ἀλλ' ἀπολογήσαθαι οὔπω δυώασαι. Φωτινοίσοι Ἄγγελοι μύριοι παρίςανται, καὶ δαιμόνων ἄπειρα πλήθη παραγίνεται. Οἱ μϑὺ ἔνθεν ἕλκυσιν Ἄγγελοι φιλάνθρωποι, οἱ δὲ ἀντισπῶσισε μισάνθρωποι. Τότεσου τὰ ὄμματα πυκνὰ περιςρέφεται, καὶ ὐδεὶς ὁ σώζωνσε, καὶ ῥυόμϑμος. Ἀλλὰ μετανόησον, ἀλλὰ σπεῦσον, πρόφθασον, πρὶν ἐκείνη φθάσεισε ὥρα ἡ ἀπότομος. καὶ φόρτον ἀπόῤῥιψον τῶν ἁμαρτημάτωνσου. Ψυχὴ κατανύγηθι, τῶν παθῶνσου χωρίσθητι, καὶ τῇ μετανοίᾳ ζωῆ ἤδη οἰκειώθητι. Μὴ ὡς ὀρυόμενος λέων ἐφαρπάσῃσε, ἀθρόον ὁ ἀθάνατος ὁ ἀνίλεως. Μόνε ἀναμάρτητε, μόνε πολυέλεε, ὁ πηγάζων ἔλεος καὶ χρηςότητα. Ὁ σωθῆναι ἅπαντας ἀνθρώπους βυλόμενος, καὶ μὴ θέλων θάνατον τῶν ἁμαρτανόντωνσοι. Ὁ προσκαλεσάμενος πάντας εἰς μετάνοιαν, σοὶ προσπίπτω. Δέσποτα δοῦλος ὁ κατάκριτος. Σοὶ χεῖρας πετάννυμι ὁ πάντων ὑπεύθυνος, σοὶ αἴρω τὰ ὄμματα τῆς καρδίαςμου. Καὶ δέομαι Δέσποτα τῆς σῆς ἀγαθότητος, σῶσονμε τὸν ἄθλιον τὸν πολλάσοι πταίσαντα. Πάντας ὑπερβέβηκα τὺς ἡμαρτηκότασσοι, πάντας ὑπερέβαλον ἐν τοῖς πάθεσι. Ποῖονμε καταλείψεται σκότος τὸν δείλαιον, ποῖονμε ὑποδέξεται πῦρ τὸν ἄσωτον; Κλίνωσοι τὰ γόνατα καὶ πρὸς γῆν τὸ πρόσωπον, ῥίπτω καὶ σὺν δάκρυσι κλαίω καὶ ὀδύρομαι. Καὶ βοῶσοι Κύριε, Κύριε βοήθειμοι, καὶ τῶν συνεχόντωνμε παθῶν ἀπολύτρωσαι, καὶ μὴ παρίδῃς τὴν οἰκτράνμου δέησιν. Μολυνθείσας ἐκτείνω τὰς χεῖρασμυ, μὴ ἀπώσῃμε πάθεσι βρύοντα. ἀλλὰ τῇ σῇ μόνῃ εὐσπλαγχνίᾳ σου, ἐπ' ἐμὲ φιλανθρώπως ἐπίβλεψον. Ἐμαυτὸν ἡδοναῖς κατεῤῥύπωσα, καὶ ψυχῆς τὸ ὡραῖον ἠτίμασα. σαρκικοῖς ἐδυλώθην φρονήμασι, καὶ τὴν πρὶν δεσποτείανμυ ὤλεσα. Τοῦ ἐχθρῦ συμβυλεύοντος ἤκυσα, καὶ παθῶν ἀνετύπωσα εἴδωλα. Τῆς γαςρὸς τὰς ὀρέξεις ἐτέλεσα, καὶ τῦ νῦ τὸ φαιδρὸν ἀπημαύρωσα. Ἐν τιμῇ ὢν γνησίας υἱότητος, ἀνοήτοις ὡμοίωμαι κτήνεσι. Καὶ φρικτὸς ἔχει φόβος καὶ τρόμοσμε, τὴν τομὴν τῦ θανάτου προβλέποντα. Ἐρχομϑμην ἀδήλως εἰς ἅπαντας, ἐμαυτὸν ἀδιόρθωτον ἔχοντα. Ἐκ βαθέων κραυγάζωσοι Κύριε, καὶ ςενάζων προσπίπτω σὺν δάκρυσιν. Ἵλεόςμοι γενῦ καὶ φιλάνθρωπος, τῷ ἐν σοὶ τὰς ἐλπίδασμυ ἔχοντι. Τὴν ὀργὴν ἐκφυγεῖνμε τὴν μέλλυσαν, τῆς ἐκεῖ κατακρίσεως ποίησον. Τὴν λιθώδη ψυχήνμυ εὐδόκησον, ἀρεταῖς ἐποφθῆναι πολύτεκνον. Λογισ-

μὺς

μὲς τοὺς ἀκάρπους με ἔκτειλον, ἐν πυρὶ τοῦ ἁγίου Πνεύματος. Μὴ ὡς δένδρον ἐκκόψῃς με ἄκαρπον, καὶ εἰς πῦρ ἀποπέμψῃς τὸ ἄσβεστον. Μὴ φλογὸς ὕλην δείξῃς με ἄχυρον, ἀλλ᾽ ὡς σῖτον Θεέ με εἰσάγαγε. Γόνυ κλίνω καρδίας ὁ τάλας ἐγὼ, μὴ τολμῶν ἀτενίσαι εἰς Οὐρανοὺς. Δέξαι δέησιν στόματος ῥυπαροῦ, ἀναμάρτητε μόνε Δημιουργέ. Βασιλεὺς ὢν ἁπάντων καὶ παναλκὴς, τὸν ἀντάρτην βελίαρ καταβαλὼν, ἐκ παντοίων με ῥῦσαι ἀνομιῶν. Ἑορτάζουσιν Ἄγγελοι καὶ βροτοὶ, τὴν ἐμὴν καθορῶντες ἐπιστροφήν. Ζωηφόρον παρεῖδον σου ἐντολὴν, ἠπατήθην ἐν πράξεσι βδελυραῖς. Μὴ βδελύξῃ με Δέσποτα ἀγαθὲ, τῆς δουλείας με ῥῦσαι τοῦ πονηροῦ. Μετὰ φόβου καρδίας σὲ δυσωπῶ, τὸν βουλήσει με πλάσαντα θεουργῷ, καὶ πολλαῖς με πλουτήσαντα δωρεαῖς. Ἀγαπήσαντα σφόδρα ὡς δι᾽ ἐμὲ, σαρκωθῆναι καὶ μόνον ὑπενεγκεῖν. Νῦν ἀμνήμων δὲ ὤφθην τάλας ἐγὼ, τῆς τοσαύτης ἀγάπης σου λυτρωτά. Ὅλως δοῦλος γενόμενος ἡδοναῖς, καὶ μιάνας τὸ σῶμα καὶ τὴν ψυχὴν. Καθ᾽ ἑκάστην τὸ ἥμαρτον ἐκβοῶ, καὶ τοῦ πράττειν οὐ παύομαι τὰ δεινά. Νῦν κατάκριτος ἵσταμαι ἀγαθὲ, ἀλλὰ δός μοι τὴν ἄφεσιν τῶν κακῶν, ὡς Θεὸς ἐλεήμων καὶ συμπαθής. Θεοτόκε Παρθένε Μήτηρ Θεοῦ, ἡ Οὐράνιος πύλη καὶ κιβωτὸς. σωτηρίαν σε κέκτημαι ἀσφαλῆ, σῶσον, σῶσον με Δέσποινα δωρεάν. Λεγεῶνες Ἀγγέλων ἐν Οὐρανοῖς, πλεονάκις στενάζουσιν ἐπ᾽ ἐμὲ. Μὴ ἁρπάσουσιν αἴφνης μου τὴν ψυχὴν, καὶ πορεύσομαι ῥεύμασι τοῦ πυρός. Νομοθέται Ἀπόστολοι φοβεροὶ, καθεζόμενοι σύνθρονοι τῷ Κριτῇ. Ξιφηρέστατοι Ἄγγελοι καὶ φρικτοὶ, μερμηρῶται καρδίας ἁμαρτωλῶν. Ὀλολύζεται τότε πᾶσα πνοὴ, οὐ γὰρ ἔχουσι πέρας φεῦ τὰ δεινά. Προκατάλαβε ταῦτα πάντα ψυχὴ, μιμουμένη τῆς πόρνης τὸν ὀδυρμόν. Τότε ῥῦσαι με Σῶτερ τῆς φοβερᾶς, ἀπειλῆς τῶν κολάσεων τῶν φρικτῶν. Σὲ ὑμνοῦσιν ἀπαύστως τὰ Χερουβὶμ, τετραμόρφοις ὀχούμενον Σεραφίμ. Ἐπουράνια σύμφη λειτουργικῶς, ἐν μονάδι Τριάδα σὲ ἀνυμνεῖ. Φῶς ὑπάρχεις ἀγέννητον ὁ Πατὴρ, καὶ συνάναρχον ἔχεις τὸν σὸν Υἱὸν. Συναΐδιον ἔχεις Πνεῦμα τὸ σὸν, τὸ δωρούμενον πᾶσι πνοὴν ζωῆς. Ὡς οἰκτίρμων καὶ εὔσπλαγχνος καὶ χρηστὸς, ταῖς λιταῖς τῶν Μαρτύρων καὶ Προφητ. Ἀποστόλων Ὁσίων Ἱεραρχῶν, καὶ ἡμῶν δεομένων δέξαι φωνάς. Ὑπερουράνιε Πάτερ, Κύριε δόξα σοι.

Καὶ εὐθὺς τὸ Ἄσπιλε ἀμόλυντε. Καὶ δὸς ἡμῖν Δέσποτα, ὡς συνήθες. Καὶ ἡ Ἀπόλυσις.

Τέλος τῆς Ἀκολουθίας τοῦ Σαββάτου Ἑσπέρας.

Εὐχὴ ἱκέσιος εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, λεγομένη καθ᾽ ἑσπέραν, μετὰ τὴν Ἀπόλυσιν τοῦ Ἀποδείπνου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν Οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. ἐλέησόν με, καὶ συγχώρησόν μοι τῷ ταλαιπώρῳ, καὶ ἁμαρτωλῷ καὶ ἀχρείῳ δούλῳ σου, καὶ τὸ συμφέρον τῇ ταπεινῇ μου ψυχῇ οἰκονόμησον. καὶ πάσας ἄφες τὰς ἁμαρτίας μου, καὶ ὁδήγησόν με πρὸς

σωτηρίαν. Κύριε ὁ Θεόςμου, μὴ ὑστερήσῃςμε τῆς Ἐπουρανίουσου Βασιλείας. Κύριε ὁ Θεόςμου, τῆς σαρκόςμε τῶν παθῶν ἐλεύθέρωσον, καὶ ἐκ τοῦ πολέμου τῶν πονηρῶν καὶ ῥυπαρῶν, καὶ ἀκαθάρτων λογισμῶν ἀπάλλαξον. Κύριε ὁ Θεόςμου, λύτρωσαίμε ἀπὸ τῶν παγίδων τοῦ διαβόλου. ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόνμε, ὅτι ἀσθενὴς εἰμὶ ψυχῇτε καὶ σώματι. Κύριε ὁ Θεόςμου, σκέπασόνμε τῇ παντοδυνάμῳ καὶ κραταιᾷσου χειρὶ ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις τὰς ἁμαρτίας μου, σὺ ὡς θέλεις ἐξάλειψον αὐτάς. Κύριε ὁ Θεόςμου, δόςμοι ἀγαθοὺς Ἀγγέλους, ὁδηγοῦντας καὶ κυβερνοῦντάςμε. Κύριε ὁ Θεόςμου, οὐδὲν ἐποίησα ἀγαθὸν ἐνώπιόνσου, ἀλλὰ δόςμοι διὰ τὴν σὴν χρηστότητα, βαλεῖν ἀρχὴν ἀγαθὴν, καὶ ὁδήγησόνμε πῶς σωθῶ. Μνήσθητι Κύριε πάσης ψυχῆς Χριστιανικῆς θλιβομένηςτε καὶ καταπονουμένης, ἐπικαλουμένης τὸ φοβερὸν καὶ ἅγιον ὄνομάσου. Μνήσθητι Κύριε τῶν ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Μνήσθητι Κύριε, τῶν πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων. Μνήσθητι Κύριε, τοῦ Πνευματικοῦμου Πατρὸς, καὶ πάσης τῆς ἐν Χριστῷ μου Ἀδελφότητος, καὶ τὸ συμφέρον τῆς ψυχῆς αὐτῶν οἰκονόμησον. Μνήσθητι Κύριε τῶν κατὰ σάρκα γεννησάντων καὶ ἀναθρεψάντωμε. Μνήσθητι Κύριε, τῶν παιδευσάντων καὶ διδαξάντων ἡμᾶς εἰς τὸν φόβονσου. Μνήσθητι Κύριε, τῶν μισούντων καὶ ἀγαπόντων ἡμᾶς, καὶ τῶν αἰτεμείων καὶ ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Μνήσθητι Κύριε πάντων τῶν διακονούντων καὶ διακονησάντων ἡμῖν διὰ τὸ ὄνομάσου τὸ ἅγιον. Μνήσθητι Κύριε πάντων τῶν προαπελθόντων Πατέρων, καὶ Ἀδελφῶν ἡμῶν, συγγενῶν καὶ γνωστῶν, καὶ πάσης ψυχῆς Χριστιανῶν. καὶ ἀνάπαυσον αὐτοὺς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπουσου. καὶ τοῖς μισοῦσι καὶ ἀδικοῦσιν ἡμᾶς, συγχώρησον, φιλάνθρωπε. τοῖς ἀγαθοποιοῦσιν ἀγαθοποίησον. τοὺς ἐν ἀσθενείᾳ ἐπισκέψαι, καὶ ἴασιν δώρησαι. τοῖς ὁδοπορεῦσι συνόδευσον. Μνήσθητι Κύριε τῶν ἐν αἰχμαλωσίᾳ καὶ θλίψεσιν ὄντων ἀδελφῶν ἡμῶν, καὶ ῥῦσαι αὐτοὺς ἀπὸ πάσης θλίψεως, καὶ ἀνάγκης, καὶ περιστάσεως. Μνήσθητι Κύριε καὶ τῆς ἐμῆς ἐλεεινότητος, καὶ συγχώρησόνμοι τῷ ἁμαρτωλῷ εἴτε ἐν λόγῳ ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν ἥμαρτον. καὶ λύτρωσαίμε ἀπὸ πάσης ἀγνοίας καὶ λήθης, καὶ ῥαθυμίας, καὶ τῆς λιθώδους ἀναισθησίας, καὶ μὴ ἐγκαταλίπῃςμε. Κύριε φώτισον τὴν καρδίανμου, ἣν ἐσκότισεν ἡ πονηρὰ ἐπιθυμία. Κύριε, ἐγὼ μὲν ὡς ἄνθρωπος ἥμαρτον, σὺ δὲ ὡς Θεὸς συγχώρησον, καὶ ἐλέησόνμε. Κύριε, ἴδε τὴν ἀσθένειαν τῆς ψυχῆςμου, καὶ πέμψονμοι τὴν χάρινσου εἰς βοήθειάνμου, ἵνα ἐν ἐμοὶ δοξασθῇ τὸ ὄνομάσου τὸ ἅγιον. Κύριε, γράψον τὸ ὄνομα τοῦ ἀχρείου δούλουσου ἐν βίβλῳ ζωῆς, χαριζόμενόςμοι καὶ τέλος ἀγαθόν. Κύριε ὄμβρισον εἰς τὴν καρδίανμου τὴν δρόσον τῆς χάριτόςσου, καὶ μνήσθητίμου ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳσου. ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ΤΗ͂ ΚΥΡΙΑΚΗ͂ ἙΣΠΕΡΑΣ ΜΕΤΑ῀ ΤΟ῀ ἈΠΟΔΕΙΠΝΟΝ,

Κανὼν ἦχος πλ. δ΄. Ὠδὴ ά. Ὑγρὰν διοδεύσας.

ΡΥσαιμε γεέννης τῶ ἐμαυτῷ. δι' ἔργων ἀτόπων, προεξένησα Λυτρωτά. καὶ τῆς σῆς ἀγάπης ἀναψόν μοι, ἐν διανοίᾳ τὸ πῦρ τὸ μακάριον.

Ὑπέκυψα πάθεσι σκοτισθείς. καὶ ἄλογος ὤφθην, λόγῳ Κύριε τιμηθείς. ἀνάνηψιν, δίδου τῇ ψυχῇ μου, καὶ οἷς ἐπίστασαι κρίμασι σῶσον με.

Τὸν ἄγρυπνον φύλακα τῆς ἐμῆς. ψυχῆς καὶ προστάτην, τῆς ζωῆς μου καὶ ὁδηγόν, Θεόθεν ὃν ἔλαχον ὑμνῶ σε, Ἄγγελε θεῖε Θεοῦ παντοκράτορος.

Νυκτὶ συνεχόμενον ζοφερᾷ. καὶ μέλανι γνόφῳ, καλυπτόμενον τῶν παθῶν. φωτὶ μετανοίας αὔγασόν με, ὁ ὁδηγὸς τῆς ψυχῆς μου καὶ φύλαξ αὐτῆς. Δόξα.

Ἴασαι νοσοῦντά με χαλεπῶς. τῆς θανατηφόρου, ἀσθενείας τῶν σαρκικῶν. ἁγνὴ ψυχικῶν τε παθημάτων, ὅπως ἐν πίστει ἀεὶ μακαρίζω σε. Θεοτοκίον.

Ταλαίπωρον σὺ Δέσποινα καὶ λιμήν. τῶν χειμαζομένων, ἐν πελάγει ἁμαρτιῶν. διό σοι προστρέχω τῷ λιμένι, κλυδωνιζόμενος σάλῳ ποικίλων παθῶν.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

ΠΟίοις βλέψω σε τότε, Χριστὲ Σωτὴρ ὄμμασι. μίαν ἐπὶ γῆς ἐντολὴν σου μὴ ἐργασάμενος. πῶς τῷ ἀστέκτῳ σου, παραστήσομαι θρόνῳ. λόγων τῶν ἀμέτρων μου, κακῶν ποιούμενος.

Ὑφαπλώσας ἀγκάλας, σῶν οἰκτιρμῶν δέξαι με. ἄσωτον ὡς πρὶν ἐφ' ὁμοίοις, ἔργοις δουλεύσαντα. ἀτίμοις πάθεσι, καὶ ἀπὸ σοῦ μακρυνθέντα. Ἰησοῦ φιλάνθρωπε, καὶ ὑπεράγαθε.

Ὁ ὁρῶν ἀοράτως, τὸ τοῦ Θεοῦ πρόσωπον. τοῦ ἐν οὐνοῖς καθημένου, καὶ ἐπιβλέποντος ἐπὶ τὴν γῆν νοερῶς, καὶ τρέμειν ταύτην ποιοῦντος. αἴτησαι σωθῆναί με, ἅγιε Ἄγγελε.

Λύπης καὶ ἀθυμίας παρεκτικὸς γίνομαι. ὡς ἀμετανόητος μένων, καὶ ἀδιόρθωτος. διό μοι δώρησαι, μετανοῆσαι γνησίως. καὶ χαροποίησαί σε τὸν ἐμὸν φύλακα. Δόξα.

Σὲ φρουρὸν Παναγία ἐν πειρασμοῖς κέκτημαι. σὲ μετὰ Θεὸν προστασίαν, ἔχω ἀκοίμητον. σὲ ῥυομένην με, ἐν τῇ ἡμέρᾳ τῆς δίκης. πάσης κατακρίσεως, εὔφροιμοι Πάναγνε. Θεοτοκίον.

Νοῦν καὶ φρένα καὶ λόγον, δῶρον Θεοῦ εἴληφα. ὅπως ἐπιγνοὺς τὸν Δεσπότην, ἔργοις τιμήσω καλοῖς. ἐγὼ δὲ πάθεσι, τὴν δωρεὰν ἀτιμάσας, τὸν δοτῆρα ὕβρισα, Δέσποινα σῶσον με.

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

ΟΥκ ἐννοῶν, τὸ φοβερὸν δικαστήριον. ἐν ᾧ μέλλω, Σῶτερ παραστήσεσθαι, καὶ δοῦναι λόγον περὶ παντός, ἔργου τε καὶ λόγου, μηδὲ θανάτου τὸ ἄδηλον. εἰς νοῦν λαμβάνων ὅλος, ἀδιόρθωτος μένω. ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με.

Ἴδε Χριστὲ, καὶ μὴ παρίδῃς με δέομαι ἁμαρτίας, πάσαις συνεχόμενον. ἀλλ' ἱκεσίαις τῶν ἱερῶν, πάντων σου Ἀγγέλων, Μαρτύρων καὶ Ἀποστόλων σου. οἰκτείρησόν με σῶσον, καὶ τῆς σῆς Βασιλείας. κληρονόμον με δεῖξον ὡς εὔσπλαγχνος.

Ἐπιμελῶς, πᾶσαν κακίαν ἐτέλεσα. νηπιόθεν, καὶ οὐκ ἐπαυσάμην ὥσπερ, τὸν πλαστουργόν μου καὶ ποιητὴν. τοῦ παραπικραίνειν, ἀθέσμοις λόγοις καὶ πράξεσι. διὸ μή με ἀπώσῃ, ἀλλ' ἐπίστρεψον σῶσον. τῷ ἐλέει σου μόνε μακρόθυμε.

Λόγου Θεοῦ, μακροθυμίαν μιμούμενος. τοῦ ἐλθόντος, ὅπως εἰς μετάνοιαν, καλέσῃ πάντας ἁμαρτωλοὺς. καὶ ἐκδεχομένου, αὐθαίρετον τὴν διόρθωσιν. ὡσαύτως ἱκετεύω, σὺν ἐμοὶ μακροθύμως. θεῖε Ἄγγελε φύλαξ παράμεινον. Δόξα.

Θεὸν ἐκ σοῦ, τὸν σαρκωθέντα δυσώπησον. τὸν ἀτρέπτως, ὅλην διαμείναντα, καὶ φυσικῶς ἴσον τῷ Πατρὶ. καὶ σοὶ τῇ Τεκούσῃ, γνωριζόμενον Ὁμοούσιον. συγχώρησιν πταισμάτων, καὶ ψυχῶν σωτηρίαν. τοῖς ὑμνοῦσι σε πίστει δωρήσασθαι. Καὶ νῦν.

Ὀδυνηρῶς, τῆς ἁμαρτίας τοῖς βέλεσι. τὴν ψυχήν μου, ὅλην ἐτραυμάτισε, καὶ κατεμόλυνεν ἡδοναῖς. τὴν ἐμὴν καρδίαν, καὶ τῆς ὁδοῦ ἀπεπλάνησε. Παρθένε τῆς εὐθείας, διὰ τοῦτο βοῶ σοι. ἐπιστρέφοντα δέξαι καὶ σῶσον με.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ο Τὸ αἷμά σου Λόγε. διὰ ὑπερβάλλουσαν ἐλέους ἄβυσσον. ἐν Σταυρῷ κενώσας, τῶν παθῶν μου τὴν ἄβυσσον ξήρανον. καὶ ἐν κατανύξει, σοὶ τῷ Θεῷ εὐαρεστῆσαι. τὸ λοιπὸν τῆς ζωῆς μου ἀξίωσον.

Τὸν υἱὸν ὥσπερ πάλαι. χήρας ἐξανέστησας τῷ σῷ προστάγματι. κἀμὲ νεκρωθέντα, ἁμαρτίαις ἀμέτροις καὶ κείμενον. ἀναισθησίας τάφῳ, ὡς συμπαθὴς ἀπολυτρώσας. ζωοποίησον μόνε φιλάνθρωπε.

Νοεραὶ σε Δυνάμεις. νῦν καθικετεύουσιν εὔσπλαγχνε Κύριε. Ἐξουσίαι Θρόνοι, Σεραφὶμ Κυριότητες Ἄγγελοι. σὺν τοῖς Ἀρχαγγέλοις, καὶ ταῖς Ἀρχαῖς τοῦ οἰκτειρῆσαι. τὸν σὸν δοῦλον πανάγαθε Δέσποτα.

Σὺν πολλῇ παῤῥησίᾳ. Θρόνῳ παριστάμενος τοῦ Παντοκράτορος. ὁδηγὲ καὶ φύλαξ, τῆς ψυχῆς μου πανάγιε Ἄγγελε. τῶν πολλῶν κακῶν μου, παραχεθῆναι μοι συγγνώμην. ὑπερασπιστής μου δεήθητι. Δόξα.

Διαμένειν με σῶον. μὴ παρατρεπόμενον στάσεως κρείττονος. ἀλλ' εὐθυποροῦντα, καὶ ἀεὶ τὰ εὐάρεστα πράττοντα. ἐνδυνάμωσόν με, ὡς Ποιητὴς καὶ Λυτρωτής μου, τῶν Ἁγίων σου πάντων δεήσεσιν. Θεοτοκίον.

Ἐν νυκτὶ τῇ τοῦ βίου. θύελλα κατέλαβε πάσης κακώσεως. καὶ ἐκάλυψέ με ἀσθενείας Παρθένε σκοτόμαινα. ἀλλ' ἀνάτειλόν μοι, ἡ ἀναψυχῆς Πάναγνε φέγγος, καὶ πρὸς φῶς εὐρωστείας ὁδήγησον.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτὴρ.

ΕἸς πέλαγος ἀχανὲς ἁμαρτιῶν περικείμενον. καὶ κύματά με κακῶν, ὠθεῖ εἰς ἀπόγνωσιν, κυβερνῆτα Κύριε. βοηθείας χεῖρα, ὡς τῷ Πέτρῳ κἀμοὶ ὄρεξον. Παράλυτον ὡς τὸ πρὶν, συνέσφιγξας Πολυέλεε. προστάγματι θεουργῷ, κάμὲ τῶν

μὲ τῶν πταισμάτων μου, τῷ τάφῳ προσκείμενον. οἰκτηρήσας δίδου τὴν ὑγείαν ὑπεράγαθε.

Ῥυσθείημεν τῆς ἐκεῖ, ἀποκειμένης Κολάσεως. δεήθητε Χερουβὶμ, Θρόνοι Κυριότητες, Ἄγγελοι, Ἀρχάγγελοι. Ἀρχαὶ καὶ Δυνάμεις, τὸν φιλάνθρωπον Θεὸν ἡμῶν.

Τῶν Ἀσωμάτων Χριστὲ, τὰ τάγματα δυσωποῦσί σε. Μαρτύρων καὶ Προφητῶν, καὶ τῶν Ἀποστόλων σου, ἐλέησον οἴκτειρον. ἐμὲ τὸν σὸν δοῦλον, ἀπὸ πάσης περιστάσεως. Δόξα.

Ἡ ἀγεώργητος γῆ, τὸν Γεωργὸν ἡ κυήσασα. καὶ πάντων δημιουργὸν, τὴν ὑλομανήσασαν, ψυχήν μου τοῖς πάθεσι. δεῖξον καρποφόρον, διὰ θείας ἐπιγνώσεως. Καὶ νῦν.

Παρέβην τὰς ἐντολὰς, τὰς πρὸς Θεὸν ὁδηγούσας με. καὶ θέλων τοῖς πονηροῖς, δεδούλωμαι πάθεσι, διὸ ἱκετεύω σε. τῆς αὐτῶν με ῥῦσαι, δεσποτείας Ἀειπάρθενε. Κοντάκιον. ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ τῆς ψυχῆς μου φυλακτὴρ καὶ τοῦ σώματος. ἀφορισθείς μοι ἐκ Θεοῦ θεῖε Ἄγγελε. Θεομιμήτως πάριδε πανάγιε. ἅπαντα τὰ πταίσματα, τῆς ἀθλίας ψυχῆς μου. ῥῦσαι τῶν δολίων με, τοῦ βελίαρ παγίδων. καὶ τὸν κοινὸν ἱλέωσαι Θεὸν, ἵνα ἐν κρίσει παρέξῃ μοι ἄφεσιν. Δόξα.

Ἀΰλοις ἐν σώμασι, Τριὰς ὑπέρθεε. ἀπαύστως ὑμνοῦσί σε, τῶν Ἀσωμάτων χοροί. καὶ φόβῳ παρίστανται. Ἅγιος ἐκβοῶντες, Τρισυπόστατε φύσις. ἐλέησον τῶν χειρῶν σου, τῶν οἰκείων τὸ πλάσμα. αὐτῶν ταῖς ἱκεσίαις, μόνε φιλάνθρωπε. Θεοτοκίον.

Ἐπάκουσον Δέσποινα, ἐκ κατωδύνου ψυχῆς. βοῶντος τοῦ δούλου σου, καὶ τῶν πολλῶν μου κακῶν. παράσχου μοι ἄφεσιν. σὲ γὰρ ἔχω προστάτιν, ἐν νυκτὶ καὶ ἡμέρᾳ. λύτρωσαι Θεοτόκε, τοῦ πυρὸς τῆς γεέννης. καὶ στῆσον ἐκ δεξιῶν με τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Στεναγμοῖς μοι παράσχου. ὡς ποτὲ τῷ τελώνῃ καὶ ὡς τῇ πόρνῃ Χριστέ. δάκρυσιν ἀποπλῦναι, τὰ ἕλκη τῶν κακῶν μου, μελῳδοῦντά με οἴκτειρον. ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τὸν λησταῖς ψυχοφθόροις, Σῶτερ περιπεσόντα, καὶ πληγωθέντα δεινῶς. ἰάτρευσον ἐλαίῳ, γνησίας μετανοίας, καὶ κατάνυξον ψάλλοντα. ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὡς ὡραῖος τῷ κάλλει. καὶ γλυκὺς καὶ χαρίεις ὁ ἡλιόμορφος νοῦς. τῶν σῶν πτερύγων σκέπῃ, Φρουρέ μου σκέπασόν με, ἐκδημοῦντα τοῦ σώματος. ὡς μὴ ἰδεῖν δυσειδῆ, πρόσωπα τῶν δαιμόνων.

Ὅταν μέλλῃ με κρῖναι. ὁ Κριτὴς καὶ Θεός μου καὶ κατακρῖναί με. τὸν κατακεκριμμένον, ὑπὸ τοῦ συνειδότος, πρὸ ἐκείνης τῆς κρίσεως. μὴ ἐπιλάθῃ τοῦ σοῦ, δούλου χειραγωγέ μου. Δόξα.

Ἡ Οὐρανοῦ πύλη. ἡ σωτήριος θύρα, ἡ κλίμαξ ἡ νοητή. δι' ἧς Θεὸς κατέβη, καὶ ἄνθρωπος ἀνέβη, Οὐρανῶν Βασιλείας με. τοῖς οἰκτιρμοῖς σου Ἁγνὴ, ἀξίωσον σὸν δοῦλον. Θεοτοκίον.

Σωτη-

σωτηρίας λιμένα. Θεοτόκε Παρθένε σὲ νῦν κατέχοντες. τοῦ βίου τοὺς κινδύνους, ἐκφύγωμεν καὶ ζάλην, τῷ Υἱῷ σου κραυγάζοντες, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ὁ Τὴν ἡμῶν ἀσθένειαν, συμπαθῶς ἐνδυσάμενος. καὶ ὁμοιωθῆναι, τοῖς βροτοῖς ἑλόμενος, εὐχαῖς τῶν Ἁγίων σου, ἀπεγνωσμένον σῶσόν με. ἔγειρον ἐκ τάφου, ἀπογνώσεως ψάλλειν· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε. λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεῖον ναὸν ὑπάρχοντα, τὴν καρδίαν μου πάθεσι. χοίρων νοητῶν, διατριβὴν ἐτέλεσα, ἀλλά με δυνάμωσον, ὁ πλαστουργός μου καὶ Ποιητής· ταύτην καθαρίσαι, θυμιᾶσαι μυρίσαι. νηστείᾳ, καὶ δεήσει καὶ θερμῇ μετανοίᾳ· ὡς ἂν ὑπάρξῃ πάλιν, σκήνωμα σὸν Χριστέ μου.

Ἀπὸ βλεφάρων δάκρυα, ἀσταχτὶ καταῤῥέοντα. μετὰ ψιλοῦς τῆς προχοῆς παράσχου μοι, δι᾽ ὧν λοῦμε πλύνοντα, ἐκ κορυφῆς καὶ μέχρι ποδῶν. ὡς ὑπὲρ χιόνα, λευκανθέντα χιτῶνα· φορέσας μετανοίας, εἰς νυμφῶνα τὸν θεῖον. εἰσέλθω σὲ δοξάζων, τὸν πλάστην καὶ Θεόν μου.

Ὁ ὁδηγὸς καὶ φύλαξ μου, καὶ προστάτης καὶ ῥύστης μου. τῆς ἀπεγνωσμένης μου ψυχῆς ὁ ἔφορος, ἡνίκα τῆς σάλπιγγος, τὸ φοβερὸν ἀπήχημα· μέλλῃ με τῆς γῆς, ἐξαναστῆσαι εἰς κρίσιν. ἐγγύς μου στῆθι τότε, ἱλαρὸς καὶ χαρίεις· ἐλπίδι σωτηρίας, ἐξαίρων μου τὸν φόβον. Δόξα.

Ὑπερβολῇ χρηστότητος, δωρεάν με ἐλέησον. ἡ τῆς εὐσπλαγχνίας, τὴν πηγὴν κυήσασα, ἐλέους γὰρ ἄξιον, οὐκ ἔχω τὶ προσάξαι σοι· τῶν γὰρ ἀγαθῶν μου, οὐδαμῶς χρείαν ἔχεις. ὡς τὸν ἀγαθοδότην, καὶ Σωτῆρα τοῦ Κόσμου. ἀῤῥήτως συλλαβοῦσα, ἡ κεχαριτωμένη. Καὶ νῦν.

Νενεκρωμένην Πάναγνε, τὴν ψυχήν μου τοῖς πταίσμασι. καὶ κατεφθαρμένην, ἰοβόλοις δήγμασι, Θεὸν τὸν δυνάμενον, ζωοποιεῖν τὰ σύμπαντα. ἡ ἀπειρογάμως, ὑπὲρ φύσιν τεκοῦσα. ἀνάστησον βοῶντα, Ἱερεῖς εὐλογεῖτε. λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ψυχῶν τε καὶ σωμάτων τὸν ἰατρὸν. ἐν ἐλέει τὸν πλούσιον Κύριον, σὲ δυσωπῶ, ἴασαι τὰ πάθη μου τὰ πολλά. τῶν ὀδυνῶν ἀπάλλαξον, καὶ τῶν λυπηρῶν με ὡς ἀγαθὸς. καὶ μόνος ἐλεήμων, λιταῖς τῆς σὲ Τεκούσης, καὶ τοῦ χοροῦ τῶν Ἀθλοφόρων σου.

Ἰάτρευσόν μου Δέσποτα τὰς πληγάς. ὁ πληγεὶς καὶ ἐκτάξας τὰς χεῖρας σου, καὶ πρὸς ὁδοὺς, βιαίνειν σωτηρίους ὡς ἀγαθός. κατεύθυνόν με Κύριε, ὅπως εὐχαρίστως δοξολογῶ· τὴν σὴν μεγαλωσύνην, καὶ ἄκραν εὐσπλαγχνίαν, ἣν ἐπ᾽ ἐμὲ Σῶτερ ἐνέδειξας.

Ὦ θεῖαι Ἐξουσίαι καὶ Χερουβὶμ. Σεραφὶμ Κυριότητες Ἄγγελοι, Θρόνοι Ἀρχαὶ, πᾶσαι καὶ Δυνάμεις πανευκλεεῖς. καὶ ἱεροὶ Ἀρχάγγελοι, δέησιν ποιήσα-

τε πρὸς Θεόν. καλῶς ἡμᾶς βιῶσαι, τυχεῖν τε σωτηρίας, καὶ τῶν δεινῶν ἀπολυτρώσασθαι.

Τῶν θείων Ἀποστόλων καὶ Προφητῶν. Διδασκάλων Μαρτύρων Ὁσίων τε, Ἱεραρχῶν, Ἱερομαρτύρων σαῖς προσευχαῖς. τὸν κοπετὸν τοῦ δούλου σου, στρέψον Παντοδύναμε εἰς χαρὰν. ὡς μόνος ἐλεήμων, καὶ σῶσόν με τὸν πίστει, εἰλικρινῶς σὲ μεγαλύνοντα. Δόξα.

Φιλάγαθε Παρθένε τὸν ἀγαθὸν. ἐκδυσώπει Υἱόν σου καὶ Κύριον, διὰ παντὸς, τὴν κεκακωμένην ταῖς προσβολαῖς. τοῦ ψυχοφθόρου δράκοντος, καὶ ἐξασθενήσασάν μου ψυχὴν. ἰάσασθαι καὶ σῶσαι, καὶ πάσαις ἀγαθῦναι, ταῖς φωτοφόροις ἀναβάσεσι. Καὶ νῦν,

Νοσοῦσαν τὴν ψυχήν μου πάθει δεινῷ. ἡ τεκοῦσα Θεὸν ὑπεράγαθον, ὡς συμπαθὴς, ἴασαι καὶ λύτρωσαι τῶν ἀεὶ. κολαφιζόντων Ἄρχοντε, καὶ ἐπεμβαινόντων μοι δυσμενῶν. σωζόμενός σε ὅπως, προθύμως μεγαλύνω, τὴν μεγαλύνασαν τὸ γένος ἡμῶν.

Προσόμοια. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Κύριε, Κύριε, Κύριε, τὸν σὸν οἰκέτην ἐμὲ. τὸν πολλὰ παροργίζοντα, τὴν σὴν ἀγαθότητα, καθ᾽ ἑκάστην φιλάνθρωπε. μὴ ἀπορρίψῃς τοῦ σοῦ προσώπου Χριστέ. μηδὲ παιδεύσῃς τῇ σῇ δικαίᾳ ὀργῇ. ἥμαρτον ἥμαρτον, ὡς οὐδεὶς σοι ἕτερος ὁμολογῶ. οἰκτειρον καὶ σῶσόν με, διʼ εὐσπλαγχνίαν πολλήν.

Ὅλον τὸν βίον ἀνάλωσα, καὶ τὴν ζωήν μου αἰσχρῶς. καὶ ἀσώτως φιλάνθρωπε, μὴ προσχὼν τὸ σκῶλον, ταῖς ἐκεῖθεν κολάσεσιν. ἀλλὰ Θεέ μου νῦν ἐπιστρέφοντα. δέξαι Κωτῆρ μου ὥσπερ τὸν ἄσωτον. ταῖς τῆς Τεκούσης σε, καὶ τῶν Ἀρχαγγέλων σου σεπταῖς λιταῖς. καὶ τῶν Ἀποστόλων σου σῶσόν με δέομαι.

Οἶδας Χριστὲ τὴν ἀσθένειαν, τῆς ἀνθρωπίνης σαρκὸς. καὶ τὸ χαῦνον τῆς φύσεως, ἐπίστασαι Δέσποτα, ὡς ποιητὴς καὶ Θεός. τὸν σάλον κόπασον τῆς καρδίας μου. δίδου γαλήνην τῇ ταπεινῇ μου ψυχῇ. δὸς οὖν διόρθωσιν, τῶν ἀτόπων ἔργων μου, καὶ τοῦ πυρός. τοῦ ἀσβέστου ῥῦσαί με, ὡς μόνος εὔσπλαγχνος.

Ὅταν καθήσῃς ἐνδόξως σου, ὡς Βασιλεὺς τοῦ παντὸς. ἐπὶ Θρόνου τῆς Κρίσεως, παρεστώτων φόβῳ σοι, τῶν ἁγίων Ἀγγέλων σου. καὶ παραστῇ σοι ἡ φύσις ἅπασα. κριθησομένη ἡ τῶν ἀνθρώπων Χριστέ. τότε δεήσεσι, τῆς Μητρός σου Κύριε ἀπὸ πασῶν, ῥῦσαί με κολάσεων, τὸν σὲ δοξάζοντα. Δόξα.

Ἁμαρτιῶν μου τὰ κύματα, ὡς ἐν πελάγει δεινῶν. ὑπεράνω ὑψούμενα, κεφαλῆς ποντίζειν με, κατεπείγουσι Δέσποινα. ἀλλ᾽ ἐκτεινόν μοι, χεῖρα ὡς Πέτρῳ τὸ πρὶν, βυθιζομένῳ ὁ σὸς Υἱὸς καὶ Θεός. καὶ πρὸς λιμένα με, μετανοίας ὅρμισον Μῆτερ Θεοῦ. δέομαι πανύμνητε, ὅπως σωθεὶς σὲ ὑμνῶ. Καὶ νῦν.

Ἐσκοτισμένος τοῖς πάθεσι, τῆς ἁμαρτίας δεινῶς. εἰς κρημνὸν ἀπογνώσεως ἀποδίδω ὁ ταλαίπωρος, ἐμπεσεῖν σύ με οἴκτειρον. εὐλογημένη Θεοχαρίτωτε. λάμψον μοι φέγγος τῆς εὐσπλαγχνίας σου. καὶ ἐποδήγησον, εἰς ὁδοὺς εὐθείας με παρακαλῶ. προσκυνῶ καὶ δέομαι, μὴ ὑπερίδῃς με.

Τὸ Ἄξιον ἐστὶν, τὸ Τρισάγιον, καὶ τὰ λοιπά. Καὶ τὸ παρὸν Τροπάριον.

Ἦχος πλ. δ'.

Ὄμματι εὐσπλάγχνῳ Κύριε, ἴδε τὴν ἐμὴν ταπείνωσιν. ὅτι κατὰ μικρὸν ἡ ζωή μου δαπανᾶται. καὶ ἐξ ἔργων ἐμοὶ οὐχ ὑπάρχει σωτηρία. διὰ τοῦτο δέομαι· ὄμματι εὐσπλάγχνῳ Κύριε, ἴδε τὴν ἐμὴν ταπείνωσιν καὶ σῶσόν με,

Τὸ Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ, καὶ τὰ λοιπά. Καὶ εὐθὺς.

αἱ παροῦσαι Κατανυκτικαὶ Εὐχαί.

Εὐχὴ ά. Εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Ἐπίνευσον Θεοτόκε. Μαρία. σὲ γὰρ ἐπικαλοῦμαι τὴν ἐκ σπέρματος Ἀβραὰμ λαοῦ Ἰσραὴλ φυλῆς Ἰούδα, Γένους, Ἀαρὼν, καὶ ἐξ ὀσφύος Δαβὶδ τεχθεῖσαν, καὶ ανατεθεῖσαν εἰς τὰ Ἅγια τῶν Ἁγίων. τροφήν τε διὰ χειρὸς Ἀγγέλου λαβοῦσαν. καὶ Εὐαγγελισθεῖσαν τὸ κεκρυμμένον τῆς θείας χάριτος Μυστήριον, διὰ τοῦ Ἀρχαγγέλου Γαβριήλ. λόγῳ τὸν Λόγον συλλαβοῦσα ἐπ' εὐεργεσίᾳ τῆς λογικῆς φύσεως. καὶ τεκοῦσα τὸν Ἐμμανουήλ, λυτρωτὴν τοῦ Κόσμου, Βασιλέα φιλάνθρωπον. Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Πνεῦμα γὰρ Ἅγιον ἐλήλυθεν ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπεσκίασέ σοι. διὰ τοῦτο μακαρίζουσί σε πᾶσαι αἱ γενεαὶ, καὶ μεγαλύνομέν σε πάντες οἱ ἐπὶ γῆς. Ἁγνὴ Παρθένε, ἄσπιλε Κόρη, ἄφθορε, ὑπεράμωμε, Μήτηρ καὶ δούλη τοῦ Κυρίου, καὶ εὐλογημένη Δέσποινα Κόσμου. ἵλεως καὶ εὐμενὴς γενοῦ μοι παναγία Θεοτόκε. τὴν σὴν γὰρ ἐπικαλοῦμαι παντοδύναμον ἐπικουρίαν. μὴ ἀπώσῃ με τὸν ἀνάξιον δοῦλόν σου. μηδὲ. βδελύξῃ με τὸν ἁμαρτωλὸν ἱκέτην σου. μὴ ἀποστραφῇς με τὸν ῥερυπωμένον πρόσφυγά σου. σὺ γὰρ ἐδόθης ἡμῖν ἀντίληψις, καὶ προστασία, καὶ σωτηρία. δῶρον θεοπρεπὲς, ὑπὸ τοῦ πάντων Κτίστου καὶ Σωτῆρος, καὶ εὐεργέτου Θεοῦ, ὃν κατὰ σάρκα ἐγέννησας οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος. Θεὸς ἰσχυρὸς, ἐξουσιαστής. Ἄρχων εἰρήνης. Πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὁ συμβασιλεύων τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εὐχὴ διὰ στίχου. Εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Χαίρειν δίδου μοι Παρθένε, τῷ θεράποντί σου Κόρη. καὶ παράσχου προθυμίαν, τοῦ ὑμνεῖν σε μετὰ δέους. καὶ σὺν Γαβριὴλ τὸ Χαῖρε, εὐσχημόνως ἐκβοᾶν σοι. Χαίροις πρωτοπλάστων σκέπη, Χαῖρε Ἄβελ ἡ θυσία. Χαίροις τῶν δικαίων θύρα, Χαῖρε Ἀβραὰμ ἡ δόξα. Χαίροις Ἰσαὰκ τὸ λύτρον, Χαῖρε Ἰακὼβ ἡ κλίμαξ. Χαίροις Ἰωσὴφ ὁ βίος, Χαῖρε τοῦ Ἰὼβ ἀνδρεία. Χαίροις κιβωτὲ ἁγία, καὶ ὁλκὰς ἠγλαϊσμένη. Χαίροις Μωϋσέως στάμνε, Χαῖρε Ἀαρὼν ἡ Ῥάβδος. Χαίροις Ἰεσσαὶ ἡ ῥίζα, Χαῖρε Σαμουὴλ τὸ κέρας. Χαίροις τοῦ Δαβὶδ θυγάτηρ, χαῖρε Σολομῶντος κλίνη. Χαίροις Γεδεὼν ὁ πόκος, Χαῖρε Ὠσηὲ τὸ ῥόδον, Χαίροις Δανιὴλ ὁ λίθος, Χαῖρε δρόσος ἡ τῶν Παίδων. Χαίροις τοῦ Ἀμμὼς τὸ δένδρον, χαῖρε ἡ Μιχαίου δόξα. Χαίροις Προφητῶν διόπτρα, Χαῖρε

Ἰωὴλ ἡ χάρις. Χαῖρε ςάμνε μαναδόχε, καὶ ὁλόφωτε νεφέλη. Χαῖρε κῆπε κεκλεισμένε, καὶ πηγὴ ἐσφραγισμένη. Χαῖρε ξύλον ἀφθαρσίας, καὶ ζωῆς τῆς ἀκηράτε. Χαῖρε πύλη κεκλεισμένη, τῷ Θεῷ σωτηρεμένη. Χαῖρε τῶν καλῶν αἰτία, Θεονύμφευτε Μαρία. Χαῖρε Θρόνε τοῦ Ὑψίςε, καὶ παλάτιον τοῦ Λόγε. Χαῖρε μῆλον χαῖρε ῥόδον, διανθοῦν ὀσφραίνον Κόσμον. Χαῖρε ἄρυρα καὶ πλάκα, καὶ λαβὶς ἠνθρακωμένη. χαῖρε πόλις τοῦ Ὑψίςε, αἰνετὴ ἀγλαϊφόρε. Περὶ ἧς δεδοξασμένα, ἐλαλήθη ὑπορρήτως. χαῖρε τράπεζα ἡ πλήρης, ἀγαθῶν Ἐπερανίων. Χαῖρε γέφυρα πρὸς Πόλον, ἐπανάγεσα τοὺς πάντας. χαῖρε πύλη χαῖρε κλίμαξ, χαῖρε διαυγὴς πορφύρα. Χαῖρε νοητὴ λυχνία, ἡ φωτίζεσα τὸν Κόσμον. Χαῖρε Τέμενος καὶ Θρόνος, τοῦ μεγάλε Βασιλέως. χαῖρε δόξα τῶν Ἀγγέλων, χαῖρε σκέπη τῶν ἀνθρώπων. χαῖρε Παραδείσε θύρα, χαῖρε πάντερπνον χωρίον. χαῖρε σκήνωμα τοῦ Λόγε καὶ σκηνὴ τιμαλφεςάτη. χαῖρε νύμφη κοσμηθεῖσα, ἀρεταῖς δεδοξασμένη. χαῖρε κλέος Μοναζόντων, καὶ Ὁσίων ἡ λαμπρότης. Χαῖρε τεῖχος τῶν παρθένων, Ἀσκητῶν ἡ ὡραιότης. χαῖρε Ἱερέων κῦδος, καὶ Ἱεραρχῶν τὸ γέρας. χαῖρε σθένος τῶν Μαρτύρων, χαῖρε ςέφανος Δικαίων. Χαῖρε Βασιλέων κράτος, καὶ διάδημα Παρθένε. χαῖρε Βασιλίδων κόσμος, καὶ χλαμὺς εὐκλεεςάτη. χαῖρε Ἐκκλησίας πύργος, καὶ πιςῶν ἡ προςασία. χαῖρε μόνη τῶν ἑςώτων, ςηριγμὸς ἐν ἀσφαλείᾳ. χαῖρε μόνη τῶν πιπτόντων, ἡ ἀνάκλησις καὶ βάσις, χαῖρε τῶν πενθέντων μόνη, κραταιὰ παραμυθία. χαῖρε μόνη τῶν νοσέντων, ἡ ἐπίσκεψις καὶ ῥῶσις. Χαῖρε τῶν ὁδοιπορέντων, ἀπλανὴς καθοδηγία. Χαῖρε τῶν ἐπαγρυπνέντων, φυλακὴ ἀρραγεςάτη. Χαῖρε τῶν πολεμεμένων, ἡ εἰρήνη Παναγία. Χαῖρε τῶν χειμαζομένων, ἡ γαλήνη Θεοτόκε. Διὸ σοῦ ἡ Κτίσις πᾶσα, καθηγίασαι καὶ λύπης. Τῆς ἀρχαίας ἐλυτρώθη, τὸ Ἀδαμιαῖον γένος. Διὰ σοῦ τῆς πανωδίνε, ἐλυτρώθη μὲν κατάρας. Διὰ σοῦ ἀνεκαινίσθη, τῇ φθορᾷ ὑποπεσοῦσα. Φύσις πάλαι ἡ ῥοώδης, γηγενῶν πεπλανημένη. Σωτερβεῖσα καὶ εἰς βάθος, καταντήσασα τοῦ ἅδε. Πρόσχες τοίνυν Δεσποινάμε, ἐπ' ἐμοὶ τῷ Εἰσαθλίῳ. Πέμψον τὴν βοήθειάν σε, παραμύθησόν με Κόρη. Ἡ ἐλπὶς τῶν ἀνελπίςων, καὶ λιμὴν χειμαζομένων. Ἡ γλυκεῖα εὐφροσύνη, τῶν πρὸς σὲ καταφευγόντων. Καὶ χαρὰ καὶ θυμηδία, τῶν σε ἐπικαλεμένων. Ἱδοιμίσε τὴν ὀξεῖαν, συμμαχίαν Θεοτόκε. Εὐροιμίσε προςασίαν, καὶ ἀντίληψιν Παρθένε. Ἴδεμε κραυγῆς τὸ πένθος, καὶ ὀλολυγμὸν καὶ θρῆνον. Ἴδεμε τὴν ἀθυμίαν, καὶ κατήφειαν ἣν ἔχω. Ἴδεμε τὴν ἀπορίαν, καὶ ψυχῆς αἰχμαλωσίαν. Πρὶν τελείως βυθισθῆναι, πρόφθασον βοήθησόν μοι. Οὐ γὰρ ἔχω ποῦ προσφύγω, τοῦ σωθῆναι ὁ παντλήμων. Οὐδὲ πλήν σε ἄλλην οἶδα, ἢ ἐπίςαμαι προςάτιν. Καὶ ἀντίληψιν Παρθένε, καὶ καταφυγὴν καὶ σκέπην. Καὶ προσφύγιον καὶ ῥύςιν, καὶ καλὴν παραμυθίαν. Πρόφθασον διάσωσόν με, τὴν δεινῶς κεκακωμένην. Φρέρησον ὀχύρωσόν με, καὶ δυνάμωσον ὡς οἶδας. Καὶ σωτήρησον ἐκ πάσης, συμφορᾶς θανατηφόρε. Ὅπως ἀνυμνῶ σὴν χάριν, καὶ γεραίρωσε Παρθένε. Μεγαλύνω καὶ δοξάζω, καὶ πιςῶς ἀνευφημῶσε. Τὴν πασῶν τῶν Οὐρανίων, τάξεων ὑψηλοτέρα. Εὐροιμί-

ροιμίσε καὶ προστάτιν, ἐν τῇ ὥρᾳ τῆς ἐξόδου. Καὶ ἐν τῇ μελλούσῃ δίκῃ βοηθὸν καὶ σωτηρίαν. Τῆς φλογὸς τῆς αἰωνίου, ῥυσομένη με καὶ δόξης. Τοῦ Υἱοῦ σου ἀξιοῦσα, ταῖς πρεσβείαις σου Παρθένε. Νῦν τε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εὐχὴ Τρίτη εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Κύριε Ἰησοῦ Χριστέ, ὁ Βασιλεὺς τῶν Βασιλευόντων, καὶ Κύριος τῶν Κυριευόντων. ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται. ὁ ἔχων ἐξουσίαν ζωῆς καὶ θανάτου. ὁ γινώσκων τὰ ἄδυλα καὶ κρύφια τῆς καρδίας μου. ὃν οὐ λανθάνει ἐνθύμησις, οὐδὲ διαλογισμός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. Ἐλέησόν με ὁ Θεός μου. ὁ εἰπὼν τῷ Ἀβραάμ, ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. αὐτὸς καὶ νῦν Δέσποτα, ὁδήγησον κἀμὲ εἰς τὸν φόβον σου. καὶ μὴ κλείσῃς μοι τὴν θύραν τῆς Βασιλείας σου. ἀλλὰ ποίησόν με εὐγνωμόνως μνημονεύειν τῶν εὐεργεσιῶν σου διὰ παντός. καὶ μὴ τῶν πολλῶν μου ἁμαρτιῶν μνησθῇς, ἀλλ' ἄνες ἄφες τὰ παραπτώματά μου. Κύριε ὁ Θεός, ὁ δούς μοι γνωρῆσαι τὸ φῶς τῆς ἀληθείας, δός μοι κατάνυξιν, καὶ τοῖς ὀφθαλμοῖς μου δάκρυα, καὶ καρδίαν συντετριμμένην, τοῦ μὴ ἐξουδενωθῆναι ἐνώπιόν σου. Κύριε δώρησαί μοι τὸν ἁγνώτατον φόβον σου ἐν τῇ καρδίᾳ μου, καὶ προσήλωσόν με εἰς τὴν ἐπίγνωσιν τῆς σῆς ἀγάπης, καὶ ἀληθείας. Κύριε δώρησαί μοι εὐχὴν ἀέναον καὶ καθαρὰν μετὰ κατανύξεως, καὶ πλῆθος δακρύων. ἵνα ἀποπλύνω τὸν ῥύπον τῶν πολλῶν καὶ ἀμέτρων μου πλημμελημάτων. Κύριε, κατάσβεσον τοὺς αἰσχροὺς καὶ πονηρούς μου λογισμούς, τῷ πυρὶ τοῦ ἁγίου σου Πνεύματος. Κύριε, δὸς πένθος ἐν τῇ καρδίᾳ μου, καὶ παράκλησιν ἐν τῇ ψυχῇ μου, καὶ τῇ κεφαλῇ μου ἀνάπαυσιν, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων. ὅπως δι' αὐτῶν σε καθικετεύσω, καθαρθῆναι τοῦ ῥύπου τῶν ἁμαρτιῶν μου. καὶ φωτισθείη ἡ διάνοιά μου Δέσποτα ἐν τῇ ἀγάπῃ σου. Κύριε ὁ πάλαι ῥυσάμενος ἐκ χειρὸς Φαραὼ τὸν λαόν σου, καὶ διασώσας αὐτὸν διὰ θαλάσσης ἐρυθρᾶς, ῥῦσαι κἀμὲ ἐκ τῶν ἀνομιῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με κακῶν. καὶ τῇ σῇ θελήσει καὶ μακροθυμίᾳ, ἀκατάκριτόν με διατήρησον, ὅταν μέλλῃς κρῖναι ζῶντας καὶ νεκρούς. Κύριε ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν τὸ φῶς τοῦ Κόσμου. Ἰησοῦ Χριστέ, τὸ γλυκὺ ὄνομα. ἡ χαρὰ καὶ ἀγαλλίασις, τῶν ἐλπιζόντων ἐπὶ σέ. φώτισον τοὺς ὀφθαλμοὺς τῆς διανοίας μου, τοῦ δουλεύειν σοι εὐαρέστως πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ εὑρεῖν ἔλεος ἐνώπιόν σου, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ. Κύριε ὁ διὰ τὰς ἁμαρτίας ἡμῶν, κατελθὼν ἐπὶ τῆς γῆς, δημιουργὸς καὶ Κτίστης ὢν πάντων τῶν ὄντων, ἃ καὶ ὑπακούουσί σου τρόμῳ, ἐπάκουσόν μου ἐν τῇ ὥρᾳ ταύτῃ. καὶ κατάπαυσον τὸν ἐπενεχθέντα μοι πειρασμόν, καὶ τὸν ἐπανιστάμενόν μοι διάβολον καταίσχυνον. ὅτι πάντα δυνατά σοι Δέσποτα. Κύριε δώρησαί μοι Ἄγγελον ἀγαθόν, φύλακα τῆς ψυχῆς καὶ τοῦ σώματός μου. ὁδηγοῦντά με καὶ συνετίζοντα, τὰ σὰ νοεῖν, τὰ σὰ φρονεῖν, ἐν τοῖς σοῖς λογισμοῖς ἀναστρέφεσθαι, καὶ τὸν φόβον σου ποιεῖσθαι πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Κύριε λύτρωσαί με ἀπὸ γαστριμαργίας, λαιμαργίας, ὀργῆς,

θυμοῦ, λύπης, ἀκηδίας, κενοδοξίας, ὑπερηφανίας, φθόνου, ἔριδος, ζήλου, καταλαλιᾶς, αἰσχρῶν λογισμῶν, μνησικακίας, πλεονεξίας, ἀδικίας, μέθης, ψεύδους, κλοπῆς, καὶ πάσης αἰσχρᾶς ἐπιθυμίας. Κύριε ἀξίωσόν με τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς μου διελθεῖν ἐν εἰρήνῃ καὶ ἀταράχῳ νοΐ, καὶ ἀβιάστως ὑπεξελθεῖν τοῦ σώματός μου, καὶ διελθεῖν τὸν ἀέρα κατὰ τῶν πνευμάτων τῆς πονηρίας, ἀχειμάστως, καὶ ἀνεμποδίστως, καὶ ἀνενοχλήτως. ὁδηγούμενος ὑπὸ τῶν ἁγίων σου Ἀγγέλων, εἰς τόπον φωτεινόν, εἰς τόπον ἀναπαύσεως. ἔνθα ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός. ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία. Κύριε, ἀξίωσόν με συναρπαγῆναι ἐν νεφέλαις εἰς τὴν σὴν ἀπάντησιν Δέσποτα, καὶ στῆναι ἐνώπιον τοῦ φοβεροῦ, καὶ ἀδεκάστου σου βήματος ἄμεμπτον, μὴ ἔχοντα σπίλον, ἢ ῥυτίδα. καὶ μὴ θριαμβεύσῃς τὰς πονηρὰς καὶ ἀθεμίτους μου πράξεις, ἐνώπιον Ἀγγέλων καὶ ἀνθρώπων. ἀλλ' ἀξίωσόν με τῆς ἐκ δεξιῶν σου στάσεώς τε καὶ τάξεως, μετὰ πάντων τῶν Ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Κύριε ὁ δεξάμενος, καὶ ἐπαινέσας τὰ τῆς χήρας δύο λεπτά, πρόσδεξαι καὶ τὴν οἰκτρὰν δέησιν τοῦ δούλου σου. καὶ αὔξησον τὴν εὐχήν μου, καὶ δώρησαί μοι τὰ αἰτήματά μου. ἵνα γενόμενος ναὸς τῆς χάριτός σου, ἐν ἐμοὶ οἰκήσῃς, καὶ ὅλον με φωτὸς πληρώσῃς. Κύριε, μὴ λυπήσῃς με περὶ ὧν ἐγὼ ἐλύπησα τὴν ἀγαθότητά σου, ἀλλὰ εὐλόγησόν με, καὶ στήριξόν με ἐν τῇ ἀγάπῃ σου. καὶ φώτισον τοὺς ὀφθαλμούς μου, τοῦ μὴ ὑπνῶσαί με εἰς θάνατον. καὶ λύτρωσαί με ἐκ παντὸς πτώματος καὶ ὀλισθήματος, καὶ σκεπασάτω με ἡ χείρ σου, ἀπὸ τῆς ἐπιβουλῆς τοῦ ἐχθροῦ, τοῦ κατ' ἐμοῦ ὠρυομένου, καὶ καταπιεῖν με ζητοῦντος. ἐλευθέρωσόν με τῶν παγίδων αὐτοῦ ὁ λυτρωτὴς καὶ ῥύστης μου, καὶ ἀξίωσόν με τοῦ ποιεῖν τὰ σοὶ εὐαρέστα μέχρι τῆς ἐσχάτης μου ἀναπνοῆς, δοξάζων καὶ ἀνυμνῶν διὰ παντὸς, τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Εὐχὴ ἱκέσιος εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τῇ Κυριακῇ Ἑσπέρας.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν. ὁ πλάστης καὶ δημιουργὸς Οὐρανοῦ καὶ γῆς. καὶ πάντων τῶν ἐν αὐτοῖς ποιημάτων. ὁ ἐν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι δοξαζόμενος. ἐλέησόν με καὶ συγχώρησον καὶ διάσωσον, καὶ ἐμὲ τὸν μόνον ἁμαρτωλὸν, τὸν μόνον ἐλεεινὸν, τὸν μόνον ἐμπαθῆ. τὸν ἐχθρὸν τῆς ψυχῆς μου, τὸν ἐπίβουλον τῆς σωτηρίας μου. ἐλέησόν με τὸν πονηρὸν καὶ ἀχρεῖον δοῦλον. Ἐλέησόν με τὸν ἀκάθαρτον, τὸν μιαρὸν, τὸν βέβηλον, τὸν ἐναγῆ, τὸν πόρνον, τὸν ἀκόλαστον, τὸν ἔχθιστον, τὸν ῥυπαρὸν, τὸν ῥάθυμον, τὸν ἀμελῆ, τὸν ἀκηδιαστὴν, τὸν φιλήδονον, τὸν φαῦλον, τὸν ἀλόγιστον, τὸν φευκτὴν, τὸν δυσώδη, τὸν δημιουργὸν τῆς πορνείας, τὸν ἐχθρουργὸν, τὸν ἀσελγῆ, τὸν ἐπιτηδευτὴν τῆς λαγνείας, τὸν ἐφευρετὴν τῆς ἡδυπαθείας καὶ ἀκολασίας, καὶ πάσης ἄλλης ἁμαρτίας. Ἐλέησόν με Κύριε τὸν ματαιολόγον, τὸν μετέωρον, τὸν μνησίκακον, τὸν κατάλαλον, τὸν ψιθυριστὴν, τὸν ὀξύχολον, τὸν μηδέποτε ζηλώσαντα τὸ ἀγαθόν. Ἐ-

λέη-

λέησόν με τὸν αὐθάδη, τὸν ἄτακτον, τὸν ἀκράτητον, τὸν ἀπαίδευτον, τὸν θυμώδη, τὸν ὑβριστὴν, τὸν χαιρέκακον, τὸν μισόκαλον, τὸν ὑψαύχενα, τὸν ἀλαζόνα, τὸν ὑπερήφανον, τὸν κενόδοξον, τὸν βλάσφημον, τὸν φιλενδείκτην, τὸν ἀνθρωπάρεσκον, τὸν ἀταπείνωτον, τὸν ἀνελεήμονα, τὸν θρασὺν, τὸν ὑποκριτὴν, τὸν παραβάντα τὸν ἅγιόν σου νόμον, τὸν τῶν δικαιωμάτων σου ἀποστάτην, τὸν τὰς αἰσθήσεις πάσας ἀπαιδαγώγητον, τὸν τὰς ὀφρῦς διαστρέφοντα. τὸν τὰς ἀκοὰς ἀθύρωτον. τὸν πονηραῖς προσλήψεσι συνδεδεμένον. τὸν αἰχμαλωτιζόμενον ὑπὸ τῶν ἐμπαθῶν λογισμῶν, καὶ δοῦλον τῶν σαρκικῶν ἡδονῶν γινόμενον. Ἐλέησόν με Κύριε τὸν φίλαυτον, τὸν μυκτηριστὴν, τὸν ἀείποτε ὀργιζόμενον κατὰ τοῦ πλησίον, τὸν μέθυσον, τὸν φλύαρον, τὸν ἀνυπότακτον, τὸν μηδέποτε ταπεινούμενον τινὶ διὰ τὴν ὠφέλειαν τῆς ψυχῆς μου. Ἐλέησόν με Κύριε τὴν θάλασσαν τῶν πονηρῶν ἐνθυμήσεων, τὴν ἄβυσσον τῶν αἰσχρῶν ἐφευρέσεων. τὴν πηγὴν τῶν κακῶν, τὸν βυθὸν τῶν μολυσμῶν. τὸ πέλαγος τῶν ἀνομιῶν, τὴν ῥίζαν τῶν μυσαρῶν ἀποτελεσμάτων. τὸν ἐπὶ πᾶσι τούτοις καὶ διὰ πάντων ἀπεγνωσμένον, καὶ κείμενον ἐν μνημείῳ τῶν παραπτώσεων. Ναὶ Δέσποτα Κύριε ἐλέησόν με, καὶ συγχώρησόν μοι πάντα τὰ ἀναρίθμητα πταίσματα καὶ πλήθη τῶν κακῶν μου. οὐ γὰρ πάντα ἐξαριθμῆσαι ἴσχυσεν, ὁ βραχύς μου καὶ ἄθλιος λογισμός. οὐ δὲ κατ' εἶδος πάντων αὐτῶν μνημονεῦσαι ἠνέχετο, ἢ ὀνομάσαι, πάντα τῇ ἐνεργείᾳ αὐτῶν. τοῦτο μὲν, αἰσχυνόμενος τοὺς ὁμοφύλους ἀκροατὰς, τοῦτο δὲ, ἵνα μὴ ἀφορμὴ καὶ τοῖς ἄλλοις σκανδάλου γένωμαι, καὶ τὸ κρίμα τοῦτο ἐπισπάσηται ὁ διάβολος. Προσπίπτω οὖν δεόμενος καὶ κράζων. ἥμαρτον Κύριε, μὴ παρίδῃς με, μὴ ἀπώσῃ με, μὴ ἐγκαταλίπῃς με, Δέσποτα τῶν ἁπάντων. τὸν ταπεινὸν, τὸν ἀσθενῆ, τὸν ἀπροστάτευτον, τὸν μὴ ἔχοντα ποῦ τὴν κεφαλὴν κλῖναι, εἰ μὴ εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, εἰς τὴν ἄβυσσον τῶν πολλῶν σου οἰκτιρμῶν. Μὴ μνησθῇς τῶν ἀνομιῶν μου ὁ ἀμνησίκακος, τῶν ἀμμελημάτων μου ὁ μακρόθυμος. ἀλλὰ δός μοι καθαρὰν τούτων τὴν συγχώρησιν, τὴν ἄφεσιν, τὴν ἀπολύτρωσιν, τὴν πίστιν, τὴν ἐλπίδα, τὴν ἀγάπην, τὴν χαρὰν, τὴν εἰρήνην, τὴν μακροθυμίαν, καὶ πᾶσαν ἄλλην ἀγαθοσύνην. πραότητα, ἐγκράτειαν, νηστείαν, τὴν καλὴν παιδαγωγὸν ψυχῆς ὁμοῦ τε καὶ σώματος. ἀγρυπνίαν τὴν συνεργὸν τῶν τιμίων ἀρετῶν. Δώρησαί μοι Κύριε ὁ Θεός μου δάκρυα, καὶ στεναγμοὺς ὁλοψύχους. μέριμναν εἰς τὰ πνευματικὰ ἔργα, τῶν προσευχῶν ἐπιπόθησιν, τῶν ψαλμῳδιῶν ζέσιν, τῶν κατὰ μόνας πρεσβειῶν θέρμην, καταφρόνησιν τῶν ἡδέων πάντων τοῦ παρόντος αἰῶνος. Δός μοι Κύριε ταπείνωσιν, εὐτέλειαν, πτωχείαν πνευματικὴν, ἄσκησιν, ὑποταγὴν, ὑπακοὴν, ὑπομονὴν, πολιτείαν κατὰ Θεὸν, δάκρυα πνευματικὰ, ψυχῆς κάθαρσιν, σώματος ἁγιασμὸν, καρδίας κατάνυξιν, σαρκὸς νέκρωσιν, Κύριε, Κύριε, δέομαί σου. ἐπεὶ ὁ ἀνάξιος ἀπὸ σοῦ τὴν χάριν ἐξεζήτησα, καὶ αἰτῶ ἀεὶ, μὴ προσοχθίσῃς μοι, ἀλλ' ὡς πλάσμα σὸν, κἀμὲ περιποίησον. ἵνα κἀγὼ ὁ πάσης σωτηρίας ἀνάξιος τοῖς σοῖς δούλοις συναριθμηθῶ, τοῖς ἀπ' αἰῶνος εὐαρεστήσασί σοι. καὶ μετὰ πάντων δοξάζω τὴν

σὴν ἀνεξίκακον ἀγαθότητα, καὶ ἄμετρον φιλανθρωπίαν. Ναὶ Κύριε ὁ Θεός μου ἐπάκουσόν μου τῆς οἰκτροτάτης ταύτης δεήσεως, πρεσβείαις τῆς ἀκαταισχύντου ἐλπίδος μου καὶ προστασίας, Παναχράντου Μητρός σου, καὶ πάντων τῶν Ἁγίων. ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἕτερον πένθος.

ΝΥ͂Ν ἔτι καὶ σήμερον κατῃσχυμμένῳ προσώπῳ, καὶ εἰς γῆν νεύοντι, τολμῶ λαλῆσαι πρὸς τὸν Δεσπότην τῶν Ἀγγέλων, καὶ δημιουργὸν τῶν ἁπάντων. ἐγὼ δὲ εἰμὶ γῆ καὶ σποδός. ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ. σκώληξ ἀληθῶς καὶ οὐκ ἄνθρωπος. κατεγνωσμένος ὢν ὅλως κατώδυνος. πῶς ἀτενήσω πρὸς τὴν σὴν ἀγαθότητα Δέσποτα, ἐν ποίᾳ καρδίᾳ, ἐν ποίῳ συνειδότι; ποίαν γλῶσσαν ἀσεβῆ καὶ μεμολυσμένην τολμήσω κινῆσαι; πῶς δὲ τὴν ἀρχὴν ποιήσω τῆς ἐμῆς ἐξομολογήσεως; ὑπὲρ τὸ μεῖζον ὁ τάλας τὸ ὄνομά σου παρώξυνα, καὶ ὑπὲρ τὸν ἄσωτον ἀσώτως ἐβίωσα. τὸ γὰρ ἐμοὶ κατ' εἰκόνα σου μολύνας ἠχρείωσα, καὶ τὴν φωνὴν τῶν προσταγμάτων σου οὐκ ἐτήρησα. ποίων μου ἁμαρτιῶν ἄφεσιν ὁ ἄθλιος πρότερον αἰτήσω; τῶν ἐν γνώσει ἀσυγκρίτων ἀσυγγνώστως, ἢ τῶν ἐν παραβάσει τῶν ἁγίων σου ἐντολῶν, ἢ τῶν ἐν καταθέσει τῶν πονηρῶν λογισμῶν; Οἶδα Κύριε, ὅτι διὰ τοὺς πολλοὺς μολυσμοὺς τῆς ψυχῆς μου, καὶ ἀκαθαρσίας μου, οὐκ εἰμὶ ἄξιος τῆς σῆς φοβερᾶς ἐπικλήσεως. οὐ δύναμαι στῆναι εἰς προσευχὴν ἐνώπιόν σου. οὐ δύναμαι ἀτενίσαι, καὶ ἰδεῖν εἰς τὸ ὕψος τοῦ Οὐρανοῦ. ὅτι ταῖς ἀτόποις ἐπιθυμίαις θύραν ἀνοίξας, καὶ ἀχαλινώτως ἀτάκτοις ὁρμαῖς χρησάμενος, τὴν ταλαίπωρόν μου ψυχὴν τοῖς πάθεσι κατεμόλυνα. ὅτι κατεπόθην τῇ ἅλμῃ τῶν ἡδονῶν τῆς πικρίας, ὅτι μοχθηρίᾳ γνώμης τὸν χιτῶνα τῆς ψυχῆς μου ἐσπίλωσα. ὅτι ὅλος ἐφυράθη ὁ νοῦς μου τοῖς λογισμοῖς τῶν δαιμόνων. ὅτι διὰ πάντων μου τῶν ἔργων, καὶ λογισμῶν, καὶ λόγων, παρεπίκρανα, καὶ παραπικραίνω τὴν σὴν ἀγαθότητα. τὸν δὲ ἐχθρόν μου καὶ πολεμοῦντά με ἀεὶ ἐπισπῶμαι καὶ θεραπεύω. ἐλέγχει μου τὴν διάνοιαν ἡ ἐμὴ συνείδησις. καταισχύνω τὸ πρόσωπόν μου ἐν τῇ καρδίᾳ μου. αὐτοκατάκριτος εἰμὶ πρὸ τῆς ἀποκειμένης μοι κρίσεως. ἔχω θριαμβεύουσάν με τὴν προσοῦσάν μοι ἀσωτείαν, ὅτι ἀεὶ τῷ βορβόρῳ τῆς γαστριμαργίας ἐγκυλινδοῦμαι. ἔχω στηλιτεύουσάν με τὴν φαύλην μου πολιτείαν, ὅτι ἀεὶ ταῖς ἡδοναῖς ἀμαυροῦμαι. ἔχω καταισχύνουσάν με τὴν παροῦσάν μου γύμνωσιν, ὅτι ἀεὶ τὴν δυσωδίαν τῶν παθῶν ἀναμάττομαι· ἀεὶ τοῖς ῥυπαροῖς λογισμοῖς καταχραίνομαι· παιδιόθεν ἐγενόμην σκεῦος τῆς φθοροποιοῦ ἁμαρτίας· καὶ νῦν καθ' ἑκάστην ἀκούων ὁ τάλας περὶ Κρίσεως, καὶ ἀνταποδόσεως, οὐ βούλομαι ἀντιστῆναι ποτὲ τῆς σαρκὸς ταῖς ποικίλαις ἐπιθυμίαις, ταῖς ἀντιστρατευούσαις κατὰ τῆς ψυχῆς μου. ἀλλὰ πάντοτε ὁ δείλαιος ἐν γνώσει ἁμαρτάνω. πάντοτε πλανῶμαι. πάντοτε αἰχμαλωτίζομαι. πάντοτε καταισχύνομαι. διὸ πτωχὸς καὶ δυσειδὴς Κύριε, καὶ ἔρημος τῆς σῆς χάριτος γίνομαι· Οἴμοι Κύριε, ὅτι τὴν μακροθυμίαν σου κακῶς ἐδαπάνησα· Οἴμοι, ὅτι ἐν πολλοῖς ἔτεσιν ἐλύπησα τὸ Πνεῦμά σου τὸ ἅγιον. Οἴμοι, ὅτι ὁ

χρόνους τῆς ζωῆς μου, παρέδραμον ἐν πάσῃ ματαιότητι. Ἀλλὰ Κύριε Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. μὴ δημοσιεύσῃς τὰς μυσαράς μου ἁμαρτίας καὶ αἰσχρουργίας ἐν τῷ παγκοσμίῳ θεάτρῳ, πᾶσιν Ἀγγέλοις καὶ ἀνθρώποις, εἰς ἐμὴν κατάκρισιν καὶ αἰσχύνην αἰωνίαν. αἴτιος γὰρ ὑπάρχω πάσης αἰσχύνης, καὶ κατακρίσεως. Πῶς θρηνήσω τὴν τύφλωσιν τῆς ἐμῆς ψυχῆς; πῶς θρηνήσω τὴν οὕτως ἐμπαθῆ καὶ ἀμετανόητόν μου προαίρεσιν; σήμερον οἱ ἀσκηταὶ ἀναπαύονται τῇ παρακλήσει τοῦ ἁγίου Πνεύματος, ἐγὼ δὲ ταράττομαι τὴν ἐξ ἀμελείας μου πτωχείαν ἀναλογιζόμενος. Σήμερον εὐφραίνονται ἀποκαλυπτόμενοι ὑπ' αὐτοῦ τὰ ἀπόρρητα, ἐγὼ δὲ καταισχύνομαι, ὅτι πάσης ἀρετῆς ξένος πέφυκα. Σήμερον ἀγάλλονται, ὁρῶντες ὑπ' αὐτοῦ τοὺς θησαυροὺς τῶν μισθῶν αὐτῶν. ἐγὼ δὲ κλαίω πικρῶς, ὅτι παρασυνεβλήθην τοῖς κτήνεσι τοῖς ἀνοήτοις; καὶ ὡμοιώθην αὐτοῖς. Γυμνὸς ἐγενόμην ὁ τάλας τῇ ἐμῇ ῥαθυμίᾳ, ἐπειδὴ ἀλλότριος εἰμὶ ἀπὸ τῆς ἐν προσευχῇ ἀγρυπνίας. Ἐπίβλεψον Δέσποτα ἐν ἐλέει ἐξ ὕψους ἁγίου σου. ἴδε τὸ ἀδιόρθωτον τῆς ἐμῆς ἀθλίας ψυχῆς. καὶ οἷς ἐπίστασαι κρίμασιν, ἐλεήσας διόρθωσόν με. ὡς ἐνώπιον τοῦ ἁγίου θρόνου τῆς δόξης συμπαριστάμενος, ὡς τῶν ἀχράντων σου ποδῶν ἐφαπτόμενος. οὕτω δέομαι καὶ ἀντιβολῶ μετὰ συντετριμμένης καρδίας. Ἐλέησόν με ἐλεῆμον τὸ ποίημά σου, ἐπίστρεψόν με δωρεὰν τῇ χάριτί σου. Οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. μὴ ἀναμείνῃς τὴν ἐμὴν διεφθαρμένην προαίρεσιν. ὅτι οὐκ ἔχω προθυμίαν εἰς τὸ διορθώσασθαι ἐμαυτόν. Κλαύσατε ἐπ' ἐμὲ πᾶσα φύσις ὁρατὴ καὶ ἀόρατος, τὸν ἐν ἁμαρτίαις καὶ πάθεσι καταγηράσαντα. κλαύσατε ἐπ' ἐμὲ, τὸν δῆθεν διὰ τοὺς ὁρῶντάς με σωφρονοῦντα, ἔσωθεν δὲ ἀεὶ πορνεύοντα. Ὦ ψυχὴ ἀθλία, ἤγγικέ σου ἡ ἐκ τοῦ σώματος διάλυσις. ἵνα τί εὐφραίνῃ εἰς ἃ μέλλεις σήμερον καταλήψειν, καὶ ὧν τῆς θέας στερηθήσῃ εἰς τοὺς αἰῶνας; διαλογίζου ἃ ἔπραξας, πῶς καὶ τίνα εἰσί. μετὰ τίνας διήνυσας τὰς ἡμέρας τῆς ἐργασίας σου καὶ γεωργίας. καὶ τίνας ἔφρανας ἐν τῇ σῇ παλαίστρᾳ. ἵνα πρὸς ὑπάντησίν σου ἐξέλθῃ ἐν τῇ ὥρᾳ τῆς ἐξόδου σου. τίνας εὔφρανας ἐν τῷ σῷ δρόμῳ, ἵνα ἐν τῷ λειμῶνι αὐτοῦ ἀναπαυθῇς. τίνος δὲ χάριν ἐκοπίασας, ἢ ἐν ἀγρυπνίᾳ ἐταλαιπώρησας, ἵνα φθάσῃς αὐτὸν μετὰ χαρᾶς. τίνα ἐκτήσω φίλον ἐν τῷ μέλλοντι αἰῶνι, ἵνα σε ὑποδέξηται. ἐν ποίῳ ἀγρῷ ἐμισθώσω, καὶ τίς ὁ μέλλων σοι παρασχεῖν τὸν μισθόν. Νῆψον ἀθλία ψυχή, ἵνα μὴ εὑρεθῇς ἐν ὥρᾳ τοῦ χωρισμοῦ ἐν λύπαις καὶ στεναγμοῖς. ἵνα μὴ κλαύσῃς ἀνωφελῶς εἰς αἰῶνας αἰώνων. Ἥξουσι ταῦτα πάντα τότε εἰς τὴν σὴν διάνοιαν, καὶ ἐρεῖς ἐν σεαυτῇ κλαίουσα καὶ ὀδυρομένη δεινῶς. ἐγὼ ταῦτα καθ' ὥραν ἅπαντα ἐμεμνησκόμην, ἀλλ' οὐκ ἐφρόντισα τῆς ἐμῆς σωτηρίας. ἴδε Δέσποτα Χριστὲ Σωτὴρ πηγὰς δακρύων ἐμῶν, καὶ συντρίμματα καὶ στεναγμοὺς τῆς ἀναξίας μου ψυχῆς. καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, πρὸ τοῦ ἐλθεῖν τὸ πρόσταγμα τὸ φοβερὸν καὶ λάβῃ με ἀνέτοιμον καὶ ἠσχυμμένον. πέμψον δύναμιν ὑπὲρ τὴν δύναμίν μου, τοῦ ἐπιστρέψαι με καὶ ζῆν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ κατὰ τὸ σὸν ἅγιον θέλημα. ἁγίασόν μου τὴν καρδίαν, σπήλαιον

καὶ

καὶ κατοικητήριον γινομένην τῶν δαιμόνων. ἁγιασθήτω ἐπ' ἐμοὶ τὸ φοβερὸν καὶ
πανάγιον ὄνομά σου. Οὐκ ἤμην ποτὲ ἐγὼ ἐπὶ τῆς γῆς. ἔδοξε δέ σοι Δέσποτα
ἐν τοῖς πολλοῖς σου οἰκτιρμοῖς, πλάσαι με ἐν κοιλίᾳ μητρὸς ἐμῆς. καὶ τεχθεὶς
τῷ σῷ ἐλέει ἠξιώθην γενέσθαι σκεῦος τῇ σῇ χάριτι. καὶ ἐδωρήσω μοι φωτισ-
μὸν πνευματικῆς γνώσεως. ἐγὼ δὲ ὁ χαῦνος καὶ ἁμαρτωλὸς ἠθέτησα καὶ ἀθετῶ
χάριτός σου τὰς δωρεάς. ποίας οὖν συγγνώμης εἰμὶ ἄξιος ὁ ἄθλιος ἐγώ, αἰ-
τῆσαι συγχώρησιν Κύριε; ὅτι οὐκ ἔχω ἐξομολόγησιν ἀληθινήν. πολλάκις γὰρ
μετανοεῖν σοι συνεταξάμην, καὶ ψεύστης συνταγῆς ἐγενόμην. πολλάκις με ἠλέη-
σας, κἀγὼ δέ σε ἠθέτησα. πολλάκις με ἐβάστασας, κἀγὼ πάλιν ὑπέστρεψα.
πολλάκις με ἀνέστησας, κἀγὼ πάλιν κατέπεσον. διὰ τοῦτο τὴν ἀπόφασιν ἐκ-
φέρω κατ' ἐμαυτοῦ. καὶ ὁμολογῶ ὅτι ἄξιος εἰμὶ πάσης κολάσεως καὶ τιμωρίας.
ποσάκις ἐπληρώθην τῆς παρακλήσεως τῆς χάριτός σου φιλάνθρωπε, περιασδό-
μενος τῇ χαρᾷ, ἐγὼ δὲ ἀεὶ παροργίζω σε. ποσάκις ἐτελέσθη ἐπ' ἐμὲ ἡ χά-
ρις σου, καὶ ἐνέπλησε τὴν πεῖνάν μου, καὶ τὴν δίψαν μου ἀνέψυξε. ποσάκις ἐφώτισε
τὴν σκοτεινήν μου διάνοιαν, καὶ ἐπισυνῆξεν ἀπὸ πλάνης τοὺς λογισμούς μου. πο-
σάκις ἐπλούτισε τὴν πενίαν μου, καὶ ἐδίωξε τὴν σαπρίαν μου. ἐγὼ δὲ ὁ τάλας
πάντοτε αὐτὴν ἀθετῶ ὅλως. ἐξίσταμαι τρέμων ταῦτα διενθυμούμενος. ὅλως εἰς
ἀπορίας καταδύομαι βάθος. οὐδὲν ἱκανὸν πρὸς ἀπολογίαν ὁ ταλαίπωρος ἔχω.
ποσάκις ἐγένετό μοι ἡ χάρις σου Δέσποτα, ὁδὸς ζωῆς, καὶ φωτισμὸς καὶ χαρὰ
ἀνεκλάλητος. ποσάκις ἐγένετο ἐν τῇ καρδίᾳ τοῦ δούλου σου σοφία, καὶ κάλλος,
καὶ δύναμις, ἄρρητον ὕψωμα καὶ καύχημα καὶ ἐδέσματα γλυκύτερα μέλιτος,
ἐν στόματι τοῦ δούλου σου. πῶς ἐξείπω τὰς γινομένας μοι δωρεὰς τῆς χάριτός σου
Κύριε, ἅσπερ ὁ δείλαιος ἐγὼ ἠθέτησα καὶ ἀθετῶ δι' ἐμὴν ἀμέλειαν. διὰ τοῦτο
μυρίων κολάσεων ὑπεύθυνος ὑπάρχω. ὅτι μυρίων δωρεῶν ἐμὲ τὸν ἁμαρτωλὸν
ἐπλήρωσας, ἐγὼ δὲ ὁ ἄθλιος, τὰ ἐναντία σοι ἀμείβομαι. Ἀλλὰ σὺ Κύριε, ὡς
ἔμφυτον ἔχων τῆς μακροθυμίας τὸ πέλαγος, καὶ τῆς εὐσπλαγχνίας τὴν ἄ-
βυσσον. μὴ παραχωρήσῃς ἐκκοπῆναί με ὡς τὴν συκῆν τὴν ἄκαρπον. μὴ ἐά-
σῃς θερίσαι με ἐκ τῆς ζωῆς μου ἄωρον, μὴ ἁρπάσῃς με ἀνέτοιμον ὑπάρχοντα.
μὴ ἄρῃς με λαμπάδα μὴ ἀνάψαντα, μὴ λάβῃς με μὴ ἔχοντα γάμου ἔνδυμα.
ἀλλ' ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ἐλέησόν με. χάρισόν μοι καὶ τὸ ἔτος τοῦτο
πρὸς μετάνοιαν. καὶ μὴ παραστήσῃς γυμνὴν τὴν ψυχήν μου, ἐλεεινὸν στηλίτευμα
τῷ φοβερῷ καὶ ἀδεκάστῳ σου βήματι. ἀλλὰ φιλανθρώπως, σπλαγχνίσθητί μοι
Κύριε, τῷ πτωχῷ τὴν ψυχήν, τῷ ἐλεεινῷ, τῷ γυμνῷ, τῷ ἀπόρῳ, τῷ ἀμελεῖ,
τῷ ῥυπαρῷ, τῷ ἀσώτῳ, τῷ ῥαθύμῳ, τῷ πεπηρωμένῳ, τῷ βεβυθισμένῳ,
τῷ κατησχυμμένῳ, τῷ ἁμαρτωλῷ, τῷ ἀπαρρησιάστῳ, τῷ ἀναπολογήτῳ, τῷ
κατακεκριμμένῳ, τῷ ἀναξίῳ, τῷ ἀξίῳ πάσης κολάσεως καὶ τιμωρίας. Εἰ ὁ
δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ἐγὼ ποῦ φανοῦμαι; στενὴ καὶ
τεθλιμμένη ἐστὶν ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν. πῶς ἐγὼ ἡδυπαθῶν καὶ
ἀκολασταίνων ὁ ἄθλιος, σωτηρίας ἀξιωθῶ; εἰ διὰ πολλῶν θλίψεων ἡ βασιλεία

τῶν

τῶν Οὐρανῶν τοῖς ἀξίοις κατακληροῦται, ποῦ ἂν ἐμοὶ κλῆρος ἀπόνως ζῶντι, καὶ ἀεὶ τὴν ἄνεσιν διώκοντι; οἴμοι ψυχὴ ἀθλία, ὅτι καθ' ἡμᾶς οὕτω διήκει. βραχὺς ἐστὶν ὁ βίος, ὀξέως παρατρέχει ὁ χρόνος, πρὸς τὸν θάνατον παραπέμπων. πῶς ἀπολογήσῃ ἐν γνώσει ἁμαρτάνουσα; πῶς ὑποίσωμεν τοὺς ἐλεγμούς; ποία ἡμᾶς κρίσις λήψεται, ὅταν ἀκούσωμεν τὴν πικρὰν ἐκείνην, καὶ πλήρη πένθους ἀπόφασιν, οὐκ οἶδα ὑμᾶς. πάντας ἡμᾶς παρακαλῶ Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἐλαχίστου. ἐκχέατε δυσωπῶ τὴν δέησιν ὑπὲρ ἐμοῦ πρὸς τὸν οἰκτίρμονα Θεὸν, ἵνα ἐπιστρέψῃ μου τὴν ψυχὴν, τῷ ᾅδῃ προσκολλωμένην, ὑπὸ τῶν παθῶν τῆς ἀτιμίας, ἵνα λάμψῃ τὴν ἁγίαν χάριν αὐτοῦ ἐν αὐτῇ, καὶ φωτίσῃ μου τὴν ἐσκοτισμένην διάνοιαν, ἵνα γένωμαι εὐπρόθυμος καὶ ἄξιος μετανοίας, τῇ δυνάμει τῶν ἁγίων εὐχῶν ὑμῶν. Σὺ Κύριε Σωτήρ μου Υἱὲ τοῦ ἀληθινοῦ Θεοῦ. Σὺ ὡς οἶδας, ὡς θέλεις, διὰ μόνην τὴν σὴν ἀγαθότητα, δωρεὰν ἐπίστρεψόν με, ἀπὸ τῆς ἐνεστώσης μοι κακίας καὶ ἀπωλείας καὶ ἔθου ἐν ἐμοὶ κάλλος ἀρετῆς, τὴν ἀπόγνωσιν τῆς ψυχῆς μου ἀποσοβήσας. Εἰς τὸ ἔλεός σου καταφεύγω ὁ τετραυματισμένος ἐγὼ Δέσποτα. δέξαι μου τοὺς στεναγμούς, ὡς τῆς πόρνης τὰ δάκρυα. μὴ βδελύξῃ με διὰ τοὺς μώλωπας τῶν πολλῶν μου ἁμαρτιῶν. οἶδας Δέσποτα τὸ εὐόλισθον τῆς ἀνθρωπίνης φύσεως. μνήσθητι ὅτι ἐκ νεότητος ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρά. μνήσθητι ὅτι σὺ μόνος εἶ καθαρὸς καὶ ἄχραντος, καὶ ἀμίαντος. Ἐλέησόν με ὁ φύσει ἀγαθὸς, καὶ εὔσπλαγχνος, καὶ ἐλεήμων. νίκησόν μου τὴν πώρωσιν, καὶ ποίησον αὐτὸς ὡς οἶδας τὴν διόρθωσιν. ὅτι τυραννοῦμαι ὑπὸ τῆς πονηρᾶς μου συνηθείας. ὅτι ἀσθενὴς εἰμὶ τῇ ψυχῇ, καὶ τῇ σαρκὶ, καὶ τῇ γνώμῃ. ὅτι διεξέλειπέ μου ὁ χρόνος. διεξέλειπον ἐν ματαιότητι αἱ ἡμέραι μου. ἐγγίζει μοι τοῦ δρόμου τὸ τέλος. καὶ αὐτὸς ἀπρόθυμος εἰμὶ καὶ ἔρημος εἰς τὸ διορθώσασθαι ἐμαυτόν. ἀλλὰ ἄνοιξόν μοι Δέσποτα τὴν θύραν τοῦ ἐλέους σου, καὶ μὴ κλείσῃς μοι αὐτὴν ἀναξίως κρούοντι, ἔκτεινόν μοι χεῖρα βοηθείας ἐν τῷ πελάγει τῶν παθῶν καὶ τῶν ἡδονῶν χειμαζομένῳ. Δός μοι χρόνον μετανοίας, καὶ σωτηρίας τρόπον. Εἰ μὴ γὰρ σὺ Κύριε ποιήσῃς, ὅσα ἂν ἐγὼ ποιήσω, ἀδύνατά μοι καὶ εὐκατάλυτα πέφηκεν. ὅσα ἂν ἔχω ἐγχειρήσω, ἀνωφελῆ καὶ ἀτελείωτα τυγχάνει. ἰδοὺ Κύριε βλέπεις τὴν ἔνστασιν τῶν ἐχθρῶν, καὶ τὴν ἀσθένειαν τῆς ἡμετέρας φύσεως. ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ κακουργίας αὐτοῦ. καθ' ἑκάστην γὰρ τραυματίζομαι. ἵσταται ἐκμυκτηρίζων με. σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, καὶ οὐχ ἕνεκεν τῶν ἔργων μου, πονηρὰ γὰρ εἰσί. Μνήσθητι Κύριε, ὅτι τὰ ἐλέη σου ἀπὸ τοῦ αἰῶνος ἐστὶν ἐπὶ τοὺς ἁμαρτωλοὺς ἐφηπλωμένα. ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, ὡς μὴ ὢν ἀφανισθήσομαι. μὴ νικήσῃ ἡ ἐμὴ ῥᾳθυμία καὶ ἀφροσύνη τὴν ἀνείκαστόν σου φιλανθρωπίαν. μὴ συντάξῃς με τοῖς εὐωνύμοις ἐρίφοις, τὸν τραχὺν τῇ ἁμαρτίᾳ, τὸν ἄθλιον, τὸν ἀνάξιον ἐλ ους. μὴ κρίνῃς με Δέσποτα ὡς ἀχρεῖον καὶ πονηρὸν δοῦλον, μηδὲ συναπολέσῃς με μετὰ

τὴν

τῶν λεγόντων σοι Κύριε, Κύριε, καὶ μὴ ποιούντων τὸ θέλημά σου. Πρόσδεξαι Δέσποτα καὶ εἰσάκουσον τὴν ῥυπαρὰν καὶ ἀναξίαν μου δέησιν, ὁ σώζων πάντας τοὺς ἐλπίζοντας ἐπὶ σέ, ὁ μὴ ἀποστρεφόμενος τὴν δέησιν τῶν ἁμαρτωλῶν. ὁ διδοὺς χεῖρα τῷ χαμαὶ κειμένῳ ὁδήγησόν με εἰς τὸν φόβον σου. Δός μοι δάκρυα κατανύξεως, μετάνοιαν εἰς σωτηρίαν ἄγουσαν, ὅτι πρὸς σὲ ἦρα τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς ψυχῆς μου. ὅτι πρὸς σὲ ἐπερρίφην ἐκ κοιλίας μητρός μου. ὅτι πολλοὶ οἱ οἰκτιρμοί σου ἐπὶ πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου ἐν ἀληθείᾳ. ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τέλος τῆς Κυριακῆς.

## ΤΗ͂ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ ΜΕΤΑ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ

Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Ὠδὴ α΄. ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

ΠΑντων καὶ Ἀγγέλων καὶ βροτῶν, ἰλιγγιῶσι Παρθένε τὰ τάγματα. μόνη πολυύμνητε, Χριστιανῶν κραταιὸν καταφύγιον. πῶς δ᾽ ἐγὼ τολμήσω, κλεινῶς ὑμνῆσαί σε Δέσποινα.

Ἀλλ᾽ ἐπὶ τῷ πλήθει σου ἁγνή, τῆς εὐσπλαγχνίας θαῤῥῶν ὁ ἀνάξιος. πίστει σοι προσέρχομαι, ὁ εὐτελής, καὶ παρειμένος δοῦλος σου. λόγον μοι δοθῆναι, ᾠδήν σοι ᾆσαι χαρμόσυνον.

Χαῖρε μυστηρίου τοῦ φρικτοῦ, τοῦ ἀποκρύφου καὶ θείου φανέρωσις. χαῖρε στάμνε πάγχρυσε, καὶ Παραδείσου θυρῶν ἀνοικτήριον. χαῖρε Θεοτόκε, Παρθένε Μήτηρ ἀνύμφευτε.

Ἵνα σοι πιστοὶ περιχαρῶς, οἱ διὰ σοῦ τῆς χαρᾶς ἀπολαύσαντες. τὸ χαῖρε βοήσωμεν, εὐλογημένη χαῖρε Θεονύμφευτε. πάσης ἡμᾶς ῥῦσαι, ἀνάγκης καὶ περιστάσεως. Δόξα.

Αἵμασιν ἡμῶν ἀθλητικοῖς, πολυθείας ξηράναντες πέλαγος. τῶν ἀνομιῶν ἡμῶν, τοὺς ποταμοὺς ξηράνατε μακάριοι. θείαις ἐπομβρίαις, τῶν ἱερῶν προσευχῶν ὑμῶν. Καὶ νῦν.

Βότρυν ἡ τεκοῦσα τῆς ζωῆς, ἀναπηγάζοντα οἶνον σωτήριον. μέθη σκοτισθέντα με, ἁμαρτιῶν ὡς συμπαθὴς σωφρόνισον. καὶ πρὸς μετανοίας ὁδοὺς εὐθείας εἰσάγαγε.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

ΧΑῖρε ἡ παγκόσμιος χαρά, καὶ ᾅδου ἡ καθαίρεσις. χαῖρε δι᾽ ἧς κατήργηται θάνατος. καὶ ἡ Εὔα λέλυται, τῶν ὀδυνῶν Ἄχραντε. χαῖρε Κόσμου θερμὸν ἱλαστήριον.

Χαῖρε ἡ ἀνάστασις ἡμῶν, τῶν πίστει ἐγνωκότων σε. πανταληθῆ Μητέρα τοῦ κτίσαντος. ἡ τῶν δαιμόνων χαῖρε κατάλυσις. χαῖρε βάτε ἄφλεκτε, Μωσῆς ἣν τεθέαται. μὴ τακεῖσαν πυρὶ τῆς Θεότητος.

Νυκτὶ

Νυκτὶ καλυφθεῖσαν λυπηρῶν, καὶ σκότει συνεχόμενον. τῶν συμφορῶν με πάναγνε Δέσποινα. ἡ φῶς τεκοῦσα τὸ προαιώνιον. ὅλον με καταύγασον, καὶ φώτισον λαμπρῶς. καὶ χαρᾶς σου τῆς θείας ἀξίωσον.

Ὢ θαῦμα καὶ ἄκουσμα καινὸν, καὶ θέαμα ἐξαίσιον. ὡς ἀληθῶς καὶ ὄντως παράδοξον. Παρθένος τίκτει τὸν ὑπερούσιον. τῷ Πατρὶ συνάναρχον, καὶ τῷ θείῳ Πνεύματι, ὁμοούσιον καὶ συναΐδιον. Δόξα.

Φρύαγμα τυράννων δυσσεβὲς, γενναίως συντετρίψατε. πρὸς τὸν Θεὸν ὑψούμενοι Μάρτυρες. διὸ κραυγάζω, κατεπαιρόμενον, καὶ σοβαρευόμενον, κατ' ἐμοῦ τὸν δράκοντα, ταῖς ὑμῶν ἱκεσίαις συντρίψατε. Καὶ νῦν.

Ζάλης με ἀτόπων λογισμῶν, κινδύνων τε καὶ θλίψεων. καὶ πειρασμῶν Παρθένε ἐξάρπασον. καὶ πρὸς λιμένας εὐθέους ἴθυνον, τὴν ἐμὴν διάνοιαν. ἱκετεύω σε μόνη Πανύμνητε.

Ὠδὴ δ'. Ὅρος σε τῇ χάριτι.

Χαῖρέ σοι Παρθένε, Γαβριὴλ ὁ Ἀρχάγγελος. εἰς Ναζαρὲτ καταπεμφθεὶς, τῇ Βασιλίδι ἐκβοᾷ. χαῖρέ σοι κραυγάζομεν, καὶ οἱ βροτοὶ σὺν τῷ Ἀγγέλῳ γηθόμενοι. οἱ σεσωσμένοι τῷ τόκῳ σου Ἄχραντε.

Τὸ χαῖρε τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσωμεν. χαῖρε ἀμόλυντε σκηνὴ, χαῖρε χρυσῆ περιστερὰ, χαρᾶς ἡ ἀνέγερσις. καὶ τῆς ἀρᾶς περιφανῶς ἀμυντήριον. Θεοκύπτορ Παρθένε πανάμωμε.

Παθῶν με τρικυμίαι, χειμάζουσι Δέσποινα. καὶ συμφορῶν παντοδαπῶν, νέφη καλύπτουσιν ἀεὶ, ψυχήν μου τὴν τάλαιναν. ἀλλ' ἡ τὸ φῶς τῆς ἀπαθείας κυήσασα, τῷ σῷ φωτί με καταύγασον Δέσποινα.

Ἀνάστα τοῦ ὕπνου, τῆς δεινῆς ῥαθυμίας σου. ὦ παναθλία καὶ σαθρὰ, πολυαμάρτητε ψυχή. καὶ βόησον ἥμαρτον, σοὶ τῷ Θεῷ, καὶ ποιητῇ μου καὶ πλάστῃ μου, τῆς σῆς Μητρός με πρεσβείαις ἐλέησον. Δόξα.

Μαρτύρων Χριστέ μου, τὰς λιτὰς προσδεξάμενος. ἐναθλησάντων ὑπὲρ σοῦ, καὶ νικησάντων τὸν ἐχθρὸν. ἐχθρῶν ὁρωμένων με, ὡς ἀγαθὸς καὶ ἀοράτων ἐξάρπασον. ἐπιζητούντων ἀεὶ θανατῶσαί με. Καὶ νῦν.

Ἥλιον ὁλόφωτε νεφέλη κυήσασα, δικαιοσύνης Ἰησοῦν. τὸν φωτοδότην καὶ Θεὸν, ψυχήν μου καταύγασον. τὴν ἐν νυκτὶ τῆς ἁμαρτίας ὑπάρχουσαν, καὶ ἡδονῶν ἀμαυρώσει τυφλώττουσαν:

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Χαῖρε Θρόνε, τοῦ Θεοῦ τῶν ἁπάντων πάναγνέ μοι. χαῖρε τεῖχος τῶν πιστῶν, καὶ ἀσάλευτον ἔρεισμα. χαῖρε θεία γέφυρα, βροτοὺς εἰσάγουσα πρὸς θείαν, καὶ μακαρίαν ἀπόλαυσιν.

Χαῖρε ὄρος, τοῦ Θεοῦ ἐμφανὲς καὶ κατάσκιον. Θεοτόκε καὶ πιστῶν ἰσχυρὸν φυλακτήριον. Χαῖρε φῶς τὸ ἄδυτον, ἁγνὴ σαφῶς ἀποτεκοῦσα, τὸ καταλάμψαν τὰ σύμπαντα.

Κατεύνασον, τῶν παθῶν μου τὸν ἄγριον κλύδωνα. καὶ πειρασμῶν τῶν ἀμέτρων

πταισμά-

πταισμάτων διάλυσον. καὶ ἐν βόθρῳ κείμενον, ἀνάστησόν με Θεομῆτορ, ὅπως ἀξίως δοξάζω σε.

Τεινόμενοι, καὶ τὸ σῶμα ποιναῖς συντριβόμενοι, πανεύφημοι, ἀθλοφόροι Θεὸν ἐδοξάσατε τοῖς οἰκείοις μέλεσιν. ὃν ἱκετεύσατε τυχεῖν με δόξης ἐνθέου μακάριοι. Δόξα.

Ῥήσεις πᾶσαι Προφητῶν, προδιέγραψαν Ἄχραντε τὸν σὸν τόκον τὸν ἀπόρρητον καὶ δυσερμήνευτον, ὃν ἡμεῖς ἐγνώκαμεν μυσταγωγὸν τῆς ἑνιαίας, καὶ Τρισηλίου Θεότητος. Καὶ νῦν.

Καρποφόρον ἀρεταῖς τὴν ψυχήν μου ἀνάδειξον. τοὺς ἀκάρπους λογισμούς μου Παρθένε διώκουσα. καὶ τὰς συμπνιγούσας με προρρίζους, τέμνουσα ἀκάνθας, τῆς ἁμαρτίας πανάχραντε.

Ὠδὴ ς΄. Ἐκύκλωσεν ἡμᾶς.

ΠΟλύμορφον Θεοῦ χαῖρε παλάτιον. χαῖρε ἔμψυχε τράπεζα, ἄρτον φέρουσα Οὐράνιον Χριστόν. χαῖρε παρθενίας τὸ κειμήλιον. χαῖρε ἰσχὺς τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Ἁγνείας καθαρὸν, χαῖρε θησαύρισμα. χαῖρε πασῶν ὁλόφωτε, χαῖρε ἄκουσμα καὶ λάλημα φρικτόν. χαῖρε ζωοδότην ἀποτέξασα. χαῖρε ἰσχὺς πεπτωκότων, καὶ ἐπανόρθωσις.

Καταῤῥάξον ἀμάχῳ δυναστείᾳ σου, Θεομῆτορ Δέσποινα. τὰς δεινὰς ἐπαναστάσεις τῶν ἐχθρῶν καὶ τὰς ἑλεπόλεις καὶ φρυάγματα. καὶ πρὸς βυθὸν τῆς ἀπωλείας τούτους κατάπεμψον.

Νῦν Πανάγνε τὸν σὸν οἰκέτην λύτρωσαι, ἐκ πάσης περιστάσεως. ἐπηρείας καὶ ὀργῆς τε καὶ θυμοῦ. φθόνου τε δεινοῦ καὶ κατακρίσεως. ἐπιβουλῆς τῆς καθ' ἑκάστην ἐπεμβαινόντων μοι. Δόξα.

Τῶν ἄθλων καλλοναῖς ὡραϊζόμενοι, τῇ πάντων ὡραιότητι πλησιάζετε ὁπλῖται τοῦ Χριστοῦ. ὅθεν δυσωπῶ τῆς διανοίας μου, τὸ ἀκαλλὲς, καθωραΐσαι θείαις δεήσεσι. Καὶ νῦν.

Μαρία καθαρὸν τοῦ Λόγου σκήνωμα, παθῶν ἐναποκάθαρον τὴν καρδίαν μου καὶ σκεῦος καθαρὸν, Πνεύματος τοῦ θείου ἀποτέλεσον. ἵνα ὑμνῶ καὶ μεγαλύνω σε τὴν πανάμωμον.

Καὶ εὐθὺς τὰ παρόντα Κοντάκια, ἦχος α΄.

Ἐν ἀνομίαις συλληφθεὶς ἐγὼ ὁ ἄσωτος, οὐ τολμῶ ἀτενίσαι εἰς τὸ ὕψος Οὐρανοῦ. ἀλλὰ θαρρῶν εἰς τὴν φιλανθρωπίαν σου κράζω. ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με. Δόξα.

Εἰ ὁ δίκαιος μόλις σώζεται, ἐγὼ ποῦ φανοῦμαι ὁ ἁμαρτωλός; τὸ βάρος καὶ τὸν καύσωνα, τῆς ἡμέρας οὐκ ἐβάστασα. τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν, συναρίθμησόν με ὁ Θεὸς, καὶ σῶσόν με. Καὶ νῦν.

Ἀπώθου ὦ ψυχή, ῥαθυμίας τὸν ὕπνον. καὶ ἄναψον φαιδρὰν, μετανοίας λαμπάδα. καὶ ἔξελθε νῦν χαίρουσα, τῆς τοῦ βίου συγχύσεως, εἰς ὑπάντησιν τοῦ

σιν τοῦ

σιν τοῦ Οὐρανίου νυμφίου, δέξαι λέγουσα, καὶ μὴ ἀπώσῃ με Λόγε. λιταῖς τῆς τεκούσης σε.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε.

Χαῖρε πιστῶν, ἀσφαλὲς προπύργιον. χαῖρε πανάχραντε Ἁγνή. χαῖρε ἄσυλε θησαυρέ. ὄλβος ὁ ἀκένωτος, τοῖς εἰς σὲ προστρέχουσι καὶ τῷ Υἱῷ σου κραυγάζουσιν, ὁ αἰνετὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὁ φωτεινὸς, τοῦ Δεσπότου θάλαμος. χαῖρε πανθαύμαστε Ἁγνή. χαῖρε τεῖχος τὸ τῶν πιστῶν. χαῖρε κλίμαξ ἄγουσα, θείαν πρὸς κατάπαυσιν, τοὺς μελῳδοῦντας τῷ τόκῳ σου. ὁ αἰνετὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Πλήθη πολλῶν, πειρασμῶν χειμάζουσι. τὴν παναθλίαν μου ψυχήν. περιστάσεις καὶ συμφοραὶ, Κόρη ἀπειρόγαμε. πρόστηθι καὶ δεῖξόν με, τούτων ἀνώτερον κράζοντα, ὁ αἰνετὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἡ φοβερὰ, τοῦ Δεσπότου ἤγγικεν, κρίσις ἀθλία μου ψυχή. τί καθεύδεις, τί ἀμελεῖς; σπεῦσον ἐξανάστηθι, βόησον τῷ Κτίστῃ σου. ταῖς μητρικαῖς σου ἐντεύξεσι, ῥῦσαι δεινῶν αἰωνίων, κακῶν ἀποκειμένων μοι. Δόξα.

Οἱ τὰς ὁρμὰς, τῶν λεόντων παύσαντες, τῇ πρὸς τὸν Κύριον ὁρμῇ. τὸν ὁρμῶντα νῦν κατ' ἐμοῦ, δράκοντα πατάξατε, Μάρτυρες καὶ σώσατε. εὐσεβοφρόνως βοῶντά με. ὁ αἰνετὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος. Καὶ νῦν.

Πρὸς τὸν ἐκ σοῦ, γεννηθέντα Κύριον, γενοῦ μεσίτις ἀγαθή. τῆς γεέννης καὶ τοῦ πυρὸς, ὅπως με λυτρώσηται, καὶ καταξιώσῃ με, τῆς Βασιλείας κραυγάζοντα. ὁ αἰνετὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

Χαῖρε Θρόνε ἔνδοξε Θεοῦ. χαῖρε τῆς Ἐκκλησίας, τὸ κάλλος σὺ Θεοτόκε, καὶ κραταίωμα στεῤῥὸν, καὶ τεῖχος ἀπόρθητον. τοῖς βοῶσι, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Χαῖρε στύλε πύρινε δι' οὗ, εἰσήχθημεν πρὸς θείαν, κατάπαυσιν Θεοτόκε, οἱ ἐξώριστοι πρίν. βοῶντες καὶ λέγοντες. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐκ πασῶν με Κόρη συμφορῶν, σκανδάλων πολυτρόπων. ἐχθρῶν τε ἐπιζητούντων, ἀπολέσαι με δεινῶς, ἐξάρπασον κράζοντα. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σῶσαι θέλων ἅπαντας Σωτὴρ, ἐν μήτρᾳ τῆς Παρθένου. κατῴκησας ἣν προστάτιν, καὶ προπύργιον ἡμῶν, τοῖς μέλπουσι δέδωκας, εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Δόξα.

Δεσμοῦντες πᾶσαν τοῦ ἐχθροῦ, ἐλύσατε κακίαν. διό με πεπεδημένον, ἁμαρτήμασι σοφοί. λυτρώσατε Μάρτυρες, μελῳδοῦντα. πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Καὶ νῦν.

Φωτοδότην τέξασα Θεὸν, εὐλογῶ τε Παρθένε. τὰ ὄμματα τῆς καρδίας μου κατα-

γασον

γασον φωτί, Θεοῦ ἐπιγνώσεως εἰς τὸ μέλπειν. πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

Χαίροις Οἰκουμένης καύχημα. χαῖρε Μαρτύρων σέφος τὸ ἀμαρτάντινον. χαῖρε φωτεινὸν, καὶ χρυσαυγὲς ἐνδιαίτημα. τοῦ Δεσπότου τῶν ὅλων Θεόνυμφε. ᾧ πρέσβευε ῥυσθῆναι, πάσης κακώσεως τοὺς δούλους σου.

Χαίροις νοητὲ Παράδεισε. σὺ γὰρ ζωῆς τὸ ξύλον Χριστὸν ἐβλάστησας. τοῦ προτέρου ξύλου, τὸ ὀλέθριον λύσαντα. καὶ ζωὴν χαριζόμενον ἅπασι, τοῖς σὲ ὁμολογοῦσι, καὶ Θεοτόκον καταγγέλλουσι.

Παῦσον τὰς ὀδύνας Δέσποινα. τὰς συνεχούσας με ψυχῇ τε καὶ σώματι. καὶ μετάβαλε εἰς εὐφροσύνην τὰ δάκρυα. καὶ καρδίας τὸν πόνον ἀφάνισον. κἀμοῦ τοῦ παναθλίου, ὅπως προθύμως μεγαλύνω σε.

Θραῦσον τὴν ἰσχὺν Θεόνυμφε. καὶ τὴν ὁρμὴν εἰς τέλος τάχος ἀφάνισον. τῶν κακοποιούντων με, ἐχθρῶν τὸν πανάθλιον. καὶ δουλείας τῆς τούτων ἀπάλλαξον. Θεοκυῆτορ Κόρη, ὅπως ἀπαύστως μεγαλύνω σε. Δόξα.

Σῶμα παραδόντες μάστιξι, τὰ τῶν δαιμόνων ξίφη κατεμαστίξατε. ἄπληγον τὸν νοῦν, διατηρήσαντες Μάρτυρες. πληγωθεῖσαν διὸ τὴν καρδίαν μου. τῷ βέλει τῆς κακίας, ταῖς προσευχαῖς ὑμῶν ἰάσασθε. Καὶ νῦν.

Ψῦξον τῶν παθῶν μου Πάναγνε. τὰς διεκχύσεις πάσας καὶ ἀποξήρανον. τῶν ἁμαρτιῶν μου τὸν βυθὸν τὸν ἀμέτρητον. ἡ σωτήριον ὄμβρον γεννήσασα. καὶ ποταμὸν εἰρήνης, καὶ εὐσπλαγχνίας μέγα πέλαγος.

Στιχηρὰ Προσόμοια, ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Πανάγιον Τέμενος Θεοῦ, Οὐρανῶν πλατύτερον. καὶ Χερουβὶμ ἁγιώτερον, Θεοχαρίτωτε. Παναγία Κόρη, τὸν νοῦν μου καθάρισον. καὶ φώτισον καρδίας τὰ ὄμματα, παρεχομένη μοι. εὐπρόσδεκτῳ μεσιτείᾳ σου. τῶν πταισμάτων, πάντων τὴν συγχώρησιν.

Ἀφθόρως ἐκύησας Χριστὸν, τὸν φθορὰν μειώσαντα. καὶ ἀφθαρσίαν πηγάσαντα, ἄφθορε ἄμωμε. διὸ δυσωπῶ σε, τὸν δεινῶς φθαρέντα με. πρεσβείαις σου Ἁγνὴ ἀνακαίνισον, ἵνα δοξάζω σε. ἵνα πόθῳ μεγαλύνω σε. τὴν τὸ γένος ἡμῶν μεγαλύνασαν.

Τὸ πῦρ ἐν τοῖς σπλάγχνοις σου Χριστὸν, ὑπεδέξω Ἄχραντε. καὶ ἀκατάφλεκτος ἔμεινας, διὸ σοῦ δέομαι. τοῦ πυρός με ῥῦσαι, τῇ θερμῇ πρεσβείᾳ σου. καὶ τῆς αἰωνιζούσης Κολάσεως, καὶ πάσης θλίψεως. καὶ ποικίλων περιστάσεων. τὸν τῇ σκέπῃ τῇ σῇ καταφεύγοντα.

Ὁ κήρυξ τῆς χάριτος Χριστοῦ, ὁ πᾶσι τὴν μετάνοιαν. προκαταγγείλας τοῖς Ἔθνεσι, τὴν παναθλίαν μου. καὶ πεπωρωμένην, ψυχὴν θεῖε Πρόδρομε. προσμένειν μετανοίᾳ εὐόδωσον, καὶ τὰ θελήματα. τοῦ Κυρίου πράττειν πάντοτε. ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

Νέκρωσον τὸ φρόνημα παθῶν, τῶν παρενοχλούντων με. καὶ τὰς ἀτάκτους κινήσεις

νήσεισμου, Θεοῦ προάναρχε. θείᾳ ἐξουσίᾳ, πρᾶον ὡς εὔσπλαγχνος. παρέχων μοι πταισμάτων τὴν ἄφεσιν, ὡς εὐδιάλλακτος. ὡς οἰκτίρμων καὶ φιλάνθρωπος. διὰ πλοῦτον, τῆς σῆς ἀγαθότητος. Καὶ νῦν.

Δεινῶς με χειμάζουσι δεινοί, ἁμαρτίας χείμαρροι. ὠδῖνες ᾅδου κυκλοῦσί με, παγὶς θανάτου δέ. ψυχικὴ προφθάνει, ἐλεήμων Δέσποινα. βοῶσι. μετ' ὀδύνης καρδίας μου, σπεῦσον ἐξάρπασον. ἐκ θανάτου ἀπογνώσεως. καὶ ἐξ ᾅδου, νῦν τῆς ἀπωλείας με.

Εἶθ' οὕτως τὸ Ἄξιον ἐστὶν, τὸ Τρισάγιον, καὶ τὰ λοιπά.

Καὶ εὐθὺς τὸ Κοντάκιον. πλ. δ'.

Τῶν ἀοράτων ἐχθρῶν μου τὸ ἄϋπνον. ἐπίστασαι Κύριε. καὶ τῆς ἀθλίας σαρκός μου τὸ ἄτονον, ἔγνως ὁ πλάσας με. διὸ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμα μου. σκέπασόν με πτέρυξι τῆς σῆς ἀγαθότητος, ἵνα μὴ ὑπνώσω εἰς θάνατον. καὶ τοὺς νεκροὺς ὀφθαλμούς μου φώτισον, ἐν τῇ τέρψει τῶν θείων λόγων σου. καὶ διέγειρόν με ἐν καιρῷ εὐθέτῳ. πρὸς τὴν δοξολογίαν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Τὸ Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ, καὶ τὰ λοιπά. Καὶ καθεξῆς αἱ Εὐχαί.

Εὐχὴ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον, τῇ β'. Εὐχὴ, α'.

Δέχου τοίνυν εὐλογημένη, ἀσπιλωτάτη Δέσποινα ἀγαθὴ, τὴν οἰκτράν μου δέησιν. ἐξ ἀχρείου στόματος προσαγομένην σοι. ὡς πάντα ἐπισταμένη, καὶ μάλιστα τὴν ἐμὴν ἀσθένειαν. ἐγὼ γὰρ διὰ σοῦ καταφεύγω εἰς τὴν ἀγαθότητα τοῦ Υἱοῦ σου. διὰ σοῦ τὴν πρὸς θάνατον ἀνεκλίθην τρίβον Κυρία μου. διὸ καὶ τὰς πράξεις, καὶ τὰ κινήματά μου, τὰς ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, τὰ ἐν ἔργῳ καὶ λόγῳ, τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ, καλῶς ἐπίστασαι. σὺ λοιπόν με κυβέρνησον. σὲ γὰρ καὶ μεσίτιν πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν προεχειρισάμην. αὐτή με ἐλέησον, αὐτή μου βοήθησον. αὐτή μοι γενοῦ συνεργὸς, ἐν παντὶ ἔργῳ ἀγαθῷ, κατὰ τὸ θέλημα τοῦ Υἱοῦ καὶ Θεοῦ σου. συγγινώσκεις ὑπεράγαθε Δέσποινα, ὅτι ἐξ ἁπαλῶν ὀνύχων καὶ ἐξ αὐτῶν τῶν μητρικῶν ἀγκαλῶν ἐπὶ σὲ ἐπερρίφην σοὶ ἐπεδόθην, εἰ καὶ κακῶς ἐμαυτὸν διῴκησα. καὶ οὐκ ἔγνων ἄλλην καταφυγήν. ἢ προστασίαν, ἢ ἀντίληψιν, ἢ πρὸς Θεὸν μεσίτιν, εἰ μὴ σέ. καὶ τὰ νῦν Δέσποινά μου πάσας τὰς ἀτόπους μου πράξεις ἐξαγγέλλωσι. ἐλέησόν με καὶ ἐξάλειψον τὰς ἁμαρτίας μου. Σὺ γὰρ γινώσκεις Δέσποινά μου Θεοτόκε, ὅτι ὡς ὄρνεον εἰμὶ ξένον, μὴ ἔχον ποῦ τὴν κεφαλὴν κλίναι. εἰ μὴ εἰς τὴν Μητέρα τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν. Σύ μου ὦ Δέσποινα βοηθὸς, σύ μου ἱλαστήριον. σύ μου σκέπη. σύ μου πρὸς Θεὸν ἐγγυητής. σύ μου πατὴρ, σύ μου μήτηρ, σύ μου ὁδηγός. ἐν σοὶ πᾶσαν μου τὴν ἐλπίδα ἀνατίθημι. σὺ γινώσκεις τὴν ἀπορίαν μου, ὅτι τινὰ οὐκ ἔχω, εἰ μὴ σὲ, καὶ τὸν ἐκ σοῦ τεχθέντα Θεόν. διὰ τοῦτο μὴ βδελύξῃ με, μηδὲ ἀπόστῃ με ἀγαθή. μὴ ἐνικήσῃ τὸ πλῆθος τῶν κακῶν μου τὴν ἀγαθότητα. ἔχεις γὰρ πέλαγος εὐσπλαγχνίας, ὡς τοῦ ὑπερευσπλάγχνου Μήτηρ οὖσα, μόνον θέλησον, καὶ ἐγὼ ἐσώθην, οὐδεὶς ἀντιτάσσεταί σοι. Μήτηρ γὰρ εἶ, τοῦ τὰ πάντα πεποιηκότος Θεοῦ μου Ἰησοῦ Χριστοῦ. Οἶδα, ὅτι πολλαὶ εἰσὶν αἱ ἁμαρτίαι μου, καὶ οὐκ εἰμὶ ἄξιος ἀπονεῖσαι καὶ

ἰδεῖν τὸ ὕψος τοῦ Οὐρανοῦ, ἀπὸ τοῦ πλήθους τῶν ἀνομιῶν μου. ἀλλ' ἐὰν αὐτὴ ἐπιβλέψῃς, οὐδεὶς ὁ κωλύων. βοήθησόν μοι Δέσποινα Θεοτόκε τῷ ἀπαρρησιάστῳ, καὶ μὴ λογισθῇ μοι ἡ τόλμη εἰς ἁμαρτίαν. ἀλλὰ μᾶλλον δός μοι κατάνυξιν, δός μοι πηγὴν δακρύων. δός μοι στεναγμὸν, καὶ συντριβὴν καρδίας, ἵνα κλαύσω τὰς ἁμαρτίας μου. ἐγὼ γάρ εἰμι ὁ ὑπὲρ πᾶσαν φύσιν ἀνομήσας, ἐνώπιον τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ. οἶδα Δέσποινά μου, ὅτι ἀναπολόγητός εἰμι, καὶ ἀνάξιος πάσης φιλανθρωπίας, καὶ ἄξιος πάσης τιμωρίας, καὶ οὐκ ἔχω λόγον ἀπολογίας. καὶ διὰ τοῦτο εἰς τὸ ἔλεος τοῦ σοῦ Υἱοῦ καταφεύγω, τοῦ ἀγαθοῦ μου Δεσπότου καὶ ποιητοῦ. σὺ τοίνυν με κυβέρνησον, καὶ δίδαξόν με Θεοτόκε. δωρεὰν ζητῶ τὸ σὸν πλούσιον ἔλεος. ἐλέησόν με ὡς θέλεις, ὡς κελεύεις. μὴ ἐκβάλῃς με τοῦ σοῦ προσώπου. μὴ ἀπώσῃ με τῆς σῆς εὐχῆς καὶ εὐσπλαγχνίας. ἐλέησόν με τὸν εἰς σὲ πᾶσάν μου τὴν προσδοκίαν ἔχοντα, καὶ δεῖξον τὴν δυναστείαν σου ἐν ἐμοὶ Θεοτόκε. ἐὰν γὰρ ἐμὲ σώσῃς τὸν ἁμαρτωλὸν, μέγα σου τὸ ἔλεος. μεγάλη σου ἡ εὐσπλαγχνία. μεγάλη σου ἡ ἀνεξικακία. μεγάλη σου ἡ μακροθυμία. Ἐὰν γὰρ τὸν ἄξιον ἐλεήσῃς, οὐδὲν θαυμαστόν. ἀλλ' ἐμοὶ βοήθησον, μᾶλλον ἐμὲ οἴκτειρον. ἐμοὶ δὸς χεῖρα τὸν χαμαὶ κειμένῳ, καὶ ἀνάστησόν με ἐκ βυθοῦ ἀπωλείας. τῷ ἀμελεῖ, τῷ ῥαθύμῳ, τῷ ἀχαρίστῳ, τῷ ἀγνώμονι, τῷ σκληρῷ, τῷ ἀκατανύκτῳ, τῷ ἐπιόρκῳ, τῷ καταλάλῳ, τῷ ἀσώτῳ, τῷ βλασφήμῳ, τῷ λοιδόρῳ, τῷ συκοφάντῃ, τῷ πάσης κακίας καὶ πράξεως καὶ λόγων αἰσχρῶν καὶ ἠθῶν μεμεστωμένῳ. καὶ πάσης ἀγαθοεργίας καὶ καλῆς πράξεως ξένῳ καὶ ἀλλοτρίῳ, καὶ ἀξίῳ πάσης κολάσεως καὶ τιμωρίας. Ναὶ Δέσποινά μου Ὑπεραγία μου Θεοτόκε. σπλαγχνίσθητι ἐπ' ἐμὲ, τὸν ἄπωρον, καὶ ξένον καὶ ἐλεεινόν. καὶ ποίησον μετ' ἐμοῦ τὰ ἐλέη σου τὰ πλούσια. ἵνα σεσωσμένος ὑμνῶ τὸν ἐκ σοῦ σαρκωθέντα Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν. καὶ μεγαλύνω σε τὴν ἐμὴν σωτηρίαν, τὴν ἐμὴν ἀντίληψιν, τὴν ἐμὴν παραμυθίαν, τὸν ἐμὸν φύλακα πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. βοήθει μοι, βοήθει μοι Ἁγία Δέσποινα, βοήθει μοι. καὶ ἀξίωσόν με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου ποιεῖν τὸ θέλημα τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ μου. καὶ θεραπεύσω αὐτῷ ὡς δεῖ, καὶ οὕτως τελειωθῆναί με Δέσποινά μου Θεοτόκε. καὶ ὑπὸ ἁγίων Ἀγγέλων ὁδηγηθῆναι, εἰς τὰς ἐκείνων θείας καὶ φωτοειδεῖς σκηνὰς. διὰ τῆς σῆς εὐπροσδέκτου πρεσβείας καὶ ἱκεσίας. Ναὶ Δέσποινά μου, ἀξίωσόν με τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον. ἵνα μεγαλύνω σε, καὶ τὸν ἐκ σοῦ σαρκωθέντα δοξάζω Χριστὸν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν. ᾧ ἡ δόξα σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Εὐχὴ, β'. Εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Ὦ Δέσποινα Θεοτόκε, τὸ ἐμὸν ἐκ Θεοῦ ψυχαγώγημα. τοῦ ἐμοῦ καύσωνος, ἡ θεία δρόσος. τῆς ξηρανθείσης μου καρδίας, ἡ θεόρρυτος ῥανίς. τῆς ζοφερᾶς μου ψυχῆς ἡ τηλαυγεστάτη λαμπάς. τῆς ἐμῆς ῥαθυμίας ἡ ποδηγία, τῆς ἀσθενείας ἡ δύναμις, τῆς γυμνώσεως ἡ ἀμφίασις, τῆς πτωχείας ὁ πλοῦτος. τῶν ἀνιατῶν τραυμάτων ἡ ἴασις. τῶν δακρύων ἡ ἀναίρεσις, τῶν στεναγμῶν ἡ κατάπαυσις.

τῶν συμ-

τῶν συμφορῶν ἡ μεταποίησις, τῶν ὀδυνῶν ὁ κουφισμὸς, τῶν δεσμῶν ἡ λύσις, τῆς σωτηρίας ἡ ἐλπίς. εἰσάκουσόν μου τῆς προσευχῆς, οἰκτείρησόν μου τοὺς στεναγμοὺς· καὶ προσδεξαμένη τοὺς ὀδυρμοὺς, ἐλέησόν με. ἐπικάμφθητι τοῖς δακρυσί μου. σπλαγχνίσθητι ἐπ' ἐμὲ ὡς Μήτηρ τοῦ φιλανθρώπου Θεοῦ. ἐπίβλεψον καὶ ἐπίνευσον ἐπὶ τὴν ἐμὴν ἱκεσίαν. καὶ ἐκπλήρωσον τὸ διψῶδές μου καταθύμιον. καὶ κατάταξόν με ἐν τῇ γῇ τῶν πραέων, ἐν σκηναῖς δικαίων, ἐν χορῷ τῶν Ἁγίων. καὶ ἀξίωσόν με ἡ πάντων προστασία καὶ χαρὰ, καὶ φαιδρὰ θυμηδία. συνευφρανθῆναι δέομαί σου, ἐν τῇ χαρᾷ ἐκείνῃ τῇ ὄντως ἀνεκφράστῳ, τοῦ ἐκ σοῦ τεχθέντος Θεοῦ καὶ Βασιλέως ἐν τῷ νυμφῶνι αὐτοῦ τῷ ἀφθάρτῳ. ἐν τῇ τρυφῇ τῇ ἀλλήκτῳ καὶ ἀκορέστῳ. καὶ ἐν τῇ ἀνεσπέρῳ καὶ ἀπεράντῳ αὐτοῦ Βασιλείᾳ. Ναὶ Ὑπεραγία καὶ ὑπεράγαθε Δέσποινα Θεοτόκε τὸ ἐμὸν καταφύγιον, ἡ ζωὴ καὶ ἀντίληψις. τὸ ὅπλον, τὸ καύχημα, ἡ ἐλπὶς, τὸ σθένος μου. Δός μοι ἀπολαῦσαι τῶν τοῦ Υἱοῦ σου ἀκαταλήπτων, καὶ ἀνεκφράστων, καὶ ἀνεκδιηγήτων δωρεῶν ἐν τῇ Ἐπουρανίῳ διαγωγῇ. ἔχεις γὰρ σύνδρομον τῇ θελήσει τὸ δύνασθαι ὡς τοῦ Ὑψίστου Μήτηρ. καὶ διὰ τοῦτο τολμήσας αἰτῶ. μὴ οὖν ἀποστερηθῶ πανάχραντε Δέσποινα τῆς ἐμῆς προσδοκίας. ἀλλὰ τύχοιμι αὐτῆς Θεόνυμφε. ἡ τὴν τῶν πάντων προσδοκίαν ὑπὲρ λόγον τεκοῦσα, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἀληθινὸν Θεὸν καὶ Δεσπότην. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, ἅμα τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Εὐχὴ, γ'.

Φιλάνθρωπε Μήτηρ τοῦ φιλανθρώπου Δεσπότου, καὶ ἐλεήμονος Θεοῦ. ἡ ἀγαθὴ γαλουχὸς τοῦ ἐκ σοῦ βρεφουργηθέντος ὑπερφυῶς. πάναγνε Δέσποινα. κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσόν μου, ἐκ τοῦ ὕψους τῆς δόξης σου. τὰ ῥήματά μου ἐνώτισαι πάναγνε Δέσποινα. σύνες τῆς ἐκ βαθέων κραυγῆς μου. καὶ πρόσχες τὴν φωνὴν τῆς ἐπιπόνου μου δεήσεως, ἡ βοηθός μου καὶ ἐλπίς. καὶ δός μοι λόγον ἐν ἀνοίξει τοῦ στόματός μου, ὅπως ἂν ἐξαγγείλω τὰ μεγαλεῖά σου, πρὸ τοῦ με ἀπελθεῖν, ὅπου οὐκ ἔστιν ἐξομολόγησις. ἡμάρτηκα πάναγνε, ἡμάρτηκα, καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. ἐπίβλεψον ἐπὶ τὴν προσευχὴν καὶ ἐξομολόγησιν τοῦ δούλου σου. καὶ παράσχου μοι πηγὴν δακρύων, ἐξ ἐπιπόνου καρδίας, καὶ ψυχῆς ἐσπιλωμένης. καὶ κάθαρον, λοῦσον, ἀπόπλυνον ἁμαρτίας μου τὸν βόρβορον, ἐμφυτεύουσα τῇ ἐμῇ καρδίᾳ τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ τὸν φόβον τὸν ἅγιον. Ἡλίου τοῦ νοητοῦ φαεινοτάτη νεφέλη, λάμψον φῶς νοερὸν τῷ ζοφώδει καὶ σκοτεινῷ μου νοΐ. διασχίζουσα καὶ ἀπελαύνουσα τὴν παχεῖαν ὁμίχλην τῶν πονηρῶν λογισμῶν. ὅπως ἂν ἐν γαλήνῃ, καὶ ἱλαρότητι τοῦ φωτὸς τῆς σῆς ἐπιλάμψεως, θυσίαν αἰνέσεως θύσω, καὶ ἐξομολογήσεως, τῷ Υἱῷ σου καὶ Θεῷ καὶ προσδέξεταί κἀμὲ τὸν ἀνάξιον, διὰ τῆς σῆς μεσιτείας. ὁ μὴ καλέσαι δικαίους ἐλθὼν, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· πολλοὶ γὰρ εἰσὶ τῶν ἐξ αἰῶνος ἡμαρτηκότων πανάμωμε Δέσποινα. παραπεσόντες, καὶ μὴ φυλάξαντες τὰς

ἐντολὰς τοῦ Υἱοῦ σου· ἀλλ' οὐκ ἔστιν οὐδεὶς, ὃν οὐχ ὑπερέβην τοῖς πταίσμασι· πάσας γὰρ ἥτε παλαιὰ καὶ καινὴ Διαθήκη τὰς τῶν δικαίων ἐσάλπισαν ἀρετὰς, καὶ τῶν ἁμαρτωλῶν τὰς ἐναγεῖς πράξεις ἐστηλίτευσαν· ἀλλὰ τὸ τῆς συνειδήσεώς μου κριτήριον, πάντας ὑπερνικῆσαι τοὺς ἁμαρτωλοὺς κατακρίνει με. ἐντολὴν δεξάμενος Ἀδὰμ, οὐκ ἐφύλαξεν, ἀλλ' οὔπω πεῖραν εἶχε κατακρίσεως, ἐκ τῆς ἑτέρου πτώσεως. ἐγὼ δὲ ὁ ἀσελγὴς, καὶ ἀκρατὴς, καὶ ἀκόλαστος, ὁ εἰδὼς καὶ γνοὺς πάντα, καὶ σπουδάσας γενέσθαι κακὸς, τί ἀπολογήσομαι; πάντως οὐδέν. Διὸ ἀναπολόγητός εἰμι, ὡς χείρων πάντων, τοῦ Κάϊν, τοῦ Λάμεχ, τῶν ἐπὶ Νῶε κατακλυσθέντων. τῶν ἐν Σοδόμοις καταπρησθέντων. τῶν ἐν Αἰγύπτῳ καταποντισθέντων, καὶ πάντων τῶν λοιπῶν ἁμαρτησάντων ἀθλιώτερος γέγονα. βαπτισθεὶς γὰρ καὶ ἀπολεσάμενος, ἐρρυπώθην μολυνθεὶς καὶ σῶμα καὶ ψυχήν. τιμηθεὶς τῷ ἀξιώματι τοῦ ἁγίου καὶ ἀγγελικοῦ Σχήματος, τὴν χάριν ἠχρείωσα. ποῖος ἀρκέσιμοι λόγος, καὶ χρόνος, καὶ τρόπος, εἰς κάθαρσιν τῶν ἁμαρτημάτων μου, τίς γένωμαι; ποίαν ὁδὸν βαδίσω; Ἡ δυνατὴ, καὶ τοῦ δυνατοῦ ζῶντος Θεοῦ Μήτηρ, δός μοι χεῖρα βοηθείας καὶ ἀπορουμένῳ. θαυμάστωσον τὰ ἐλέη σου, ἐπ' ἐμοὶ τῷ ἀθλίῳ. ἐξέγειρον τὴν ψυχήν μου, εἰποῦσα, σωτηρία σου εἰμὶ ἐγὼ, βοηθός σου καὶ ἀντιλήπτωρ, Ἄχραντε. δέξαι τὴν δέησιν ἐμοῦ τοῦ ἀναξίου δούλου σου. καὶ γὰρ πιστεύω πανάγνε, ὅτι δύνασαι τοῦτο ποιῆσαι. ἡ ἀπλανὴς τῶν μετανοούντων ὁδὸς καὶ σωτηρία, δεῖξον ἐπ' ἐμοὶ τῷ ἀθλίῳ τὰ ἐλέη σου, καὶ εἰσάγαγέ με εἰς τὴν τοῦ Υἱοῦ σου Βασιλείαν. ἵνα σεσωσμένος διὰ χαρισῶν δοξολογῶ σε, καὶ τὸν ἐκ σοῦ τεχθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Πένθος τῇ β΄. Ἑσπέρας.

Δέξαι δέησιν ῥυπαροῦ καὶ ἀκαθάρτου στόματος Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε Ἰησοῦ Χριστέ. καὶ μὴ βδελύξῃ με ὡς ἀνάξιον ὄντα καὶ ἀσύνετον, μηδὲ τὴν ψυχήν μου τῷ ᾅδῃ προσεγγίζουσαν, ἀναξίαν κρίνῃς τῆς σῆς παρακλήσεως. ζήτησόν με ὡς τὸ ἀπολωλὸς πρόβατον, ὅτι πάσης προθυμίας καὶ ἐννοίας ἔρημος γέγονα, εἰς τὸ διορθώσασθαι ἐμαυτόν. ἐκτυφλωθεὶς γὰρ ταῖς ἡδοναῖς, ἐσκοτισμένην ἔχω μου τὴν ψυχὴν, καὶ ἀπὸ τῆς μέθης τῶν παθῶν πεπωρωμένην ἔχω μου τὴν καρδίαν. ἐξομολογοῦμαί σοι Κύριε Σωτὴρ τοῦ Κόσμου, πᾶσαν πικρότητα ἐμὴν, πονηρίαν, ἀλογίαν ἐρῶ πάλιν πᾶσαν σου τερπνότητα, ἃς μετ' ἐμοῦ ἐπλήσας ἕνεκεν τῆς χρηστότητός σου φιλάνθρωπε. ἀπὸ πρώτης ἡλικίας ἐγενόμην παροξυντὴς, ἀπρόθυμος εἰς τὸ ἀγαθὸν, πάσης κακίας ἐφευρετὴς, πάσης ἁμαρτίας ῥᾳδιουργός. αὐτὸς δὲ ὦ Δέσποτα ὑπερεῖδες πᾶσαν ἐμὴν πονηρίαν, διὰ τοὺς πολλούς σου οἰκτιρμοὺς, Υἱὲ τοῦ Θεοῦ. ἡ κεφαλή μου ἀνυψοῦται τῇ χάριτί σου Δέσποτα. ταπεινοῦται δὲ πάλιν διὰ τὰς ἐμὰς ἁμαρτίας· ἕλκει με πάλιν ἡ χάρις σου εἰς τὴν ζωὴν, κἀγὼ μᾶλλον εἰς θάνατον εὐπροθύμως βαδιοῦμαι. ὅτι κακίστη ἡ τῆς χαυνότητός μου συνήθεια, ἕλκει με καὶ μὴ θέλοντα πρὸς ἑαυτήν. Δεινὴ ἐστὶν ἡ τῶν παθῶν συνήθεια, δεσμεύει μου τὴν διάνοιαν ἐν δεσμοῖς ἀλύτοις, καὶ ποθεινὰ εὑρίσκονται ἀεὶ ἐμοὶ τὰ δεινά. συνήθεια τῶν παγίδων δεσμοῦμαι ὁ

ἄθλιος,

ἄθλιος, καὶ χαίρω δεσμούμενος. βεβύθισμαι ὁ ἄθλιος ἐν τῷ πικροτάτῳ ᾅδῃ καὶ ἥδομαι. καθεκάστην ἀνανεοῖ τὰ δεσμά μου ὁ ἐχθρὸς, καὶ ἀγάλλομαι. ὢ τῆς πολυτεχνίας τοῦ ἐχθροῦ. οὐ δεσμεῖ με δεσμοῖς, οἷσπερ ἐγὼ οὐ βούλομαι, ἀλλ' ἀεὶ προσφέρει μοι τοιαῦτα δεσμὰ καὶ παγίδας, ἅσπερ ἐγὼ μετὰ πολλῆς ἡδύτητος δέχομαι. γινώσκει γὰρ τὴν πρόθεσιν ἰσχυροτέραν μου εἶναι, καὶ ἐν ῥιπῇ φέρει δεσμὸν ὃν βούλομαι. τοῦτο πένθος, τοῦτο κλαυθμὸς, ὄνειδος καὶ αἰσχύνη, ὅτι πεπέδημαι ἐγὼ ἐν τοῖς ἐμοῖς θελήμασι. δυνάμενος γὰρ συντρίψαι τὰ δεσμὰ ἐν μιᾷ ῥοπῇ, καὶ γενέσθαι ἐλεύθερος ἀπὸ πασῶν τῶν παγίδων, οὐ βούλομαι τοῦτο ποιῆσαι. χαυνότητι κρατούμενος, καὶ ἤθεσι τῶν παθῶν δουλεύμενος τῇ προθέσει. τοῦτό ἐστι πάλιν δεινότερον καὶ αἰσχύνης γέμον. ὅτι ἐγὼ συνέρχομαι τοῖς θελήμασι τοῦ ἐχθροῦ μου. δεσμεύει με καὶ θανατοῦμαι ἐν πάθεσιν, οἷς αὐτὸς ἀγάλλεται. Δυνάμενος δὲ συντρίψαι τὰ δεσμὰ οὐ βούλομαι. δυνάμενος ἐκφυγεῖν τῶν παγίδων, οὐ χαίρομαι. ἔστιν ἄρα πικρότερον τῆς αἰσχύνης ταύτης, τοῦ ποιεῖν τινὰ τὰ θελήματα τοῦ ἐχθροῦ αὐτοῦ; καὶ οὕτως ἔχων ὁ τάλας, καὶ γινώσκων τὰ δεσμά μου, κρύπτω αὐτὰ ἀπὸ τῶν θεατῶν, καθ' ὥραν ἐν σχήματι εὐλαβείας. ἡ ἐμὴ συνείδησις ἐλέγχει με ταῦτα πράττοντα. καθ' ἑκάστην ἐλέγχει με. τί οὐ νήφεις ἄθλιε; ἢ οὐκ οἶδας ὅτι ἐπὶ θύραις ἐστὶν ἡ φοβερὰ ἡμέρα τῆς κρίσεως; ἀνάστηθι ὡς δυνατὸς. διάρρηξον τὰ δεσμά σου. ἐν σοί ἐστιν ἡ δύναμις τῆς δύσεως καὶ τῆς λύσεως. ταῦτα ἀεὶ ἐλέγχει με ἡ ἁγία συνείδησις. καὶ οὐ θέλω ἐκ τῶν δεσμῶν τῶν παγίδων ἀπαλλαγῆναι. ὀδύρομαι, καὶ στενάζω περὶ τούτων καθ' ἡμέραν. καὶ ἐν αὐτοῖς τοῖς πάθεσιν εὑρίσκομαι δεδεμένος ὁ τάλας ἐγὼ. ἀπρόκοπος εἰς τὸ ἀγαθὸν τῆς ἐμῆς ζωῆς. μὴ φοβούμενος ἐν παγίσι τοῦ θανάτου. Τὸ σῶμα περίκειται σχῆμα εὐλαβείας ἐνώπιον τῶν θεατῶν, ἡ δὲ ψυχὴ πεπαίδηται ἐν λογισμοῖς ἀπρεπέσιν. ἔξωθεν εὐλαβοῦμαι μετὰ σπουδῆς, καὶ ἔνδοθεν εἰμὶ βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ. γλυκαίνω μου τὴν λαλιὰν τοῖς ἀνθρώποις, πικρὸς ὢν ὅλος αὐτοῖς καὶ πονηρὸς τῇ προαιρέσει. καὶ τί ἄρα ποιήσω ἐν ἡμέρᾳ διαγνώσεως; ὅταν ὁ Θεὸς δηλοῖ πάντα διὰ βήματος; φόβος μέγας ταλανίζει μου τὴν καρδίαν συνεχῶς. ἐπειδὴ συνέχομαι σειραῖς τῶν ἀπείρων μου ἀνομιῶν. ἐγὼ αὐτὸς ἐπίσταμαι, ὅτι ἐκεῖ κολάζομαι, ἐὰν μὴ ὧδε δυσωπήσω ἐν δάκρυσι τὸν δικαστὴν. χάριν τούτου οὐ συνέχεις τοὺς οἰκτιρμούς σου Δέσποτα ἐν ὀργῇ; ὅτι αὐτὸς ἐκδέχῃ τὴν ἐμὴν ἐπιστροφήν. οὐ γὰρ θέλεις τινὰ ἰδεῖν ἐν πυρὶ καιόμενον, ὅτι πάντας ἀνθρώπους θέλεις σωθῆναι εἰς τὴν ζωήν. θαῤῥῶν οὖν τοῖς οἰκτιρμοῖς σου, Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ, προσπίπτω σοι δεόμενος. ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με. ἐξάγαγέ με ἐκ φυλακῆς τῶν ἀνομιῶν μου. καὶ ἐκλάμψοι ἀκτὶς φωτὸς, ἐν τῇ ἐμῇ διανοίᾳ. πρὶν ἀπέλθω εἰς τὴν κρίσιν τὴν μέλλουσάν μοι τὴν φοβερὰν, ὅπου παντελῶς οὐκ ἔστι περὶ κακῶν μετανοεῖν, φόβος μέγας ταλανίζει μου τὴν ψυχὴν, πῶς ὑπάγω ἀνέτοιμος ὅλως ὁ ἄθλιος καὶ ἀσεβὴς, γυμνὸς πάντων τῶν ἀρετῶν. φόβος καὶ δειλία συνέχει με, ὅτι ὁρῶ ἐμαυτὸν, ἀπρόθυμον εἰς τὸ ἀγαθὸν, ἐναντίοις δὲ χειμάζομαι λογισμοῖς. ὅτι πείθο-

μαι τοῖς δαίμοσι, ταῖς ἡδοναῖς με πρὸς ἀπώλειαν δελεάζουσιν. ἐν πολλοῖς δοκῶ χρησιμεύειν, εἰ μὴ τὴν ἐμαυτοῦ ἐλέγξω συνείδησιν. ἔοικα ἐμπόρῳ ῥαθύμῳ καὶ ὀκνηρῷ ζημιουμένῳ καθ' ἡμέραν κεφάλαιον μετὰ κέρδους. οὕτως ἐγὼ ὁ ταλαίπωρος ζημιοῦμαι τὰ οὐράνια ἀγαθὰ, ἐν τοῖς πολλοῖς περισπασμοῖς, τοῖς ἕλκουσί με εἰς τὰ κακά. αἰσθομαι γὰρ εἰς ἐμαυτὸν πῶς κλέπτομαι καθ' ὥραν. καὶ μὴ θέλων εὑρίσκομαι εἰς πράγματα ἅπερ μισῶ. ἐξίσαμαι ἐν τῇ ἐμῇ προαιρέσει τῇ κακίστῃ, θλιβόμενος ἐν οἷς ἀεὶ ἁμαρτάνει διαφόρως. ἐξίσαμαι ἐν τῇ ἐμῇ μετανοίᾳ καθ' ἡμέραν, πῶς οὐκ ἔχει τὸ στερεὸν θεμέλιον τῆς οἰκοδομῆς τὴν ἐγκράτειαν. οὐ γὰρ ἐᾷ αὐτὴν ὁ ἐχθρὸς τῆς ψυχῆς μου. καθ' ἑκάστην γὰρ τίθημι θεμέλιον οἰκοδομῆς, καὶ πάλιν ταῖς ἐμαῖς χερσὶ καταλύω μου τὸν κάματον. οὐκ ἔβαλε καλὴν ἀρχὴν ἡ καλή μου μετάνοια. τέλος πάλιν ὑπο ἔχει ἡ κακίστη μου ἀμέλεια. δεδούλωμαι χαυνότητι, θελήματι τοῦ ἐχθροῦ μου, εὐπροθύμως ἐπιτελῶν πάντα ἐράσμια. τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ πολυμύθητον, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων; ἵνα βρύωσιν ἀεὶ δάκρυα καὶ κλαύσω διὰ παντὸς, πρὸς τὸν οἰκτίρμονα Θεὸν. ἵνα πέμψας τὴν χάριν αὐτοῦ, ἀνασπάσῃ ἁμαρτωλὸν ἐκ θαλάττης μαινομένης, ἐν κύμασιν ἁμαρτιῶν χειμαζούσης τὴν ψυχήν μου, καὶ ἐν ζάλαις καθ' ὥραν. τὰ γὰρ ἐμὰ θελήματα ἐνίκησαν, ὡς τραύματα μὴ δεχόμενα παντελῶς ἐπιδέσμους ἰάσεως. ἡ ἄσωτος ἐκείνη γυνὴ, ἐξαίφνης σώφρων ὤφθη, πτοηθεῖσα καὶ σπουδάσασα, ἐπεὶ ἐμίσησε τὰ ἔργα τῆς αἰσχρᾶς ἁμαρτίας. μεμνημένη τὴν μέλλουσαν αἰσχύνην τὴν αἰώνιον. καὶ τῆς κολάσεως τὴν ἀφόρητον ὀδύνην. ἐγὼ δὲ ἕνεκεν τῶν παθῶν τῆς ἁμαρτίας, καθ' ἑκάστην ἡμέραν εὐχόμενος, οὐκ ἀφίσαμαι τούτων. ἀλλ' ἐπιμένω ἀεὶ ὁ παράφρων τῇ κακίστῃ μου συνηθείᾳ, ἐπ' ἐλπίδι μετανοίας, ἔστι μου ἡ προσδοκία. κλεπτόμενος ἐν τῇ αὐτῇ ὑποσχέσει τῇ ματαίᾳ, ἀεὶ λέγων μετανοῶ, οὐδέποτε μετανοῶ. τοῖς ῥήμασι μόνον μετανοῶ μετὰ σπουδῆς, τοῖς δὲ ἔργοις, μῆκος πολὺ ἀπέχω τῆς μετανοίας, εἰ δὲ εἰμὶ ἐν ἀνέσει, λανθανώμου καὶ τὴν φύσιν. ὅτι ποιῶ ἐν γνώσει τὸ κακὸν. καὶ πρὸς ἐρεθισμὸν ἁμαρτάνω. Ὁ Ἡσαῦ τόπον μετανοίας οὐχ εὗρεν. ἐπειδὴ πρὸς ἔριθειαν τὴν ἁμαρτίαν ἐπισπασάμενος, καὶ μὴ συναρπαθεὶς ἥμαρτεν. οὐ γὰρ κατὰ πλάνην, ἀλλὰ κατὰ γνῶσιν, καὶ νουθετούμενος, καὶ γονεῖς παρεπίκρανε, καὶ τὸν Θεὸν οὐκ ᾐσχύνθη. καὶ Ἰούδας ὁ προδότης, τόπον μετανοίας οὐχ εὗρεν, ὅτι μετὰ τοῦ Κυρίου ὢν ἥμαρτε, καὶ εἰδὼς ἔπραττεν, ἐπειδὴ ἔσχε πεῖραν τῆς χάριτος. εἰ καὶ οὖν ἐπὶ ταῖς ἐν γνώσει ἁμαρτίαις μου, τί αὖ ἐγὼ προσδοκήσω ὁ ἄθλιος; εἰ δὲ καὶ ἔστιν ὁ λογισάμενος μόνον τὸ κακὸν, ἴσος τοῦ πράξαντος, τί ἂν ἀπολογήσομαι διὰ τὰ ἄπειρα πλήθη τῶν ἐμῶν ἀνομιῶν, ὁ Χὰμ ἐννοήσας γέλωτα πατρὸς ἀπεβλήθη, οἱ τῷ Κορὲ συναινέσαντες, κατεπόθησαν, μηδὲν εἰπόντες τὸ σύνολον, ἢ πράξαντες. καὶ οἱ ἐπὶ τῷ Ἠλὶ οὐ ὁμοίως ἔπαθον. καὶ Σαοὺλ λογισμοῖς εἰδωλολατρείας συνθέμενος, ἀπεβλήθη. καὶ Ἀχιτόφελ μόνον συμβουλεύσας, ἐν τῇ ἁμαρτίᾳ ἀπέθανε. καὶ οἱ υἱοὶ τοῦ Ἀαρὼν πλημμελήσαντες τεθνήκασι. καὶ οἱ περὶ τὴν Σαπφείραν καταφρονήσει συνδιατρίβοντες, καιροῦ μετανοίας οὐκ ἔτυχον. κατανοῶ λοιπὸν τὴν

πρᾶξιν,

πρᾶξιν, καὶ προσέχωμεν τὴν συγκατάθεσιν, καὶ ἀπεκδέχομαι τῆς δικαιοσύνης τὴν ῥοπήν. καὶ ἐρῶ δικαίαν εἶναι σαφῶς. τί τὸ σχῆμα πλανᾷ με, τῶν ἀρετῶν ξένον ὄντα. καὶ τὰ ἐναντία ποιοῦντα, ἐνώπιον τούτῳ τὰ πάντα ἐφορῶντος Θεοῦ; καλῶς οἱ Φαρισαῖοι ἔπασχον ἐλεγχόμενοι, τοῦ Σωτῆρος Χριστοῦ λέγοντος. ἐπίπλαστον εἶναι αὐτῶν τὸ σχῆμα. κἀμοὶ δὲ συμβαίνει ὡς ἐπὶ τὸ πλεῖστον ἡ τοσαύτη δυσκολία, ὅτι ὑπὸ τῆς συνειδήσεώς μου ἐλεγχόμενος ἀηδίζομαι. καὶ τραχὺς εἶναι ὁ ἔλεγχός μοι δοκεῖ. πικρὸν ἐστὶν ἡ ἀλήθεια, τοῖς λανθάνειν σπουδάζουσιν. ἀποκαλύψωμεν τὸ σχῆμα, καὶ φανήσονταί μου οἱ σκώληκες, καὶ διελῶ τὸ προσωπεῖον τοῦ σκιάματος, καὶ ὄψονται οἱ παρόντες τοῦ τάφου τὴν ἐπίθεσιν. καὶ τὴν δύναμιν τῆς ἡμετέρας πράξεως σκέψονται. καὶ θεάσονται τὴν Φαρισαϊκὴν ὁμοιότητα. ὅτι δὲ κἂν ταῦτα σαφῆ μοι γίνεται, τὸ πῦρ δοκιμάσει ἐν τῇ κρίσει, καθὰ φησὶν ὁ Ἀπόστολος. ὄρεξόν μοι χεῖρα βοηθείας ἐν ἐδάφει κυλινδουμένῳ Κύριε. θέλω γὰρ ἀναστῆναι, καὶ οὐ δύναμαι, διότι τὸ φορτίον τῆς ἁμαρτίας κατεβάρησέ με. καὶ ἡ πονηρὰ συνήθεια κατέχει με. βλέπω, καὶ ἀεὶ ἐν γνόφῳ περιπατῶ, καὶ ἐν σκοτώσει πολλῇ. τείνω μου τὴν χεῖρα, καὶ ὡς παράλυτος εἰμί. εὔθυμος εἰμί, καὶ ἀηδίζομαι. εὔχομαι ἀπαλλαγῆναι, καὶ νης δίων συνέχομαι. προαίρεσιν καλὴν ἔχω, ἀλλ' ὑπό τινος βίας ἐμποδίζομαι. πρὸς δοξολογίαν φιλόπονος εἰμί, ἀλλ' οὐκ εἰς πραττόμενος τὴν τοῦ Θεοῦ δι' ἀρέσκησιν. πῶς τολμήσω ἄφεσιν αἰτήσασθαι ὑπὲρ τῶν προτέρων μου ἁμαρτίων; τῆς προτέρας μου ἀναστροφῆς μηδαμῶς ἐπιλανθανόμενος; ἢ πῶς ἐκδύσω μου τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον, τὰς ἐπιθυμίας τῆς πρὶν ἀπάτης μὴ ἀποθέμενος; οἴμοι πῶς ὑποίσω τοὺς ἐλεγμοὺς τῶν ἀθεμίτων μου ἔργων καὶ λογισμῶν. Ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. στόμα ἀνάξιον βοᾷ πρὸς σὲ Δέσποτα. καὶ καρδία οὐ καθαρὰ, καὶ ψυχὴ ἐν ἁμαρτίαις σπιλωθεῖσα. ἐπάκουσόν μου διὰ τὴν ἀγαθότητά σου καὶ μὴ ἀπώσῃ τὴν δέησίν μου. οὐ γὰρ ἀποῤῥίπτεις τὴν δέησιν τῶν μετανοούντων ἐν ἀληθείᾳ. ἐμοῦ δὲ μετάνοια, οὐ καθαρὰ ὑπάρχει, ἀλλὰ διεφθαρμένη. ὥραν μετανοῶ, καὶ δύο παροργίζω. στήριξόν μου τὴν καρδίαν ἐν τῷ φόβῳ σου Κύριε. στήριξόν μου τὴν ψυχὴν ἐπὶ πέτραν μετανοίας. νικησάτω ἡ ἀγαθότης σου τὴν ἐν ἐμοὶ κακίαν. νικησάτω τὸ φῶς τῆς χάριτός σου τὸ ἐν ἐμοὶ σκότος. παρακλήθητι ἀγαθὲ Κύριε, οὐ διὰ τὰς δικαιοσύνας μου, οὐ γὰρ ἔχω τί ἀγαθὸν, ἀλλὰ διὰ τοὺς οἰκτιρμούς σου. καὶ διὰ τὴν ἄφατον καὶ πολλήν σου ἀγαθότητα ἀνέγειρόν μου τὰ μέλη, ἃ κατέῤῥαξεν ἡ ἁμαρτία. καὶ φώτισόν μου τὴν καρδίαν, ἣν ἐσκότισεν ἡ πονηρὰ ἐπιθυμία. ῥῦσαί με ἀπὸ παντὸς ἔργου πονηροῦ. καὶ μὴ εἰς τέλος καταβάλῃ με ὁ ἐξεναντίας. μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. μὴ εἴπῃς μοι, ἀμὴν λέγω σοι, οὐκ οἶδά σε. σῶσον Κύριε ψυχὴν τεθλιμμένην ἐκ θανάτου, ὁ ἔχων ἐξουσίαν ζωῆς καὶ θανάτου. σὺ γὰρ εἶπας Δέσποτα, αἰτεῖτε καὶ δοθήσεται ὑμῖν. καθάρισόν με Κύριε, ἀπὸ πάσης ἁμαρτίας πρὸ τέλους. καὶ δώρησαί μοι φιλάνθρωπε Κύριε, ἐν ὅλῃ μου τῇ μικρᾷ ταύτῃ ζωῇ, πηγάζειν ἀπὸ καρδίας δάκρυα, πρὸς κάθαρσιν τῶν ψυχικῶν μου μολυσ-

μάτων. ἵνα δυνηθῶ ἀποδοῦναι ἐντεῦθεν, ἐκ τῶν πολλῶν μου γραμματείων καὶ ὀλίγα ἐγκλήματα. κἀκεῖθεν σωθήσομαι τῇ σκέπῃ τῆς παντοδυνάμου χειρός σου, ὅταν τρέμει πᾶσα ψυχὴ ἀπὸ τῆς δόξης σου τῆς φοβερᾶς. Ναὶ Δέσποτα, Κύριε Υἱὲ τοῦ Θεοῦ μονογενὲς, εἰσάκουσόν μου. καὶ πρόσδεξαι δέησιν ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου. ἁμαρτωλός εἰμι ἐγὼ ὑπὲρ πάντα ἄνθρωπον, δωρεὰν σῶσόν με τῇ χάριτί σου. ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις. καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἶθ' οὕτως τὸ Ἄσπιλε ἀμόλυντε. Καὶ Ἀπόλυσις.

Τέλος τῆς Δευτέρας.

## ΤΗ͂ ΤΡΙ΄ΤΗ Ε΄ΣΠΕ΄ΡΑΣ ΜΕΤΑ` ΤΟ` Α΄ΠΟ΄ΔΕΙΠΝΟΝ,

Κανὼν ἦχος δ΄. Ὠδὴ α΄. Ἀνοίξω τὸ στόμα μου.

ΤΟ ξύλον τὸ ἅγιον, ἐν ᾧ Χριστὸς ἐξεπέτασε. παλάμας τρεπόμενος, τὰς ἐναντίας ἀρχάς. προσκυνήσωμεν, καρδίας διαθέσει. καὶ ἀπαρυσώμεθα χάριν σωτήριον.

Πνεῦμα με καθάρισον, τῶν ἐντολῶν σου φιλάνθρωπε. καὶ σοῦ τὰ σωτήρια, δίδου παθήματα μέλπειν πάντοτε, καὶ προσκυνεῖν ἐκ πόθου. Σταυρῷ τῷ χειζόμενον καὶ συντηρούμενον.

Σταυρῷ διεπέτασας, θείας παλάμας μακρόθυμε. καὶ τὸν ἀπολλύμενον Κόσμον ἐκάλεσας. πρὸς ἐπίγνωσιν, τοῦ κράτους σου οἰκτίρμων. ὅθεν μεγαλύνομεν τὴν εὐσπλαγχνίαν σου.

Τὸν ὄφιν ἀνύψωσεν, ὁ Μωϋσῆς εἰκονίζοντα τὴν θείαν σου Σταύρωσιν Λόγε προάναρχε. διῆς πέπτωκεν, ὁ ἰοβόλος ὄφις. τοῦ πτώματος πρόξενος, Ἀδὰμ γενόμενος. Δόξα.

Ἀνάρτησιν βλέπουσα, τὴν ἐν Σταυρῷ σου φιλάνθρωπε. ὠλόλυζε κράζουσα, ἡ σὲ κυήσασα. πῶς κατάκριτος, ὁ μέλλων πάντας κρῖναι. ὁρᾶται κρεμάμενος, δόξης ὁ Κύριος. Καὶ νῦν.

Γενοῦ μοι Πανάμωμε, ζωῆς ὁδὸς ὁδηγοῦσά με. πρὸς θεῖα σκηνώματα, ἀπεπλανήθην γάρ. καὶ πρὸς βάραθρα, κακίας ὀλισθαίνων ἐξ ὧν με ἀνάγαγε, τῇ μεσιτείᾳ σου.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

ΑΓνείας ἐν ὕδατι καρδίας, ῥηφθέντες τὸν τίμιον Σταυρόν. πιστῶς περιπτυξώμεθα, ἐν ᾧ Χριστὸς σταυρούμενος. πᾶσιν ἡμῖν ἐπήγασεν, ὕδωρ ζωῆς καὶ ἀφέσεως.

Ἐτύπου Μωσῆς σε ἐν τῷ ὄρει, Ἐθνῶν εἰς ἀναίρεσιν Σταυρὲ. ἡμεῖς δὲ ἐκτυποῦμενοί σε καρδίᾳ καθορῶντές σε. καὶ προσκυνοῦντες τρέπομεν, ἐχθροὺς ἀσάρκους τῷ κράτει σου.

Βουλήσει σου ἄνθρωπος ἐγένου, Θεὸς ὢν καὶ πάντων ποιητής. καὶ νῦν Σταυρῷ κρεμάμενον, ὁρῶσά σε τιτρώσκομαι. ἡ σὲ τεκοῦσα ἔλεγεν, ἐκπληττομένη μακρόθυμε.

Ὡς πρόβατον ἕλκει πρὸς σφαγήν σε, λαὸς ὁ παράνομος Χριστέ. ἀμνὸν Θεοῦ ὑπάρχοντα, καὶ θέλοντα λυτρώσασθαι. λύκου πικροῦ τὰ πρόβατα, ἃ φιλάνθρωπος ἠγάπησας. Δόξα.

Ἐκ σοῦ ἡ ἀνάπλασις τῆς Εὔας, ὡράθη Παρθένε ἀληθῶς. Θεὸς σαρκὶ τικτόμενος, καὶ ἐν Σταυρῷ ὑψούμενος. καὶ καταράσσων δαίμονας, Θεοχαρίτωτε Δέσποινα. Καὶ νῦν.

Ἐν γνώσει φρενῶν καὶ προαιρέσει, αἰσχράν τε καὶ ἄσωτον ζωήν. ἐπιμελῶς ἠγάπησα ἀλλὰ στοργῇ τῇ θείᾳ με. Παρθένε Θεονύμφευτε, δέσμευσον θείᾳ πρεσβείᾳ σου.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

ΤΟ σωτήριόν σε ὅπλον, τὸ ἀήττητον τρόπαιον. τὸ χαρᾶς σημεῖον, θάνατος δι' οὗ τεθανάτωται. περιπτυσσώμεθα δόξῃ κλεϊζόμενοι. τοῦ ἐν σοὶ προσπαγέντος, Σταυρὲ πανσεβάσμιε.

Αἰνιττόμενος τὸν τύπον, τοῦ Σταυροῦ χεῖρας ἐξέτεινεν. ἐναλλὰξ ἐγγόνους, πάλαι Ἰακὼβ ὁ ἀοίδιμος. εὐλογῶν, καὶ σημαίνων τὴν σωτήριον. εὐλογίαν, πάντας ἐφ' ἡμᾶς διαβαίνουσαν.

Συντηρούμενοι σφραγῖδι, τοῦ Σταυροῦ καὶ σκεπόμενοι. ἐν ἀγαλλιάσει, πνεύματος αὐτὸν ἀσπασώμεθα. ὅπως ἀπ' αὐτοῦ τῇ δυνάμει δυνησώμεθα. τὰ ὀλέθρια, πάθη σαρκὸς θανατώσαντες.

Ὁρατός μοι καθωράθης, ὁ Ἀγγέλοις ἀπρόσιτος. Ἰησοῦ Υἱέ μου, σάρκα ἐξ ἐμοῦ δανεισάμενος. καὶ νῦν ὁρῶσά σε ξύλῳ καθηλώμενον. ἐποδύρομαι, ἡ τοῦ Χριστοῦ σου Μήτηρ ἔλεγε. Δόξα.

Χαρισμάτων σου τὰ ῥεῖθρα, καὶ πηγαὶ τῶν ἰάσεων. καὶ τοῦ θείου πλούτου, αἱ διανομαὶ διαδίδονται. ζωαρχικῆς ἐκ παλάμης Θεονύμφευτε. τοῦ τεχθέντος ἐκ σοῦ, καὶ Σταυρῷ ὁμιλήσαντος. Καὶ νῦν.

Ὡραιώθης ὑπὲρ πᾶσαν, τῶν Ἀγγέλων εὐπρέπειαν. ὡς τεκοῦσα τούτων, πάντων ποιητήν τε καὶ Κύριον. ἐν σῶν ἀχράντων αἱμάτων σωματούμενον. τὸν ῥυόμενον, πάντας αὐτὸν τοὺς δοξάζοντας.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

ΣΤαυρὲ πανσεβάσμιε, τῶν Ἀποστόλων καύχημα, ὅπλον ἀθλοφόρων Ἱερέων. δόξα Ὁσίων περιχαράκωμα. πάντων τῶν πιστῶν ὁ φυλακτήρ. φρούρησον ἁγίασον, τοὺς πιστῶς προσκυνοῦντάς σε.

Παρίστανται τάξεις σοι, τῶν Ἀσωμάτων τρέμουσα, Ξύλον ζωοδώρητον ἐν σοὶ γὰρ, τίμιον Αἷμα Χριστὸς ἐξέχεε. λύτρον ἀναστέλλων εὐαγές. δαίμοσι φερόμενον, ἐν ὀλέθρῳ τοῦ πλάσματος.

Φωστῆρες ἀπέκρυπτον, τὸ φῶς αὐτῶν θεώμενοι, Ξύλῳ προσηλώμενον ἀδίκως. δί-

και

καὶ μόνε σὲ τὸν μακρόθυμον. καὶ τοῦ πονηροῦ τὰς ζοφερὰς. Σῶτερ δειγματίζοντα, ἐξουσίας τῷ κράτει σου.

Ῥομφαίᾳ πληγέντα με, τοῦ δυσμενοῦς ἰάτρευσον. Αἱματί σου Λόγε καὶ τῇ λόγχῃ. ἁμαρτιῶν μου τὰ πάχος διάρρηξον. Σῶτερ τὸ χειρόγραφον βοῶ. Βίβλῳ καταγράφων με, σωζομένων ὡς εὔσπλαγχνος. Δόξα.

Ὁ βότρυς ὁ πέπειρος πῶς ἐπὶ ξύλου κρέμασαι. Ἥλιε τῆς δόξης πῶς ἐπήρθης· φέγγος ἡλίου σκοτίζων πάθει σου. Σῶτερ ἡ τεκοῦσά σε ἀμνὰς. πάλαι ἀνεβόα σοι, μητρικῶς ἀλαλάζουσα. Καὶ νῦν.

Σαρκὶ ὃν ἐκύησας, Χριστὸν Θεοχαρίτωτε. Ξύλῳ ἀναρτώμενον ὡς εἶδες. θρήνων ἐπλήσθης, καὶ τὸ μακρόθυμον, τούτου κατεπλήττου ἀληθῶς. ὅθεν ἐμεγάλυνες, τὴν αὐτοῦ συγκατάβασιν.

Ὠδὴ ς΄. Ἐβόησε προτυπῶν τὴν ταφήν.

Συνέστησας, τὸ τοῦ ᾅδου πηγνύμενος οἴκημα. τοῖς πιστοῖς δὲ, ἀδιάσειστον ἔρεισμα γέγονας. καὶ βεβαία σκέπη, τοῦ Κυρίου Σταυρὲ πανσεβάσμιε.

Κατάκαρποι, ἀρεταῖς γεγονότες τρυγήσωμεν. θείου ξύλου, ζωηφόρους καρποὺς· οὓς ἐβλάστησεν. ἀπωθεὶς ἐν τούτῳ, Ἰησοῦς ἡ κατάκαρπος ἄμπελος.

Ὑμνοῦμέν σου, Υἱὲ τὴν πολλὴν ἀγαθότητα. προσκυνοῦντες, τὸν Σταυρόν σου. τὴν λόγχην τὸν κάλαμον. δι' αὐτῶν γὰρ εἷλες, τὸ τῆς ἔχθρας οἰκτίρμων μεσότοιχον.

Ναμάτων σε, ποταμὸν ζωηρρύτων ἐκύησεν. ἡ Πανάγνος ὡς πηγὴ τῆς ἡμῶν ἀναπλάσεως. τὸν Σταυρῷ ταθέντα, καὶ κρουνοὺς σωτηρίας πηγάσαντα. Δόξα.

Ἁγνεύσασι, καθαρὸν εὑρηκὼς ἐνδιαίτημα. ἐν γαστρί σου, καθαρῶς ὁ Δεσπότης ἐσκήνωσεν. ἐκκαθᾶραι θέλων, τῶν ἀνθρώπων Παρθένε τὸ φύραμα. Καὶ νῦν.

Οὐράνωσας, γεωθεῖσαν τὴν φύσιν Πανάμωμε. τῶν ἀνθρώπων, καὶ φθαρεῖσαν αὐτὴν ἐκαινούργησας. διὰ τοῦτο μόνην, ἀσιγήτοις φωναῖς σὲ γεραίρομεν.

Καὶ τὰ παρόντα Καθίσματα, ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Σταυρὸν καὶ τὸν θάνατον, ὑπὲρ ἡμῶν ἀγαθὲ. δι' ἄμετρον ἔλεος, ἑκὼν ὑπέμεινας. καὶ κρίσιν τὴν ἄδικον. ὅπως τῆς καταδίκης, καὶ ἀρχαίας κατάρας πάντας ἐλευθερώσῃς, τοὺς ἀπάτῃ φθαρέντας. διό σου καὶ προσκυνοῦμεν, Λόγε τὴν Σταύρωσιν. Δόξα.

Σταυρῷ σε προσήλωσαν, οἱ Ἰουδαῖοι Σωτὴρ. δι' οὗ ἐξ ἐθνῶν ἡμᾶς, ἀνεκαλέσω τὸ πρὶν. Χριστὲ ὁ Θεὸς ἡμῶν. ἥπλωσας τὰς παλάμας, ἐν αὐτῷ τῇ βουλῇ σου. λόγχῃ δὲ τὴν πλευράν σου, κατεδέξω νυγῆναι. τῷ πλήθει τῶν οἰκτιρμῶν σου, μόνε φιλάνθρωπε. Καὶ νῦν,

Σταυρῷ σε ὑψούμενον, ὡς ἐθεάσατο ἡ ἄνυμφος Μήτηρ σου, Λόγε Θεοῦ μητρικῶς. θρηνοῦσα ἐφθέγγετο. τί τὸ καινὸν καὶ ξένον, τοῦτο θαῦμα Υἱέ μου; πῶς ἡ ζωὴ τῶν ὅλων, ὁμιλεῖς τῷ θανάτῳ; ζωῶσαι τοὺς τεθνεῶτας, θέλων ὡς εὔσπλαγχνος.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Συναγάλλονται τῇ γῇ τὰ ἐπουράνια, τῇ προσκυνήσει σου, Σταυρὲ καὶ γὰρ διὰ σοῦ. Ἀγγέλων ἀνθρώπων τε, ἕνωσις γέγονε. παντοδύναμε, ἀναβοώντων

Κύριε,

Κύριε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὡς κυπάρισσον συμπάθειαν, ὡς κέδρον τε πίστιν ἡδύπνοον, ὡν πεύκην ἀληθινὴν. ἀγάπην προσφέροντες, τὸν τοῦ Κυρίου Σταυρὸν. προσκυνήσωμεν, τὸν ἐν αὐτῷ δοξάζοντες, Λυτρωτὴν προσηλωθέντα.

Ἀνεξάπηνσε πολέμιος καὶ βέβληται, πτῶμα ἐξαίσιον, ἀνυψωθέντος Χριστοῦ. ἐν Ξύλῳ καὶ σέσωσται, πρὶν ὁ κατάκριτος. ἐκβοῶν αὐτῷ, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Νεκρωθέντα διὰ ξύλου με ἐθέωσας, θνήξας ἐν Ξύλῳ Χριστὲ, καὶ θείοις σου τραύμασιν, ἴασω τὰ τραύματα, τὰ τῆς καρδίας μου. ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ. Δόξα.

Μὴ σαλεύσας τὰ Οὐράνια ἐν μήτρᾳ σου, ὃς ἐσκήνωσε, πόλις Θεοῦ ἐκλεκτή. Σταυρῷ δὲ κρεμάμενος, Κτίσιν ἐσάλευσεν. ὃν ἱκέτευε, ἐν ἀσαλεύτῳ πέτρᾳ με, τῇ αὐτοῦ σωτηρηθῆναι. Καὶ νῦν.

Νύμφη ἄμωμος, παλάτιον τοῦ Κτίσαντος, γῆ ἀγεώργητος, Θρόνος πυρίμορφος. ἐδείχθης Πανάμωμε, ὅθεν βοῶμεν σοι. Χαῖρε Δέσποινα, ἡ τοὺς βροτοὺς θεώσασα, θείᾳ κυοφορίᾳ. Ὠδὴ η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Νοῒ καθαρῷ καὶ συνειδότι, λαμπρῶς προσελθόντες προσκυνοῦμεν σε. Σταυρὲ πανσεβάσμιε, ζωῆς ξύλον ἅγιον. ἐν ᾧ Χριστὸς τὸν ἄτιμον, ὑπέστη θανάτου. τιμὴν ὑπερτιθεὶς ἀνωτάτην. τοῖς τῇ παραβάσει, δεινῶς ἀτιμασθεῖσιν.

Ξύλῳ ἁμαρτίας ἐνεκρώθην, καὶ γεύσει τῇ ἐνηδόνῳ τεθανάτωμαι. ζώωσόν με Κύριε, ἔγειρόν με κείμενον. προσκυνητὴν ἀνάδειξον, τῶν παθημάτων σου. καὶ μέτοχον ἐγέρσεως θείας. καὶ συγκληρονόμον, τῶν σὲ ἠγαπηκότων.

Πάθος σου τοῦ ἀπαθοῦς ὁρῶσα, ἡ Κτίσις συνέπασχε μακρόθυμε. ἥλιος ἐσβέννυτο, πέτραι διερρήγνυντο. πᾶσα ἡ γῆ ἐσείετο, φόβῳ κραυγάζουσα. τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εἰς νοῦν τὸ φρικτόν σου ὅταν λάβω, Κριτὰ δικαιότατε κριτήριον. τρέμω καὶ δέδοικα, φρίττω καὶ ὀδύρομαι. κατανοῶν τὰ ἔργα μου, δίκης ἐπάξια. δίδου τὴν πολλήν σου εὐσπλαγχνίαν. Σῶτερ μὴ νικήσῃ, τὸ πλῆθος τῶν κακῶν μου. Δόξα.

Τεκοῦσα τε ἄνευθεν ὀδυνῶν, ὀδυνάς τῇ σῇ σταυρώσει καθυφίσταμαι. φλέγονται τὰ σπλάγχνα μου, ἥλοις γὰρ προσσήλωσαι. τὴν σὴν πλευρὰν μακρόθυμε ἐξορυττόμενος. ἡ πάναγνος ἐβόα Παρθένος. ἣν ὡς Θεοτόκον, ὑμνήσωμεν συμφώνως. Καὶ νῦν.

Σὲ τὴν κιβωτὸν τὴν παναγίαν, τὴν ἐπισκιαζομένην Θείῳ Πνεύματι. τὴν τὸν προαιώνιον, Λόγον καὶ ἀΐδιον, δι' εὐσπλαγχνίαν ἄφατον ἐνανθρωπήσαντα. τεκοῦσαν Θεοτόκον ὑμνοῦμεν. καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ὄρη γλυκασμὸν, βουνοὶ ἀγαλλίασιν, πόθῳ σταλάξατε. ξύλα τοῦ πεδίου δὲ, λιβάνου κέδροι, περιχορεύσατε. τῇ προσκυνήσει σήμερον, τοῦ ζωηφόρου

φόρου Σταυρȣ̃. οἱ Προφῆται, Μάρτυρες Ἀπόστολοι. Καὶ Δικαίων σκιρτήσατε Πνεύματα.

Πάθος σου Χριστὲ, τὸ πᾶσιν ἀπάθειαν βροτοῖς πηγάσαν σεπτῶς. βλέψαι καταξίωσον, ἐν ἀπαθείᾳ τοὺς προσκυνοῦντας πιστῶς. σοῦ τὸν Σταυρὸν τὸν τίμιον, τὰς ἁμαρτίας ἡμῶν. παραβλέπων, καὶ τῆς ἀναστάσεως, ἀληθείας υἱοὺς ἐργαζόμενος.

Ὕψωσας ἡμᾶς, πεσόντας εἰς θάνατον, τῷ σῷ Σταυρῷ δυνατέ. πάλαι ἀνυψούμενος, καὶ τῷ Πατρί σου ἡμᾶς κατήλλαξας. ὑπὲρ ἡμῶν τὸ Αἷμα σου καταβαλλόμενος, εὐεργέτα, ὅθεν σε δοξάζομεν, ὡς Θεὸν λυτρωτὴν καὶ φιλάνθρωπον.

Νεῦσον εἰς λαὸν, καὶ κλῆρον σου Κύριε, φόβῳ ὑμνοῦντάς σε. θάνατον ἑκούσιον, δι᾽ οὗ ὑπέστης, μὴ νικησάτω σου. τὴν εὐσπλαγχνίαν ἄμετρον πληθὺς κακῶν ἡμῶν. ἀλλὰ σῶσον, πάντας ὑπεράγαθε, τῷ Σταυρῷ σου ἡμᾶς ὡς φιλάνθρωπος. Δόξα.

Νεύματι τῷ σῷ, κλονεῖς τὸν ὁρώμενον, Κόσμον σταυρούμενος. μένεις δὲ κρεμάμενος, ἡ Θεοτόκος κλαίουσα ἔλεγε. τὰ ἐμπαθῆ νοήματα τοῦ πρωτοπλάστου Χριστὲ. ἐξηλεῖψαι, θέλων καὶ ἰάσασθαι, τῇ αὐτοῦ σωτηρίᾳ ἀγαθότητι. Καὶ νῦν.

Φώτισον ἁγνὴ, τοὺς πόθῳ ὑμνοῦντάς σε, καὶ μεγαλύνοντας. λῦσον τῶν παθῶν ἡμῶν, τὰ σκότη Κόρη, παῦσον τὸν κλύδωνα. τοῦ πονηροῦ τὰ σκάνδαλα, ἐκ μέσου ποίησον. τοὺς τῆς Ἄγαρ, γόνους καθυπόταξον, Βασιλεῖ εὐσεβεῖ ταῖς πρεσβείαις σου.

Καὶ εὐθὺς τὰ παρόντα Προσόμοια, ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Σταυρούμενος Δέσποτα, τὴν ἁμαρτίαν ὡς εὔσπλαγχνος. ἑαυτῷ συνεσταύρωσας. ἀρὰν δὲ ἐξήλειψας, ἥλοις τῇ τῶν ἥλων, καὶ τοῦ Πρωτοπλάστου, λογχῇ νυγείσης τὴν πλευράν. Χριστὲ διέρρηξας τὸ χειρόγραφον. ὑμνῶ σου τὰ παθήματα, δοξολογῶ σου τὴν ἔγερσιν. δι᾽ ἧς πάντας ἐζώωσας, νεκρωθέντας τοῖς πάθεσιν.

Ὅτε σε σταυρούμενον, ἡ Κτίσις πᾶσα ἑώρακεν. ἠλλοιοῦτο καὶ ἔτρεμεν. ἡ γῆ δὲ ἐσείετο, ὅλη κλονουμένη, μακρόθυμε Λόγε, καὶ καταπέτασμα Ναοῦ. φόβῳ ἐσχίσθη ὑβριζομένου σου. καὶ πέτραι διερράγησαν, ἀπὸ τοῦ φόβου καὶ Ἥλιος. τὰς ἀκτῖνας συνέστειλε, ποιητήν σε γινώσκοντα.

Ῥήγνυται χειρόγραφον. τὸ ἀπ᾽ αἰῶνος νυγείσης σου. τῆς πλευρᾶς πολυέλεε. Ἀδὰμ τοῦ προπάτορος, καὶ ἡ ἀπωσμένη, φύσις τῶν ἀνθρώπων, ῥαννίσιν Αἵματος τοῦ σοῦ. καθαγιάζεται ἀνακράζουσα. δόξα τῇ δυναστείᾳ σου, δόξα τῇ θείᾳ Σταυρώσει σου. Ἰησοῦ ὑπεράγαθε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Νεκρούμενον βλέπουσα, Χριστὸν ἡ πάναγνος Δέσποινα. καὶ νεκροῦντα τὸν δόλιον ἠλάλαζε κράζουσα, πικρῶς τῶν ἐκ σπλάγχνων, αὐτῆς προελθόντι, καὶ τὸ μακρόθυμον αὐτοῦ. ἀποθαυμάζουσα κατεπλήττετο. τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δούλης σου, μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον. Δόξα.

Ἰδὼν-

Ἰδών σε ὁ Ἥλιος καὶ ἡ Σελήνη φιλάνθρωπε, ἐπὶ ξύλου κρεμάμενον. ἀκτῖνας ἀπέκρυψαν, τῆς Δικαιοσύνης, Ἥλιε Χριστέ μου, καὶ τὰ θεμέλια τῆς γῆς. διεδονήθη φόβῳ τοῦ κράτους σου. ἡ Μήτηρ σου τὰ σπλάγχνα δὲ, τιτρωσκομένη ἐβόα σοι. Ἰησοῦ ὑπεράγαθε, δόξα τῇ εὐσπλαγχνίᾳ σου. Καὶ νῦν.

Τὸν ῥύπον ἀπόσμηξον, τῆς ταλαιπώρου καρδίας μου. Θεοτόκε πανύμνητε. καὶ πάντα τὰ τραύματα, καὶ τὰ ἕλκη ταύτης, τὰ ἐξ ἁμαρτίας, ἐναποκάθαρον. ἁγνή. καὶ τοῦ νοός μου στῆσον τὸ ἄστατον. ὅπως τὴν δυναστείαν σου, καὶ τὴν μεγάλην ἀντίληψιν, μεγαλύνω σωζόμενος, ὁ ἀχρεῖος οἰκέτης σου.

Εἶθ' οὕτως τὸ Ἄξιόν ἐστιν, τὸ Τρισάγιον, καὶ τὰ λοιπά.

Εἶτα τὸ παρὸν Τροπάριον.

Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν. Χριστὲ ὁ Θεὸς ἡμῶν. ἄνελε τῷ Σταυρῷ σου, τοὺς ἡμᾶς πολεμοῦντας. γνώτωσαν πῶς ἰσχύει, Ὀρθοδόξων ἡ Πίστις. πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε. Τὸ Κύριε ἐλέησον. μ΄. Ὁ ἐν παντὶ καιρῷ.

Καὶ καθεξῆς αἱ παροῦσαι Εὐχαί. Εὐχὴ, ά. Εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Δέσποινά μου Ὑπεραγία Θεοτόκε. κεχαριτωμένη Θεογεννήτρια. ὑπερευλογημένη. Θεοχαρίτωτε, Θεομῆτορ. δοχεῖον τῆς ἀδέκτου Θεότητος τοῦ μονογενοῦς σου Υἱοῦ. τοῦ προανάρχου Πατρὸς, Θρόνε πυρίμορφε, τῶν τετραμόρφων ὑπερενδοξοτέρα. πάναγνε, πανάχραντε, παναμώμητε, πανάφθορε, πανακήρατε, πάνσεπτε, πάντιμε, πανευλόγητε, παντομνημόνευτε, παμπόθητε, Παρθένε τὴν ψυχὴν καὶ τὸ σῶμα καὶ τὸν νοῦν, καθέδρα Βασιλέως. τοῦ ἐπὶ τῶν Χερουβὶμ. κλίμαξ ἐπουράνιε, δι' ἧς οἱ ἐπὶ γῆς εἰς Οὐρανοὺς ἀνατρέχομεν. ἀκατανόητον θαῦμα, ἀνερμήνευτον ἄκουσμα, μυστηρίου θείου ἀποκεκρυμμένου φανέρωσις, ἀκαταμάχητος προστασία. ἀντίληψις κραταιά. ζωοδόχε πηγή. πέλαγος ἀνεξάντλητον τῶν θείων καὶ ἀπορρήτων χαρισμάτων καὶ δωρεῶν, ὕψος τῶν ἐπουρανίων καὶ Ἀσωμάτων δυνάμεων, καὶ τῶν Σεραφὶμ ὑψηλοτέρα. βάθος τῶν ἀποκρύφων νοημάτων τὸ ἀνεξερεύνητον. ἡ κοινὴ φιλοτιμία τῆς φύσεως. ἁπάντων τῶν καλῶν χορηγέ. ἡ πάντων τῶν ποιημάτων Δέσποινα. ἡ μετὰ τὸν μεσίτην Χριστὸν μεσίτρια τοῦ Κόσμου παντός. τὸ ὄχημα Ἡλίου τοῦ νοητοῦ. τὸ δοχεῖον τοῦ φωτὸς τοῦ ἀληθινοῦ, τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν Κόσμον. ἡ φέρουσα ἐν ἀγκάλαις τὸν τῷ ῥήματι τὰ πάντα φέροντα. τὸ ἄσπιλον ἔνδυμα τοῦ ἀναβαλλομένου τὸ φῶς ὡς ἱμάτιον. ἡ γέφυρα Κόσμου παντὸς, καὶ πρὸς τὸν ὑπερκόσμιον Οὐρανὸν τοῦ Οὐρανοῦ ἡμᾶς ἀνάγουσα, ὑπερτέρα τῶν Χερουβὶμ ἀσυγκρίτως, ὑπερενδοξοτέρα τῶν Σεραφὶμ, καὶ τιμιωτέρα πάσης τῆς Κτίσεως. Ἀγγέλων ἀγλάϊσμα, ἀνθρώπων διάσωσμα, πύλη τῆς Οὐρανῶν Βασιλείας, Μήτηρ καὶ δούλη τοῦ ἀδύτου Ἡλίου, αὐγὴ τῆς ἀληθινῆς καὶ μυστικῆς ἡμέρας, τῆς ἀνεξιχνιάστου Θεοῦ φιλανθρωπίας ἡ ἄβυσσος, ἡ τιμιωτέρα τῆς Ἐδέμ. ἡ τῆς ἐπαγγελίας γῆ ἁγία, τῆς χάριτος ἅρμα τὸ θεῖον καὶ πολυώνυμον, τῆς ἀληθινῆς πίστεως στερρότατον ἔρεισμα. χωρίον τοῦ ἀχωρήτου εὐ-

ρυχω-

ρυχωρότατον. ἄμπελος ἀληθινὴ, τὸν βότρυν τῆς ζωῆς ἡ βλαστήσασα. ἐλαία κατάκαρπος, τὰς ψυχὰς τῶν πιστῶν ἱλαρύνουσα. σκέπη παγκόσμιος. θύρα τοῦ ὑπὲρ νοῦν μυστηρίου, ἀκτὶς τοῦ νοητοῦ Ἡλίου Χριστοῦ, ἀστραπὴ τοὺς πιστοὺς καταλάμπουσα. τῶν ἁμαρτωλῶν ἡ καταλλαγή. τῶν ἑστώτων ἀσφάλεια. τῶν πιπτόντων ἀνάκλησις. τῶν ῥαθυμούντων ἡ ἔγερσις. τῶν ἀδυνάτων ἡ ἰσχύς. τῶν Ἐκκλησιῶν ἡ ὁμόνοια, τῶν στρατοπέδων ἡ εὐτυχία. τῶν καλῶν ἁπάντων ἡ χορηγία. ἡ εὐνομία τῶν Πόλεων, ἡ τῆς Οἰκουμένης εἰρήνη. ἡ καρτερία τῶν Ἀσκητῶν. ἡ ἀνδρεία τῶν ἀθλητῶν. ζωῆς ἀκηράτου νεφέλη, φέρουσα τὴν Οὐράνιον δρόσον τοῖς ἐπὶ γῆς. λαμπὰς τοῦ ἀπροσίτου φωτός. κλίμαξ ἡ μετάρσιος, δι' ἧς οἱ Ἐπουράνιοι Ἄγγελοι πρὸς ἡμᾶς κατεφοίτησαν. τῶν χειμαζομένων ὁ λιμήν. τῶν θλιβομένων χαρά. τῶν ἀδικουμένων προστάτις, τῶν πενθούντων παράκλησις. τῶν ἀβοηθήτων ἡ βοήθεια, τῶν ἀσθενούντων ἡ ἴασις, τῶν καταπονουμένων ἡ ἀντίληψις τῶν τυφλῶν βακτηρία. τῶν πεπλανημένων ἡ σωτηρία. ὁ ὁδηγὸς τῶν ἐν ἀνάγκαις, καὶ ἐπίκουρος ἀσφαλής. κιβωτὲ ἁγία, δι' ἧς σοῦ τῆς ἁμαρτίας κατακλυσμοῦ διεσώθημεν. βάτε ἀκατάφλεκτε, ἣν εἶδε Μωϋσῆς ὁ θεόπτης. θυμιατήριον χρυσοκόλλητον, ἐν ᾧ ὁ Λόγος τὴν σάρκα ἀνάψας, εὐωδίας τὴν Οἰκουμένην ἐπλήρωσε, καὶ τὸ τῆς παρακοῆς κατεκαύθη ἔγκλημα. Θεόγραφε πλάξ. λυχνία ἑπτάφωτε, ἡ τοῦ φέγγους τὰς ἡλιακὰς λαμπηδόνας ὑπερνικήσασα. σκηνὴ ἁγία, ἣν ὁ πνευματικὸς Βεσελεὴλ ὁ Χριστὸς ἐτεκτήνατο διὰ τῶν ἀρετῶν πανσόφως, καὶ οἰκητήριον αὐτοῦ ἀπειργάσατο. τὸ βασιλικὸν ὄχημα. στάμνε μανναδόχε. κῆπε κεκλεισμένε. πηγὴ ἐσφραγισμένη, καθαρώτατα νάματα προχέουσα, τὰ τὴν Οἰκουμένην ἀρδεύοντα. ῥάβδος ἁγία, βλαστὲ τοῦ Ἀαρών. πόκε δροσοφόρε τοῦ Γεδεών. τόμος θεόγραφος. ὄρος τοῦ Θεοῦ. ὄρος ἅγιον, ὃ ηὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ. ῥίζα τοῦ Ἰεσσαί. πόλις τοῦ Θεοῦ, περὶ ἧς δεδοξασμένα λελάληται, ὡς φάσκει Δαβίδ. τῆς λύπης ἡ λύσις. τῆς αἰχμαλωσίας ἡ λύτρωσις, τῶν θνητῶν ἡ θέωσις. ἡ ὡραία τῇ φύσει, καὶ μώμου παντὸς ἀνεπίδεκτος. ἡ ἀπὸ λιβάνου τῆς παρθενίας ἀνιοῦσα, καὶ τὸν Κόσμον μυρίζουσα. ἐξ ἧς ὁ γλυκασμὸς ἀπορρέων, τὴν παλαιὰν τοῦ ξύλου πικρίαν ἐγλύκανεν. ἡ τὴν οὐσίαν ὅλην φρικτῶς χωρήσασα τῆς Θεότητος. τιμῆς ἁπάσης ὑπέρτερον δώρημα. καὶ κάλλους παντὸς ὑπέρτερον ἐγκαλλώπισμα. Σολομῶντος ἡ κλίνη, ἣ παρίστανται κύκλῳ οἱ ἑξήκοντα δυνατοί. φωτοδόχον χωρίον, ἐξ οὗ σωτηρίας ἀκτῖνες τῇ Οἰκουμένῃ ἐπέλαμψαν. τὸ μεγαλεῖον τῆς φρικτῆς οἰκονομίας. τὸ περικαλλὲς τῆς θείας συγκαταβάσεως ἐνδιαίτημα. τὸ τοῦ Κόσμου διαλλακτήριον. τὸ ἡμέτερον ἱλαστήριον καὶ προσφύγιον. τὸ πάντων τῶν καλῶν κάλλιστον δώρημα. φλογοφόρε λαβίς, ἣν ὁ μέγας ἐν Προφήταις Ἠσαΐας ἑώρακεν. ὄρος κατάσκιον, ὃ προεῶδεν Ἀββακούμ. ὄρος ἀλατόμητον τοῦ Δανιήλ. Παράδεισε ἁγιώτατε. ξύλον ζωηφόρον τὸ ὡραιότατον καὶ ἡδύτατον. μῆλον εὔοσμον. ῥόδον ἡδύπνοον. ἄνθος ἀμάραντον. ἐσφραγισμένον βιβλίον, ὃ οὐδεὶς ἀναγνῶναι δύναται. τῆς παρθενίας τύπος ἡ ἄγραφος ὅρασις τῶν Προφητῶν ἡ τιμία ἡ

θεο-

θεοποίκιλος στολή. ἡ θεοΰφαντος πορφύρα. τὸ πάσης Προφητείας ἀνέκφραστον πλήρωμα. στόμα τῶν Ἀποστόλων ἀσίγητον, θάρσος τῶν ἀθλοφόρων ἀνίκητον. Βασιλέων στήριγμα, Ἱερέων καύχημα. πταιόντων συγχώρησις. Κριτοῦ δικαίου δυσώπησις. ἀνάστασις τῶν πεπτωκότων. ἀνάπλασις τῆς ἐμῆς ψυχῆς καὶ τοῦ σώματος κοσμοπόθητε. σωτηρία μου, παρηγορία μου, ἐμὴ ζωή. ἐμὸν φῶς, ἐμὴ ἐλπίς. ἀναψυχή μου. θυμηδία μου. καταφυγή. σκέπη. ῥῶσις τῆς ἐμῆς ψυχῆς, εὐφροσύνη, ἡδύτης, τεῖχος, προσφύγιον. ὄχημα, ὅπλον, ἀντίληψις, δόξα, πνοή μου, προστάτις, μεσίτις, γαλήνη. ἐπίσκεψις, καύχημα, εἰρήνη, ἰσχύς, βάδισμα, ὕμνος, τροφή, στολή, χαρά, εὐλογία, ἀγκύρα, εὐπορία, δρόσος, σεμνοπρέπεια, μεγαλοσύνη, ἁγιωσύνη. μεγαλοπρέπεια, λύτρωσις, τῶν λυπηρῶν παράκλησις, βοηθὸς τῆς ἐμῆς ἀπορίας, φωτισμὸς καὶ ἁγιασμὸς τῆς ψυχῆς μου. ἐγκράτεια, ἁγνεία, ἀνδρεία, σωφροσύνη, ταπεινοφροσύνη. τῶν ἀρετῶν ὁ κόσμος. τῶν ἁμαρτιῶν μόνη ἀπολύτρωσις. τὸ ἐμὸν ἐκ Θεοῦ ψυχαγώγημα. τῆς ξηρανθείσης μου καρδίας ἡ θεόῤῥυτος ῥανίς. τῆς ζοφερᾶς μου ψυχῆς ἡ τηλαυγεστάτη λαμπάς. τῆς γυμνότητός μου ἡ ἀμφίασις. τῶν κακῶν μου πάντων κατάπαυσις. τῶν συμφορῶν μου ἡ μεταποίησις. ἐλευθερία, λιμήν, θησαυρός. ἐπόρευμα τὸ ὄντως αἰώνιον. ἐπίκουρος. μετάνοια. ὕψωμα. εὐεξία. ἰσχύς. εὐβουλία. σύνεσις. ἀγαλλίαμα. λαμπρότης μου. Κυρία μου. καὶ πρὸς Θεὸν ἀκοίμητος προστασία, καὶ ἀκαταίσχυντος. ἴδε τὴν πίστιν καὶ τὴν θλίψιν μου, καὶ ὡς ἔχουσα τὸ συμπαθές, καὶ τὸ δύνασθαι οἷα Μήτηρ Θεοῦ, τοῦ μόνου ἀγαθοῦ καὶ ἐλεήμονος, δέξαι τὴν παναθλίαν μου ψυχήν, καὶ ἀξίωσον αὐτὴν διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως, τῆς δεξιᾶς μερίδος τοῦ μονογενοῦς σου Χριστοῦ, καὶ τῆς καταπαύσεως τῶν ἐκλεκτῶν ἁγίων αὐτοῦ. ὅτι οὐκ ἔχω πλὴν σοῦ βοηθόν, οὐδὲ ἀντίληψιν. εἰς σὲ ἐλπίζων μὴ ἀστοχήσω. εἰς σὲ καυχῶμαι. μὴ διὰ τὰς πολλάς μου ἀνομίας ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ τοῦ δούλου σου. ἔχεις γὰρ τὸ δύνασθαι, ὡς τὸν ἕνα τῆς Τριάδος ἀῤῥήτως γεννήσασα. πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς πρὸς εὐμένειαν Δεσπότου. δεῖξον τὰς χεῖρας αἷς αὐτὸν ἐβάστασας, τοὺς μαστοὺς οὓς ἐθήλασεν, τῶν σπαργάνων ἀνάμνησον τῆς ἄλλης ἐκ βρέφους ἀναγωγῆς. τὰ σὰ τοῖς ἐκείνου σύμμιξον, τὸν Σταυρόν, τὰ αἵματα, τὰ τραύματα. δι' ὧν καὶ σεσώσμεθα, δι' ὧν δοξαζόμεθα. μὴ δὴ μακρύνῃς ἀφ' ἡμῶν τὴν σὴν προστασίαν, ἀλλ' ἐπικούρει καὶ σκέπε καὶ περίσωζε διὰ παντός. τέρπεται γὰρ ταῖς αἰτήσεσί σου ὁ μονογενής σου Υἱός. ὑπόχρεων ἔχεις αὐτὸν τὸν εἰπόντα, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. καὶ πολλῶν μᾶλλον αὐτὸς ὑπὲρ ἄλλων ἐκ σοῦ παραινούμενος, φυλάξει τὴν χάριν καὶ τὸ ἴδιον δόγμα, σοὶ τῇ διακονησαμένῃ τούτῳ τὴν ἀπόῤῥητον γέννησιν. ὅθεν καὶ χαίρει ταῖς παρακλήσεσί σου, οἰκείαν ἡγούμενος τὴν δόξαν τὴν σήν. καὶ χρεωστικῶς ἐκπληροῖ τὰς αἰτήσεις σου. μόνον μὴ παρίδῃς με τὸν πανάθλιον. μηδὲ τῶν πράξεών μου αἱ ἀτοπίαι τὸ σὸν ἀμέτρητον ἔλεος ὑπερβήτωσαν. Θεοτόκε μου τὸ ὑπερπόθητον ὄνομα. οὐδὲν γὰρ τῆς σῆς βοηθείας ὀχυρώτερον τρόπαιον. σὺ γὰρ ἀφεῖλες πᾶν δάκρυον ἀπὸ προσώπου τῆς

γῆς.

γῆς. τὰ Οὐράνια εὔφρανας, τὰ ἐπίγεια ἔσωσας, τὸ πλάσμα κατήλλαξας. ἐξιλάσω τὴν πλάσιν. τοὺς Ἀγγέλους ἐφαίδρυνας. τοὺς ἀνθρώπους ἀνύψωσας. τὰ ἄνω τοῖς κάτω διὰ σοῦ συνῳώθησαν. καὶ μετεσκευάσθη ἀρίστως τὸ πᾶν πρὸς τὸ βέλτιστον. διὰ σοῦ τῆς ἀναστάσεως τὰ σύμβολα κατέχομεν. διὰ σοῦ τῆς Οὐρανῶν Βασιλείας ἐπιτυχεῖν ἐλπίζομεν. σὲ τῆς ἡμῶν σωτηρίας ἐπίκυρον κεκτήμεθα. σὲ τῆς ἡμῶν βοηθείας ὑπέρμαχον ἔχομεν. σὲ τοῖς ἡμῶν ἀπολογίας προβαλλόμεθα στόμα. σε τῆς ἡμῶν ἐλπίδος περιφέρομεν καύχημα. σὲ Χριστιανῶν ἡ πληθὺς ὀχυρώτατον ὅπλον κεκτήμεθα. σὺ τοῦ Παραδείσου κλεῖθρα διήνοιξας. σὺ τὸ βαίνειν πρὸς Οὐρανοὺς παρεσκεύασας. σὺ τῷ Υἱῷ σου καὶ Θεῷ ἡμᾶς προσῳκείωσας. κἀγὼ ἐπὶ σὲ θαῤῥῶ διὰ παντὸς, καὶ σοὶ τὴν εὐχαριστίαν ἀναπέμπω· ἅμα τῷ μονογενεῖ σου Υἱῷ, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ὁμοουσίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι. σὺ δὲ ὑπερευλογημένη ὑπάρχεις ἐν γυναιξὶ, καὶ ὑπερευλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. καὶ τὸ σὸν ὑπερπόθητον ὄνομα μεγαλύνω εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εὐχὴ, β´. Εἰς τὴν Δέσποιναν Θεοτόκον.

Δέσποινά μου Θεοτόκε, μὴ ἐγκαταλίπῃς με τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, ἵνα ταῖς πονηραῖς μου συναπολεσθῶ ἐργασίαις. ἀλλὰ κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐπ' ἐμὲ. καὶ τῆς ἀπ' αὐτῶν με λύτρωσαι ἐπηρείας. ἵνα κἀγὼ ὡς προστάτιν μου ἀεὶ μεγαλύνω σε, τὴν διηνεκῆ τοῦ γένους ἡμῶν μεγαλειότητα, σωζόμενος τῷ ἐλέει σου. πάντοτε νῦν καὶ ἀεὶ καὶ τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εὐχὴ, γ´. Εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

ΠΑναγία Δέσποινά μου Θεοτόκε. ἀποδίωξον ἀπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὴν ἀκηδίαν, τὴν λήθην, τὴν ἄγνοιαν, τὴν ἀμέλειαν, καὶ πάντας τοὺς πονηροὺς λογισμοὺς, τοὺς αἰσχροὺς καὶ βλασφήμους. ἀπὸ τῆς ἀθλίας καὶ ταλαιπώρου μου καρδίας, καὶ ἐκ τῆς μεμολυσμένης μου ψυχῆς. καὶ ἐκ τοῦ ἐσκοτισμένου μου νοός. καὶ κατάσβεσόν μου τὴν φλόγα τῶν παθῶν. καὶ ἐλέησον, καὶ βοήθησόν μοι. ὅτι ἀσθενὴς καὶ ταλαίπωρος εἰμὶ ἐγώ. καὶ λύτρωσαί με ἐκ τῶν ἐπερχομένων μοι πονηρῶν ἐνθυμήσεών τε καὶ προσλήψεων. καὶ πάντων τῶν κακῶν με ἐλευθέρωσον πράξεων, καὶ ἐνθυμήσεων, τῶν ἐν νυκτὶ καὶ ἡμέρᾳ. καὶ βοήθησόν μοι Δέσποινα Θεοτόκε. ἡ καθαρωτέρα τῶν Οὐρανῶν, καὶ τῶν ἁμαρτωλῶν μεσίτρια. ὅτι ὑπερευλογημένη ὑπάρχεις ὑπὲρ πασῶν τῶν γενεῶν. καὶ δοξάζεται σου τὸ παναγιον ὄνομα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Πένθος τῇ Τρίτῃ Ἑσπέρας.

ΟἼμοι, ἐν ποίᾳ καταγνώσει ἕστηκα; ἐν ποίᾳ αἰσχύνῃ κατάκειμαι; οὐκ ἔστι τὸ κρυπτόμενόν μου ὡς τὸ φαινόμενον. περὶ ἀπαθείας διαλεγομένῳ, ἡ τῶν αἰσχρῶν παθῶν μελέτη ἐν ἐμοὶ ὑπάρχει ἡμέρας καὶ νυκτός. περὶ ἁγνείας προΐεμαι λόγους, περὶ ἀσελγείας διενθυμοῦμαι. Οἴμοι, οἷα ἐξέτασίς μοι ἀπόκειται. ἀληθῶς σχῆμα εὐσεβείας περίκειμαι, καὶ οὐ τὴν δύναμιν. ἐν ποίῳ προσώπῳ προσέρχομαι Κυρίῳ τῷ Θεῷ, τῷ γινώσκοντι τὰ κρυπτὰ τῆς καρδίας μου, ποσ-

τοῖς κακοῖς ὑπεύθυνος ὑπάρχων; δειλιῶ ἱστάμενος ἐν προσευχῇ, μήποτε καταβῇ πῦρ ἐξ Οὐρανοῦ, καὶ ἐκλείξει με, ὥσπερ ποτὲ τοὺς προσενεγκόντας ἐν ἐρήμῳ πῦρ ἀλλότριον, ἐξελθὸν πῦρ παρὰ Κυρίου κατέκαυσεν αὐτούς. τί οὖν ἐγὼ προσδοκήσω, πολὺ ἄπειρον βάρος ἁμαρτιῶν περικείμενος; πεπώρωταί μου ἡ καρδία, ἠλλοίωταί μου ὁ εὐσεβὴς λογισμός. ἐσκοτίσθη μου ἡ διάνοια. ἀεὶ ἐπιστρέφω ὡς κύων ἐπὶ τὸν ἴδιον ἔμετον. οὐκ ἔστι μοι παῤῥησία πρὸς τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς. οὐκ ἔστι μοι ἡ διάνοια καθαρά, οὐκ ἔστι μοι δάκρυον ἐν προσευχῇ. κἂν στενάζω, ψύγω μου τὸ πρόσωπον, τὸ ἐν αἰσχύνῃ γεγονός. κρούσω μου τὸ στῆθος, τὸ τῶν παθῶν οἰκητήριον, τὸ τῶν πονηρῶν λογισμῶν ἐργαστήριον. Δόξα σοι μόνε μακρόθυμε, δόξα σοι μόνε ἀγαθέ. δόξα σοι εὐεργέτα τῶν ψυχῶν ἡμῶν. μεγάλοι σου οἱ οἰκτιρμοὶ ἐπὶ τοὺς ἁμαρτωλοὺς ἡμᾶς Κύριε, καὶ μή με ἀπορρίψῃς μετὰ τῶν λεγόντων σοι Κύριε, Κύριε, καὶ μὴ ποιούντων τὸ θέλημά σου. πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, πρεσβείαις πάντων τῶν εὐαρεστησάντων ἐνώπιόν σου. σὺ γὰρ γινώσκεις Κε τὰ ἐμοὶ κεκρυμμένα πάθη σὺ ἐπίστασαι τὰ τραύματα τῆς ψυχῆς μου. ἴασαί με Κύριε. καὶ ἰαθήσομαι. εἰ μὴ γὰρ σὺ Κύριε οἰκοδομήσῃς οἶκον ψυχῶν, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες παρασκευάζομαι γὰρ πρὸς ἀντίστασιν τῶν παθῶν, ἐν τῷ συμβαλεῖν με πρὸς αὐτὰ καὶ ἡ κακοτεχνία δράκοντος ἐκλύει με τὸν τόνον τῆς ψυχῆς διὰ τῆς ἡδονῆς, καὶ μὴ ὄντος τοῦ βιάζοντος, ὥσπερ αἰχμάλωτος αἴρομαι ὑπ᾽ αὐτῶν. προθυμοῦμαι ἀποσπᾶσαι τὸν κατακαιόμενον, καὶ ἡ ὀσμὴ τοῦ πυρὸς ἔτι νεάζοντός μου, ἐφέλκει με εἰς τὸ πῦρ. πάλιν ὁρμῶ τοῦ σῶσαι τὸν καταποντιζόμενον, καὶ ὑπὸ ἀπειρίας σὺν αὐτῷ καταποντίζομαι. ἐπιπλήττω τὸν κάμνοντα, τυφλὸς ὢν αὐτός. ἰατρὸς θέλω χρηματίζεσθαι ὁ ἄθλιος τῶν παθῶν, αὐτὸς ἐγὼ ὑπ᾽ αὐτῶν αἰχμαλωτιζόμενος. φώτισον Κύριε τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου, ὅπως ἐπιγνώσωμαι τὰ πλήθη τῶν κακῶν μου. ἡ χάρις σου ἐπισκιάσοι ἐπ᾽ ἐμὲ Δέσποτα. καὶ φωτίσοι μου τὴν ἐσκοτισμένην διάνοιαν, καὶ ἐπὶ τῇ ἀγνωσίᾳ μου γνῶσιν θείαν ἐνοικήσοι μοι. ὅτι οὐκ ἀδυνατήσει παρὰ σοὶ πᾶν ῥῆμα. αὐτὸς Κύριε τὴν ἄβατον θάλασσαν, εὐδιάβατον παρέσχες τῷ λαῷ σου ποτέ. αὐτὸς ἐκ πέτρας ἀκροτόμου ὕδωρ αὐτοῖς παρέσχες τοῖς διψῶσιν. αὐτὸς μόνος τὸν ἐμπεσόντα εἰς τοὺς λῃστάς, τῇ ἀγαθότητί σου ἔσωσας. σπλαγχνίσθητι οὖν καὶ ἐπ᾽ ἐμοὶ Κύριε. τῷ περιπεσόντι εἰς τοὺς λῃστάς. καὶ δεθέντι ὡς δεσμίῳ ὑπὸ κακοφροσύνης. οὐδεὶς ὁ δυνάμενος ἰάσασθαί μου τὸ ἄλγος τῆς ψυχῆς. εἰ μὴ σὺ Κύριε ὁ ἐπιστάμενος τὰ βάθη τῆς καρδίας μου. ποσάκις ἔθηκα ὁ τάλας ἐν ἐμαυτῷ ὅρους, καὶ τείχη ἀνῳκοδόμησα μεταξὺ ἐμοῦ, καὶ τῆς ἀνόμου ἁμαρτίας, καὶ τῶν ἐναντίων ἐξ ἐναντίας, βαλλόντων εἰς πόλεμον. ἡ διάνοια τοὺς ὅρους παρέβη, καὶ τὰ τείχη κατεσκάφη. διὰ τὸ μὴ τοὺς ὅρους ἔχειν ἀσφάλειαν φόβῳ τοῦ κρείττονος. καὶ διὰ τὸ μὴ τὰ τείχη θεμελιοῦσθαι ἐπὶ εἰλικρινοῦς μετανοίας. τίς οὐ μὴ κλαύσῃ ἐν ἐμοί, ὅτι διὰ μικρὰν ἡδονὴν τοῦ ἀτελευτήτου πυρὸς παρανάλωμα γέγονα. καὶ τῆς αἰωνίου Βασιλείας κατεφρόνησα, καὶ οὐκ ἀντεποιησάμην. ἐδούλωσα τοῖς πάθεσιν ὁ ἄθλιος, τὸ τῆς ψυχῆς

μου ἀξίωμα. κτηνώδης ἐγενόμην, καὶ οὐκ ἰσχύω ἀτενίσαι πρὸς τὸν εὔσπλαγχνον Κύριον. ἐκοσμήθην ποτὲ πλουτοποιοῖς χαρίσμασι. νῦν δὲ τὴν πενίαν τῶν παθῶν ἠγάπησα. ξένος ἐγενόμην τῶν ἀρετῶν, εἰς χώραν κακίας ἀποδημήσας μακράν. ἡμιθνὴς εἰμί, βραχύτατον ἔχων ζωῆς λείψανον. κλαύσατέ μοι ὅσιοι καὶ δίκαιοι, τὸν ἐν πάθεσι καὶ ἁμαρτίαις συλληφθέντα. κλαύσατέ με οἱ τῆς ἐγκρατείας ἐργάται, τὸν γαστρίμαργον καὶ φιλήδονον. κλαύσατέ με οἱ ἐλεηθέντες καὶ ἐπιγνώμονες, τὸν ἐλεηθέντα καὶ παραπικράναντα. κλαύσατέ με οἱ ἀγαπήσαντες τὰ ἀγαθά, καὶ μισήσαντες τὰ πονηρά, τὸν ἀγαπήσαντα τὰ πονηρά, καὶ μισήσαντα τὰ ἀγαθά. κλαύσατέ με οἱ βίον ἐνάρετον κεκτημένοι, τὸν σχήματι ἐνάρετον, τοῖς δὲ ἔργοις ἐμπαθῆ καὶ ἀδιάφορον. κλαύσατέ με, οἱ Θεῷ εὐάρεστοι, τὸν ἀνθρωπάρεσκον. κλαύσατέ με οἱ τὴν τελείαν ἀγάπην πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἔχοντες, τὸν λόγοις μὲν ἀγαπῶντα, ἔργοις δὲ πόρρω ἀπέχοντα. κλαύσατέ με οἱ τὴν ὑπομονὴν κεκτημένοι καὶ καρποφοροῦντες, τὸν ἀνυπομόνητον καὶ ἄκαρπον. κλαύσατέ με οἱ ἀνεπαισχύντως τῷ Θεῷ προσευχόμενοι, τὸν αἰσχυνόμενον ἀτενίσαι εἰς τὸ ὕψος τοῦ Οὐρανοῦ. κλαύσατέ με οἱ τὴν πρᾳότητα κεκτημένοι, τὸν ταύτης ἀλλότριον. κλαύσατέ με οἱ ἐλεήμονες τὸν ἀνελεήμονα. κλαύσατέ με οἱ ταπεινόφρονες τὸν ὑψηλόφρονα καὶ ὑπερήφανον. κλαύσατέ με οἱ τὴν ἀκτημοσύνην τῶν Ἀποστόλων κτησάμενοι, τὸν ολομανήσαντα καὶ φορτιζόμενον. κλαύσατέ με οἱ πιστοί, καὶ ἑδραῖοι τῇ καρδίᾳ πρὸς τὸν Θεόν, τὸν δίψυχον καὶ σαθρὸν καὶ ἀδόκιμον. κλαύσατέ με οἱ τὸ πένθος ἀγαπήσαντες, καὶ τὸν γέλωτα μισήσαντες, τὸν ἀγαπήσαντα τὸν γέλωτα, καὶ μισήσαντα τὸ πένθος. κλαύσατέ με οἱ ἔχοντες ἐν τῷ τὴν μετὰ θάνατον κρίσιν, τὸν ὁμολογοῦντα μεμνῆσθαι καὶ τὰ ἐναντία πράττοντα. κλαύσατέ με οἱ κληρονόμοι τῆς Βασιλείας τῶν Οὐρανῶν, τὸν κληρονόμον τῆς γεέννης τοῦ πυρός. Δεήθητε Ἅγιοι τοῦ Θεοῦ, ὑπὲρ ψυχῆς κλυδωνιζομένης, ἐν οἷς δύνασθαι. Ἅγιοι τοῦ Θεοῦ βοηθήσατε. οἶδα γάρ, ὅτι ἐὰν δεηθῆτε τοῦ φιλανθρώπου Θεοῦ, πάντα συγχωρηθήσεται ἡμῖν, τῷ πελάγει τῆς αὐτοῦ χρηστότητος. καὶ ὥσπερ ὁ Θεὸς ἐστὶ φιλάνθρωπος, οὕτω καὶ ὑμεῖς μὴ ὑπερίδητε ἀξιούμενοι, τὴν δέησιν ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ὅτι οὐκ ἔχω παρρησίαν διὰ τὰ πολλά μου ἁμαρτήματα. ἔργον ὑμῖν ἐστὶν Ἅγιοι τοῦ Θεοῦ πρεσβεύειν ὑπὲρ ἁμαρτωλῶν. Θεοῦ δὲ ἔργον ἐστὶ τοὺς ἀπεγνωσμένους ἐλεεῖν. Δεήθητε Ἅγιοι τοῦ Θεοῦ τοῦ Βασιλέως, περὶ τοῦ αἰχμαλώτου. δεήθητε τοῦ ποιμένος, περὶ τοῦ προβάτου. δεήθητε τῆς ζωῆς, περὶ τοῦ νεκροῦ. ὅπως ἀποστείλῃ αὐτοῦ τὴν χάριν, καὶ στηρίξῃ τὸ εὐόλισθον τῆς ταπεινῆς μου ψυχῆς. Προσπίπτω ἐν τοῖς οἰκτιρμοῖς τῆς σῆς ἀγαθότητος, Δέσποτα τῶν ἁπάντων. δέξαι παράκλησιν ἁμαρτωλοῦ. γλύκανόν μου ψυχὴν πικρανθεῖσαν ὑπὸ τῆς ἁμαρτίας. μετάδος διψῶντι ἐκ τῆς πηγῆς τῆς ζωῆς, καὶ ὁδήγησόν με ἐν τῇ ὁδῷ αὐτῆς. εἰσάγαγέ με εἰς τὴν Βασιλικὴν πύλην, ὡς Δεσπότης τὸν ἴδιον δοῦλον. ὅπως ἐλευθερωθῶ τῆς δουλείας τῶν ἀτίμων παθῶν. ὅτι συνέχεταί μου ἡ καρδία ὡς ἐν ἁλύσει σιδηρᾷ. προφθασώτωσάν με οἱ οἰκτιρμοί σου Κύριε, διὰ τῆς παρακλήσεως τῶν Ἁγίων σου, πρὶν

ἐλκυ-

ἑλκυσθῶ, ἅμα τοῖς ἐργαζομένοις τὴν ἀνομίαν. ἐκεῖ ἀποκαλυφθήσονται τὰ ἐν τῷ σκότει καὶ τὰ ἐν τῷ φανερῷ πεπραγμένα μοι. Οἴμοι, ποία αἰσχύνη με καταλήψεται, ὅταν ἴδωσί με πάντες καταδικασθέντα, οἱ νῦν δοκοῦντες με ἄμεμπτον εἶναι. τὴν πνευματικὴν ἐργασίαν καταλιπὼν, τοῖς πάθεσιν ὑπετάγην. οἴμοι ψυχὴ, τί ἀμαυροῦται τῷ ζόφῳ τῶν παθῶν μου ὁ ἥλιος; τί ἐνδαπανᾶται ἡ ζωὴ τῷ θανάτῳ; τί ἐξαφανίζεται τῇ παρουσίᾳ τῆς ἀκτῖνος ὁ ζόφος; τί τὴν φθορὰν τῆς ἀφθαρσίας προκρίνομεν; τί πρὸς γῆν τοῖς πάθεσι ψυχὴ συμφυρώμεθα; τὸ θεοΰφαντον ἄμφιον ἠχρειώσαμεν, καὶ ἀνάξιον τοῦ Βασιλικοῦ γάμου ἐποιήσαμεν. ἑκουσίως ταῖς ἁμαρτίαις ἐπράθημεν, τῷ ἐχθρῷ τῆς ζωῆς ἡμῶν κατεδουλώθημεν. τί ἐρεῖς τῷ Κριτῇ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ καὶ φρικτῇ, ἐπείνασα διὰ σέ; ἢ ἐδίψησα διὰ σέ, ἢ ἐγυμνήτευσα διὰ σέ, ἢ ἐταπεινώθην διὰ σέ; ἢ ἠγάπησά σε ὅλῃ μου τῇ ψυχῇ; παῤῥησίᾳ διηνεκῶς βοᾷ ὁ διδάσκαλος. δέξαι ὁ ἐν ἐξουσίᾳ τὸν χαλινόν. ὁ ἐν δουλείᾳ τὴν ἰσοτιμίαν, ὁ πένης τὸν ἄσυλον πλοῦτον. τιμὴ οὐ τὴν ἐλευθερίαν, ἀλλὰ τὴν στενοχωρίαν. τί καιρὸν ἀναμένεις, ἀλλ' οὐ λογισμόν; τί φίλον ἐπίβουλον, ἀλλ' οὐ πόθον σωτήριον; τί μὴ βοηθοῦμεν τῇ φύσει καιρὸν ἔχοντες; ἕως ἔτι τῶν λογισμῶν Κύριος εἶ; ἕως οὔπω νοσεῖ τὸ σῶμα, καὶ ἡ διάνοια, ἕως οὐκ ἐπ' ἄλλοις κεῖται τὸ σὸν ἀγαθόν. ἕως δῆλον σοι τὸ δῶρον ἀλλ' οὐκ ἀμφίβολον, καὶ τοῦ βάθους ἡ χάρις ἐφάπτεται. ἕως οὐ δάκρυα περὶ σὲ τῆς ἐξόδου μηνύματα. πρόφθασον, στῆθι γενναίως κατὰ τῶν παθῶν, μετὰ τῆς συμμαχίας εἰς Θεοῦ παράταξιν. ἀρίστευσον κατὰ τοῦ Γολιάθ. μὴ λῃστὴν προλάβῃ, μὴ φονεὺς προαρπάσῃ. μήτις τῶν βιαστῶν καὶ ἁρπακτῶν τῆς Βασιλείας σε ἀποκλείσῃ. φοβητέον καὶ πάσῃ φυλακῇ τηρητέον, μὴ ψεῦσαι τῆς ὁμολογίας ἡμῶν φαινώμεθα. εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας, ἔμπεδοι Θεὸς μέσος παραληφθεὶς, πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἐθέμεθα θείων συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι; καὶ μὴ μόνον τῶν ἄλλων ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτοῦ τοῦ ψεύδους, ὑποδίκους εἶναι τῇ ἀληθείᾳ, καὶ ταῦτα οὐκ οὔσης δευτέρας ἀναγεννήσεως, οὐδὲ ἀναπλάσεως, οὐδὲ εἰς τὸ ἀρχαῖον ἀποκαταστάσεως, δεινὸν παρελθεῖν τὴν πανήγυριν, καὶ τὸ τηλικαῦτα τὴν πραγματείαν ζητεῖν. δεινὸν ὑστεροβολία, καὶ τὸ τηλικαῦτα τῆς ζημίας αἰσθάνεσθαι, ὅτι οὐκ ἔστι λύσις ζημίας, μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν, καὶ τὸν πικρὸν συγκεκλεισμὸν, τῶν ἑκάστῳ βεβιωμένων. ὡς ὁ τελώνης στενάζω. ὡς ἡ πόρνη δακρύω. ὡς ὁ λῃστὴς ἀναβοῶ, ὡς ὁ ἄσωτος υἱὸς κραυγάζω πρός σε φιλάνθρωπε. Χριστὲ Σωτὴρ τοῦ Κόσμου, τὸ φῶς τὸ ἀληθινὸν, στήριξον ἐξασθενήσασαν τὴν παρειμένην μου ψυχὴν, τῇ μέθῃ τῶν ἡδονῶν. θεράπευσον τὰ ἕλκη ταύτης, καὶ ἐκτροπὰς τοῦ νοός μου. ἀπόπλυνον αὐτὴν μεμελανωμένην τῷ λύθρῳ τῆς ἁμαρτίας, τῷ σῷ τιμίῳ Αἵματι. νῦν καιρὸς εὐπρόσδεκτος. νῦν ἡμέρα σωτηρίας. ἐν τῷ πλήθει τοῦ ἐλέους σου, ἐπίστρεψόν με μόνε μακρόθυμε. καὶ ῥῦσαί με ἀπὸ πάσης ἐνδόνου τρυφῆς. μὴ εἰς τέλος καταφλέξῃ με ἡ κάμινος τῶν παθῶν ἀλλὰ τῇ δρόσῳ τοῦ ἐλέους σου καταμάρανον αὐτήν. οὐαί μοι, ὅτι ἐδωρήσω μοι Κύριε φωτισμὸν γνώσεως, κἀγὼ

αὐτὸν ἀθετῶ. οὐαί μοι, ὅτι πάντοτε ἠθέτησα καὶ ἀθετῶ, καὶ ἀδιαλείπτως ἐπισκέπτεταί με ἡ χάρις σου, καὶ ἰᾶταί με. καὶ καθ᾽ ὥραν ἠθέτησα καὶ ἀθετῶ τὴν δωρεὰν τῶν ἰαμάτων αὐτῆς. ὅσων δωρεῶν ἐμὲ τὸν ἁμαρτωλὸν ἐπλήρωσας Δέσποτα καὶ ἀειδωρῆ, ἐγὼ δὲ ὁ τάλας εἰμὶ ἀγνώμων τῇ προαιρέσει πάντοτε γλυκαινόμενος ὑπὸ τῆς χάριτός σου. πάντοτε φωτίζομαι, συνεχῶς στηρίζομαι, καὶ πάντοτε αὐτὴν ἀθετῶ. καὶ εἰς πικρότητα τὴν ἐμαυτοῦ πάλιν μεταβάλλομαι. ὑπομιμνήσκεις με ὑπεράγαθε τὸν θάνατον, τὰς αἰωνίους τιμωρίας, καὶ ἕλκεις με πάντοτε εἰς τὴν ζωὴν ἵνα σωθῶ. ἐγὼ δὲ ἀεὶ τῇ μοχθηρίᾳ μου ἐπιμένω. χάριν τούτων οὐκ ἔχω οὐδὲ μίαν ἀπολογίαν ἐκεῖ. κρούω, ἵνα ἀνοιγῇ μοι ἡ θύρα τοῦ ἐλέους σου Κύριε. ἐπιμένω δεόμενος, ὅπως ἐπιτύχω τοῦ αἰτήματος. ὡς ἀναιδὴς ἐλεηθῆναι ζητῶ. μακροθύμησον ἐπ᾽ ἐμοὶ τῷ σκολιῷ Δέσποτα. ῥῦσαί με τῶν περιχυσῶν με ἁμαρτιῶν. καὶ ὑγιὴς γενόμενος ἐγερθῶ τῆς κλίνης τῆς φθοροποιοῦ ἁμαρτίας. ἐλευθέρωσόν με ἀπὸ παντὸς ἔργου πονηροῦ, πρὶν καταλάβῃ με τὸ τέλος. ὅπως εὕρω χάριν ἐνώπιόν σου, ἐν τῇ ὥρᾳ τοῦ θανάτου καὶ χωρισμοῦ, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; λεύκανόν τὸν σπιλωθέντα μοι χιτῶνα, πρὸ τοῦ ἐλθεῖν μοι τὸ πρόσαγμα τὸ φοβερόν, ῥῦσαι ψυχὴν τεθλιμμένην ἐκ στόματος λέοντος, καὶ σῶσον αὐτὴν χάριτι καὶ οἰκτιρμοῖς σου. πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων σου τῶν ἁγίων. ὅτι εὐλογημένος εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἶθ᾽ οὕτως τὸ Ἄσπιλε ἀμόλυντε. Καὶ Ἀπόλυσις.

Τέλος τῆς Τρίτης Ἑσπέρας.

## ΤΗ͂ ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ, ΜΕΤΑ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ,

Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Ὠδὴ ά. ἦχος πλ. β΄. Κύματι θαλάσσης.

Χαῖρε τῶν πατέρων, τὸ εὔφημον κράτος, χαῖρε περίδοξον, κλέος τοῦ γένους ἡμῶν, χαῖρε πηγὴ σωτηρίας. ἡ ἐκβλύζουσα τὸ ἔλεος. τοῖς πιστῶς ὑμνοῦσί σε, Μαρία ἀπειρόγαμε.

Ἄρτος ζωηφόρος, ἐδείχθης Παρθένε, Χριστὸν γὰρ ἔτεκες. τὸν τοῦ παντὸς ποιητήν, ὃν δυσωποῦσα ὡς Μήτηρ. ἐλευθέρωσον ἐκ πάσης ὀργῆς. συμφορῶν καὶ θλίψεων, παντοίων τοὺς ὑμνοῦντάς σε.

Δέχου ἐκ χειλέων, ἀσώτων τὸν αἶνον, Παρθένε ἄμωμε. Θεογεννῆτορ ἁγνή, σὺ γὰρ ὑπάρχεις τοῦ Κόσμου. σωτηρίαν καὶ ἀντίληψις. ἐκτενῶς οὖν πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἡ τῶν ἀνελπίστων, ἐλπὶς καὶ προστάτις, καὶ ἀκαταίσχυντος, πάντων βοήθεια, τὰς Οὐρανίους μοι πύλας. διανοίξασα προσάγαγε. τῷ Υἱῷ σου Δέσποινα, καὶ σῶσόν με πανάμωμε. Δόξα.

Ὄμβροις διδαγμάτων, ὀμβρήματα πλάνης, ἀποξηράναντες. ὄμβρους ἰάσεων. ἐποχετεύετε Κόσμῳ. καὶ φλογμὸν παθῶν διώκετε. ὀπαδοὶ καὶ κήρυκες, τοῦ

πάντων

πάντων εὐεργέτου Χριστοῦ. Καὶ νῦν.

Ἄχραντε Παρθένε, κεχαριτωμένη, Μαρία ἔνδοξε. τῆς χαρᾶς πρόξενε, τοῖς ὑμνηταῖς σου παράσχου. θείαν χάριν τε καὶ ἔλεος. ὅπως χαριστήριον, ᾠδήν σοι ἀναπέμπωμεν.

Ὠδὴ γ΄. Σὲ τὸν ἐπὶ ὑδάτων.

ΣΕ πᾶσαι Παναγία, δοξάζουσιν αἱ τάξεις τῶν Ἀγγέλων. ἡμεῖς δὲ Θεοτόκε, ἀκαταπαύστως σοι ψάλλομεν. καὶ εὐχαρίστως κράζομεν. χαῖρε ἡ Δέσποινα πάντων, μόνη καὶ ἀντίληψις.

Τίς ἐπαξίως Μῆτερ, ὑμνήσει σου τὸν τόκον τῆς λοχείας; ἡ κτίσις κατιδοῦσα, τὸ τελεσθέν σοι μυστήριον. θαμβητικῶς κραυγάζει σοι. οὐκ ἔστι Δέσποινα, πλήν σου ἄλλη προστασία ἡμῶν.

Πρόστηθι τοῖς αἰτοῦσι, τὸν ἔλεον ἐκ σοῦ, Παρθενομῆτορ. τὴν κραταιάν σου χεῖρα, τοῖς ἐν ἀνάγκαις ἐκτείνουσα. Θεοκυῆτορ πάναγνε. σὲ γὰρ κεκτήμεθα, πάντες λύτρον ἐν ταῖς θλίψεσι.

Δάκρυα μετανοίας, οὐ κέκτημαι ἐγὼ καθὼς ἡ πόρνη. ἀσώτως δὲ τὸν βίον, ἐκδαπανήσας προσπίπτω σοι. ἐν στεναγμοῖς καὶ κράζω σοι. λιταῖς σου Δέσποινα, δός μοι δάκρυα καὶ κλαύσομαι. Δόξα.

Σθένος ἐνδεδυμένοι, Ἀπόστολοι τοῦ ἐν ἰσχύϊ μόνου. τὰ πάντα δυναμοῦντος, τῷ δυσμενεῖ συνεπλέκεσθε. καὶ νικηταὶ δεικνύμενοι. κήρυκες ὤφθητε, καὶ σωτῆρες τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν.

Δόλῳ με δελεάσας, θεώσεως ἐχθρὸς τῷ πόθῳ πάλαι. ἐξ Ἐδὲμ Θεομῆτορ, εἰς γῆν ἑρπύσας συνέτριψεν. ἀλλ᾽ ὁ Χριστὸς οἰκτείρας με. ἐκ τῆς νηδύος σου, σάρκα προσλαβὼν ἀνέπλασεν.

Ὠδὴ δ΄. Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν.

ΤΕῖχος ὑπάρχεις καὶ ἀσφάλεια. καὶ ἐλπὶς τῶν πιστῶν, καὶ πύργος σωτηρίας. τοὺς καθ᾽ ἡμῶν καταβάλλε, ἄχραντε ἁγνή. τὰς ἐλπίδας ἐν σοὶ γάρ, πάσας ἐθέμεθα.

Σὺ εἶ τοῦ Κόσμου ἡ ἀντίληψις. Θεοτόκε ἁγνή, καὶ σωτηρία πάντων. ὅθεν φωναῖς Δέσποινα, πᾶσαι αἱ φυλαί. Θεοτόκον κυρίως, ἀνευφημοῦμέν σε.

Τὴν ἀπροσμάχητον ἐλπίδα σου. κεκτημένοι σεμνή, τῶν δυσμενῶν τὰ θράση: καταβαλοῦμεν ἄχραντε, πίστει τῇ εἰς σέ. τῇ γὰρ σῇ ἐπικλήσει, νῦν κραταιούμεθα.

Εἶδε τὴν θλῖψιν, ἴδε πάναγνε. τῶν ἐμῶν στεναγμῶν, ἴδε τὴν ἀθυμίαν. καὶ τὴν πολλήν σου ἔνδειξον, χάριν ἐν ἐμοί. εὐφροσύνης πληροῦσα τὴν ταπεινήν μου ψυχήν. Δόξα.

Τὸ πῦρ τῆς θείας ἀγαπήσεως. ἐν ψυχῇ λογικῇ προσφέροντες τὴν φλόγα. παρανομούντων ἔσβεσαν, καὶ φωτιστικαὶ οἱ Χριστοῦ μυστολέκται, λαμπάδες ὤφθησαν. Καὶ νῦν.

Ἡ ἐκλεκτή τε καὶ ὑπέρτιμος. ἐκ πασῶν γενεῶν, ἀναφανεῖσα μόνη. ἡ ἀρεταῖς ἐκλάμψασα, ἄχραντε Ἁγνή, τοὺς σὲ ὑμνολογοῦντας, αἴγλῃ σου λάμπρυνον.

Ὠδὴ ε΄. Θεοφανείας σου Χριστέ.

Χαῖρε τὸ τεῖχος τῶν πιστῶν. ἡ κραταιὰ μεσιτεία ἄχραντε. χαῖρε ὄρος ἅγιον πανάμωμε, χαῖρε κλίμαξ ἔμψυχε Δέσποινα, χαῖρε πάντων ἡ χαρμονὴ, καὶ ἡ βοήθεια τῶν ἀβοηθήτων, καὶ σκέπη τῶν ὁλοψύχως προστρεχόντων σοι.

Μεγαλοφώνως ἐκ βοῶν. τῶν Προφητῶν ὁ χορὸς ἐκήρυττε. τὸ φρικτὸν τοῦ τόκου σου μυστήριον, ὅτι μόνη ἔχεις τὸν Κύριον, ἐν τῇ μήτρᾳ τῇ σῇ, καὶ μετὰ τόκον σε πάλιν σωτηρήσας, Παρθένον, ὡς πρὸ τοῦ τόκου διεφύλαξε.

Τίς ἐξισχύσει σου ἁγνή. τὸ ὑπὲρ νοῦν ἄφραστον μυστήριον, τῶν ἀνθρώπων. ἐξειπεῖν πανάχραντε. σὺ γὰρ μόνη πάντων ὑπέρτατος φωτοφόρε θεία σκηνὴ, λαμπὰς, καὶ θρόνε Θεοῦ ὤφθης. ἐξ ἧς ἡμῖν ἔλαμψεν ὁ φυτουργὸς τῆς ζωῆς.

Θεοπαρόχους δωρεὰς. ὡς συμπαθὴς καὶ φιλάγαθος οὖσα, τοῖς βροτοῖς ἐποχετεύεις πάντοτε, Θεοτόκε Μήτηρ ἀνύμφευτε. καὶ λυτρῶσαι σαῖς προσευχαῖς πάντας κολάσεως, διὸ μὴ παρίδῃς. τοὺς σκέπῃ τῇ κραταιᾷ σου καταφεύγοντας.

Δόξα.

Μυσταγωγούμενος τὴν σὴν. θεοπτικῶς ὁ Μωϋσῆς εἰκόνα, προεώρα, βάτον ἀκατάφλεκτον, τῷ πυρὶ Παρθένε πανάμωμε. ἐν σοὶ γὰρ ὁ πλαστουργὸς οἰκῶν, οὐκ ἔφλεξε σε τὴν ἀνωτέραν. ἁπάντων τῶν ποιημάτων Θεονύμφευτε.

Καὶ νῦν.

Λελυτρωμένοι διὰ σοῦ. τῆς μητρικῆς λύπης Θεοκυῆτορ. θυμηδίας ἔμπλεοι γεγόναμεν, εὐφροσύνην πᾶσι κυήσασα. καὶ παγκόσμιον χαρμονὴν, διὸ πανύμνητε τοὺς σοὺς ὑμνολόγους. κινδύνων ταῖς σαῖς πρεσβείαις διαφύλαξον.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Σοὶ προσπίπτω ἄχραντε, Θεοτόκε ἀγαθὴ, ταῖς σαῖς πρεσβείαις αἴτησαι. τὸν πάσης ἀγαθότητος χορηγόν. Υἱόν σου καὶ Κύριον. τοῦ ῥυσθῆναι τὸν Κόσμον ἀπὸ πάσης ὀργῆς.

Εἰς βάθη περίκειμαι, καταιγίδος χαλεπῆς, θαλάσσης κυμαινούσης με. ἐξ ἀμέτρων πταισμάτων μου καὶ δεινῶν. τὴν ζάλην κατεύνασον. καὶ γαλήνην παράσχου τῇ καρδίᾳ μου.

Σὺ τὸ παραμύθιον, καὶ προσφύγιον ἁγνὴ, τῶν οἰκετῶν σου πέφυκας. ἀδιάλειπτον ποίου τὴν πρὸς Θεὸν. ἱκέσιον δέησιν. τῶν ἐν πίστει καὶ πόθῳ ἐξαιτούντων σε.

Προβάτοις με σύνταξον, δεξιοῖς ἐν τῇ φρικτῇ, καὶ φοβερᾷ ἐλεύσει σου. τῶν ἐκλεκτῶν προβάτων σου προσευχαῖς. καὶ θείων Κηρύκων σου. ὁ τυθεὶς ὑπὲρ πάντων ἀμνὸς ἄκακος.

Δόξα.

Χορὸς ἱκετεύει σε, Ἀσωμάτων λειτουργῶν, Υἱὲ Θεοῦ προάναρχε. ἐκδυσωπεῖ σε δῆμος τῶν Μαθητῶν. διὰ τῆς Τεκούσης σε. τῷ λαῷ σου παράσχου τὰ ἐλέη σου.

Καὶ νῦν.

Σύ μου ἡ ἀντίληψις, σύ μου σκέπη κραταιὰ, καταφυγὴ καὶ στήριγμα. σύ μου τὸ ἀγαλλίαμα ἀγαθή. σύ μου ἡ βοήθεια. ἐξ ἐχθρῶν ἀοράτων ῥυομένη με.

Κοντά-

Κοντάκια ἦχος πλ. β'. Ἐλπὶς τοῦ Κόσμου.

Ἁγία Δέσποινα ἁγνή, τοῦ Θεοῦ ἡμῶν Μήτηρ. ἡ τὸν ἁπάντων ποιητὴν ἀπορρήτως τεκοῦσα. ἱκέτευε σὺν Ἀποστόλοις ἱεροῖς, ἑκάστοτε τὴν ἀγαθότητα αὐτοῦ. παθῶν ἡμᾶς λυτρώσασθαι. καὶ ἄφεσιν ἡμῖν, δοῦναι ἁμαρτημάτων. Δόξα.

Ἡ κραταιὰ τῶν γηγενῶν, προστασία καὶ σκέπη. Θεοκυῆτορ Μαριάμ, ἡ τεκοῦσα ἐν χρόνῳ, τὸν ἄχρονον Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ. ἱκέτευε αὐτὸν ὡς Μήτηρ οὖσα ἐκτενῶς. σὺν Μάρτυσι καὶ Προφήταις, Ὁσίοις καὶ Δικαίοις, σῶσαι τοὺς σὲ ὑμνοῦντας. Καὶ νῦν.

Ἐλπὶς τοῦ Κόσμου ἀγαθή, Θεοτόκε Παρθένε. τὴν σὴν καὶ μόνην κραταιὰν προστασίαν αἰτούμεθα. σπλαγχνίσθητι εἰς ἀπροστάτευτον λαόν, δυσώπησον τὸν ἐλεήμονα Θεόν. ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν, ἐκ πάσης ἀπειλῆς, μόνη εὐλογημένη.

Ὠδὴ ζ'. Οἱ παῖδες ἐν Βαβυλῶνι.

Μὴ παύσῃ Παρθενομῆτορ, ἐκδυσωποῦσα τὸν Κύριον. τοῦ ῥυσθῆναι ἡμᾶς ἐκ κινδύνων, καὶ τῶν θλίψεων ἄχραντε. ἵνα προθύμως ψάλλομεν, ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Φοβεῖ με καὶ συνταράττει, τὰ τῶν πταισμάτων κύματα. ἀλλὰ σὺ ἀγαθὴ Θεοτόκε συμπάθειαν αἴτησαι. ἐν ὥρᾳ τῆς ἐτάσεως, σωτηρίαν βραβεύουσα.

Καὶ τίκτεις καὶ παρθενεύεις, καὶ μετὰ τόκον διέμεινας. ὡς πρὸ τόκου ἁγνὴ Παναγία, μὴ φλεχθεῖσα τὴν μήτραν σου. εὐλογημένη ἄχραντε, προστασία τοῦ γένους ἡμῶν.

Ἡ πάντων Ἁγιωτέρα, τῶν Οὐρανίων Δυνάμεων. Χερουβὶμ Σεραφὶμ ἀνεδείχθης, Θεοτόκε πανύμνητε. ὡς τὸν Χριστὸν κυήσασα, τὸν Σωτῆρα τῆς Κτίσεως. Δόξα.

Ψυχή μου στέναξον καὶ κράξον, τὸν σκοτασμὸν καταλείψασα. τῶν ἀλόγων παθῶν οἴκτειρόν με, Ἰησοῦ παρακλήσεσι. σῶν Μαθητῶν καὶ ῥῦσαί με, τοῦ βορβόρου τῶν ἔργων μου. Καὶ νῦν.

Ὃν παρειστήκεισαν τρόμῳ, τὰ Ἐπουράνια Τάγματα. τοῦτον τίκτεις Ἁγνὴ ἑνωθέντα, τοῖς βροτοῖς ἀγαθότητι. ὃν ἐκτενῶς ἱκέτευε, οἰκτειρῆσαι τοὺς δούλους σου.

Ὠδὴ η'. Ἔκστηθι φρίττων Οὐρανέ.

Σὺ τὸ προσφύγιον ἡμῶν. καὶ ἡ παράκλησις πάντων Δέσποινα ἁγνή. ἰδοὺ γὰρ ὁ τῶν ὅλων Κύριος, τεχθεὶς ἐκ μήτρας τῆς σῆς. Παρθένον σε τηρεῖ μετὰ τόκον. ὃν πάντες εὐλογοῦμεν, χείλεσιν ἀναξίοις. καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὢ ποία γλῶσσα ἱκανή. τὰ μεγαλεῖά σου διηγήσασθαι ἁγνή. ἐν σοὶ γὰρ πᾶσα ἠλευθέρωται, τῶν γηγενῶν ἡ πληθύς. ἐκ πάσης καταδίκης ἀρχαίας. καὶ σοὶ βοῶσα ψάλλει, ἐξυφαίνουσα ὕμνους. καὶ ὑπερυψοῦσα εἰς πάντας τοὺς αἰῶνας.

Ἵλεων αἴτησαι ἡμῖν. καὶ εὐδιάλλακτον τὸν Υἱόν σου καὶ Θεόν. γενέσθαι νῦν ἡμῖν

τοῖς δούλοις σου, καὶ σωτηρῆσαι ἡμᾶς. ἐκ πάσης προσβολῆς ἐναντίας. καὶ τὸ τῆς Ἄγαρ θράσος καταβαλεῖν ἐν τάχει. ἵνα σὲ ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Τὰ πεπραγμένα μοι δεινά. ὅταν λογίσωμαι, καὶ τὸ βῆμα τὸ φρικτόν. Παρθένε δειλιῶ καὶ δέδοικα, ἀλλ᾿ ὡς φιλάγαθος σὺ εὐμένισον, τὸν Κτίστην πρὸ τέλους. σὺ γὰρ ὑπάρχεις πάντων, πεπτωκότων ἡ στάσις. καὶ ἀπηλπισμένων ἐλπὶς καὶ προστασία. Δόξα.

Ὄντως οὐ σάρκινα ὑμῶν. τὰ ὅπλα ὤφθησαν, πρὸς παράταξιν ἐχθρῶν. πολλοῖς γὰρ ὁμιλοῦντες πάθεσι, τὸ θεῖον κήρυγμα, τῷ Κόσμῳ τῇ ὑμῶν καρτερίᾳ. ἐσπείρατε βοῶντες, Ἱερεῖς εὐλογεῖτε. καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Καὶ νῦν.

Φέγγουσί σου ταῖς μαρμαρυγαῖς. τοὺς σὲ δοξάζοντας, Θεοτόκον ἀληθῆ. Μαρία φωταυγεῖς ἀπέργασαι, Θεογεννῆτορ ἁγνή. φωτὸς γὰρ σκηνὴ ὤφθης Παρθένε. τοῖς πίστει σοι βοῶσι, χαῖρε εὐλογημένη. καὶ δεδοξασμένη, εἰς πάντας τοὺς αἰῶνας. Ὠδὴ θ΄. Μὴ ἐποδύρου μου Μῆτερ.

ΜΗ ἐπιλάθῃ Παρθένε, ἀπειρόγαμε νύμφη. τῶν οἰκετῶν προσεδρευόντων σοι ἐν τῷ Ναῷ. σὺ γὰρ μόνη πέλεις, Χριστιανῶν ἡ ἐλπίς. καὶ ὀχύρωμα πάντων προσφυγόντων σοι ἁγνή. τὰς ἡμῶν ἱκεσίας, Δέσποινα πλήρωσον.

Χαῖρε τὸ ἄρρηκτον τεῖχος, χαῖρε σκέπη τοῦ Κόσμου. χαῖρε Ναὲ χαῖρε λαμπὰς, καὶ θρόνε τοῦ Θεοῦ. χαῖρε πάντων χαρὰ καὶ ἡ βοήθεια. κατ᾿ ἐχθρῶν ἀοράτων ὑπάρχουσα ἁγνή. σωτηρίας τε ὅπλον ἀκαταμάχητον.

Σὺ τῶν Ἀγγέλων ἡ δόξα, Προφητῶν ἡ διόπτρα. Πατριαρχῶν καὶ Ἀποστόλων καύχημα φαιδρόν. σὺ Μαρτύρων Χριστοῦ τὸ ἐγκαλλώπισμα Μοναστῶν καὶ Δικαίων, ἀγλάϊσμα τερπνόν. καὶ τοῦ σύμπαντος Κόσμου ἡ ἀνακαίνησις.

Σὲ προστασίαν καὶ σκέπην, καὶ ἐλπίδα καὶ τεῖχος. καταφυγὴν καὶ ἱλασμὸν, καὶ λύσιν τῶν δεινῶν. εὑρηκότες ἁγνὴ διασωζόμεθα. ἐκ παντοίων κινδύνων, καὶ νόσων καὶ παθῶν. καὶ ἀπαύστως ὑμνοῦμεν τὴν δυναστείαν σου. Δόξα.

Ἡλιακῶν λαμπηδόνων, πλειοτέρως ἐκλάμπει. τῶν Ἀποστόλων ἡ σεπτὴ, καὶ θεία διδαχή. καὶ ψυχὰς εὐσεβῶν φωτίζει πάντοτε. καὶ διώκει τὸ σκότος, παθῶν καὶ πειρασμῶν. καὶ δαιμόνων σκεδάζει ζόφον βαθύτατον. Καὶ νῦν.

Χαρᾶς ἡμῖν αἰωνίου, καὶ ζωῆς ἀνεδείχθης. ὑπερφυῶς Θεογεννῆτορ πρόξενος ἁγνή. τὸν Σωτῆρα πάντων κυοφορήσασα. τὸν τῆς γῆς ἐκ προσώπου πᾶν δάκρυον σαφῶς. ἀφελόντα καὶ πᾶσι χαρὰν βραβεύσαντα.

Καὶ τὰ παρόντα Προσόμοια. Ἦχος ὁ αὐτός. Ἡ ἀπεγνωσμένη.

ΟΙ ἀπεγνωσμένοι τῇ ἁμαρτίᾳ. καὶ συμπεφυρμένοι τῇ διανοίᾳ. προσπίπτωμεν Δέσποινα, τῇ σῇ φιλανθρωπίᾳ. πρόσχες τὸν θρῆνον τῆς καρδίας, καὶ κλαυθμὸν τῶν ὀμμάτων. δέξαι τὰς κλίσεις τῶν γονάτων, καὶ χειρῶν τὰς ἐκτάσεις. ἐλέησον ὡς ἐλεήμονα τέξασα Θεὸν. Θεοκυῆτορ πανάμωμε.

Ὕμνους τῶν χειλέων ἡμῶν μὴ βδελύξῃ. στεναγμοὺς καρδίας μὴ ἀθετήσῃς. μηδὲ ἀ-

ποῤῥίψῃς με, ἀπὸ τοῦ σοῦ προσώπου· ποῦ γὰρ πορεύσομαι ἐκτὸς σοῦ, σωτηρίαν εὑρέσθαι, τίς δὲ πυρὸς τοῦ αἰωνίου, ἀφαρπάσῃ με πλὴν σου. οὐ γὰρ πέφυκε τῆς σῆς μητρῴας, πρὸς τὸν Υἱόν σου ὑπερτέρα, βοήθεια μοι. Θεοχαρίτωτε Δέσποινα.

Θρήνησον ψυχή μου πρὸ τῆς ἐξόδου. πρόσπεσον τῷ Κτίστῃ ἐν μετανοίᾳ. δάκρυα προσάγουσα ἐξ ὅλης τῆς καρδίας. κράζον Χριστῷ ἐν κατανύξει, ἡμάρτηκά σοι Λόγε. δέξαι με πολλὰ ἡμαρτηκότα, μή με ἀποβδελύξῃ. μὴ παρόψῃ με δικαιοκρίτα, μηδὲ εἰς πῦρ με ἀποπέμψῃς μακρόθυμε. διὰ τὸ μέγα σου ἔλεος.

Ὅλος ἐν κακίᾳ κατεγνωσμένος. ὅλος ἀπογνώσει βεβυθισμένος. αὐτὸς πονηρότατος, καὶ ζοφερὸς ὑπάρχω. ὅλος κατεστιγμένος ὅλος, ἐξ ἡδονῶν ἀτόπων. ὅλος δεινῶς κατεφθαρμένος καὶ κατηχρειωμένος. εἰς τὸ πέλαγος τῶν οἰκτιρμῶν σου, προσπεφευγότα, μὴ βδελύξῃ φιλάνθρωπε. διὰ τὸ μέγα σου ἔλεος.

Δόξα.

Τὴν μενεκρωμένην ταῖς ἁμαρτίαις, καὶ διεφθαρμένην ταῖς πλημμελείαις, ψυχὴν ἐξανάστησον τὴν ἐμὴν Θεοτόκε. σὺ γὰρ τῷ νεύματι καὶ μόνῳ, τοὺς νεκροὺς ἀνιστῶντα. Λόγον Θεοῦ σεσαρκωμένον, ἀγκάλαις ἐπιφέρεις. ὃν δυσώπησον διατηρῆσαι, καὶ διασῶσαι τοὺς ὑμνοῦντάς σε ἄχραντε. διὰ τὸ μέγα σου ἔλεος.

Καὶ νῦν.

Τῆς φιλανθρωπίας σου τὰ πελάγη. καὶ τῆς εὐσπλαγχνίας σου τὰς ἀβύσσους. καὶ τῆς ἀγαθότητος, οἰκτιρμούς σου τοὺς ἀπείρους. δεῖξον πανάχραντε Παρθένε, ἐπ' ἐμοὶ τῷ ἀθλίῳ. στῆσον ὁρμὴν τῆς ἁμαρτίας, σωφροσύνην διδοῦσα. καὶ συντήρησον κεκαθαρμένον, σὺν τῇ ψυχῇ καὶ τῷ σώματι. Θεοκυῆτορ πανάμωμε.

Τὸ Ἄξιόν ἐστιν. Τὸ Τρισάγιον, καὶ τὰ λοιπά. Εἶθ' οὕτως τὰ παρόντα

Τροπάρια. Ἦχος πλ. β'.

ἘΛέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες. ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος. καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου. πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν. ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. σὺ γὰρ εἶ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Τὸ Κύριε ἐλέησον, μ'. Ὁ ἐν παντὶ καιρῷ.

Καὶ καθεξῆς αἱ παροῦσαι Εὐχαὶ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον. Εὐχὴ, α'.

ἘΠεὶ σὲ προστάτιν, καὶ μεσίτιν πρὸς τὸν ἐκ σοῦ τεχθέντα Θεόν, τὸ ἀνθρώπινον γένος εὐμοίρησεν. καὶ τῆς σῆς ἀεὶ προστασίας ἐξήρτηται. καὶ σὲ μόνην ἔχει καταφυγὴν καὶ ἀντίληψιν. ὡς παῤῥησίαν ἔχουσαν πρὸς αὐτόν. ἰδοὺ κἀγώ σοι προσέρχομαι ζεούσῃ ψυχῇ, μὴ τολμῶν μετὰ παῤῥησίας τῷ σῷ Υἱῷ προσελ-

θεῖν.

θεῖν. ἀλλὰ διὰ τῆς σῆς πρὸς αὐτὸν μεσιτείας, σωτηρίας τυχεῖν ἱκετεύω σε, Μὴ οὖν παρίδῃς με Δέσποινα, μηδὲ ἀπώσῃ τὸν δοῦλόν σου. τὴν ἐλπίδα μου πᾶσαν μετὰ Θεὸν εἰς σὲ ἀνέθεμην. μὴ βδελύξῃς με τὸν ἄσωτον, μηδὲ παραβλέψῃς τὸν παντελῶς κινδυνεύοντα. καὶ μεγίσταις ὀδύναις ἐξεταζόμενον. ἀλλ᾽ ὡς συμπαθὴς καὶ τοῦ ἐλεήμονος Θεοῦ Μήτηρ, τὸν σὸν οἰκέτην ἐλέησον. καὶ τοῦ κατεγνωσμένου με συνειδότος ἀπάλλαξον. καὶ τὸν κλύδωνα τῶν πονηρῶν λογισμῶν καταπράϋνον. καὶ τῶν ἡδονῶν τὴν κάμινον κατάσβεσον. καὶ τὴν φλόγα τῆς σαρκὸς κατακοίμησον. καὶ τὸν πρὸς τὸν Υἱόν σου καὶ Θεὸν πόθον μου ἄναψον. καὶ πάσας τὰς αἰσθήσεις ἀσφάλισαι, μηδὲ μίαν εἴσοδον ταῖς ἀτόποις ἐπιθυμίαις παρέχουσα. καιρὸν μετανοίας δοθῆναί μοι ἱκέτευε. μὴ ἄκαρπόν με ἡ τοῦ θανάτου ἐκκόψῃ δρεπάνη. καὶ τῷ πυρὶ ὡς ἄκαρπος ἐκθήσομαι. τῆς ψυχῆς μου τὴν λαμπάδα ἐσβεσμένην ἐπάναψον. τὸν ζόφον τῶν ἀνομιῶν μου διασκέδασον. καὶ τὴν ἐκ τῶν ὀρέξεων ὁμίχλην τῇ σῇ πρεσβείᾳ ἀπέλασον. πολλὰ γὰρ ἰσχύει δέησις μητρικὴ πρὸς υἱὸν εὐδιάλλακτον. δός μοι φῶς μετανοίας, καὶ πρὸς ἡμέραν κατανύξεως χειραγώγησον. ἀξίωσόν με κατὰ τὸ εὐάρεστον τοῦ φιλανθρώπου Θεοῦ ἀεὶ πολιτεύεσθαι, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. καὶ ἕως εἰμὶ ἐν τῷ πολυωδύνῳ τούτῳ βίῳ φρούρει, σκέπε, διαφύλαττε. καὶ πλέοντι σύμπλευσον, ὁδοιποροῦντι συνόδευσον. ἐγρηγοροῦσα σωτήρησον, καθεύδοντα σκέπασον. καὶ πάσας τὰς ὁδούς μου κατεύθυνον. ἡνίκα δὲ μέλλω τοῦ σώματος ἐκδημεῖν, παράστηθί μοι φιλάγαθε Δέσποινα, καὶ τὴν ἀφόρητον ὀδύνην ἐκείνην ἐλάφρυνον. τὸν πόνον μου κούφισον. τὴν στενοχωρίαν μου παραμύθησον. καὶ χειραγώγησον τὴν ἐμὴν ἀθλίαν ψυχὴν πρὸς τὰς αἰωνίους μονάς. μὴ ζοφερὰ δύναμις συναντήσῃ μοι, καὶ εἰς ᾅδου βυθὸν κατασπάσῃ με. ἵλεον ἴδοιμι τὸν Κριτὴν καὶ εὐμενῆ μοι προβλέποντα. ῥυσθείην τῆς αἰωνίου φλογός, διὰ σοῦ Θεονύμφευτε. καὶ τῆς τρυφῆς τοῦ Παραδείσου καταπολαύσαιμι. τῆς Βασιλείας τῶν Οὐρανῶν ἐπιτύχοιμι. ἵνα σὲ τὴν μόνην τοῦ ἀνθρωπίνου γένους γεγονυῖαν ἀντίληψιν, καὶ τὸ τῆς Προμήτορος ἐπανορθώσασαν ἥττημα. τὴν τῶν ἁμαρτωλῶν προστασίαν ὑπάρχουσαν. τῶν ἀθυμούντων παραμυθίαν τυγχάνουσαν. τῶν θλιβομένων ἀνάψυχην χρηματίζουσαν, μεγαλύνω καὶ μακαρίζω διὰ παντὸς, ὑπὸ σοῦ φυλαττόμενος καὶ σκεπόμενος. ὅτι εὐλογημένη ὑπάρχεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Εὐχὴ β΄. Εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

ΜΕγαλύνων μεγαλύνω σε Ἄχραντε, τὴν τὸ γένος ἡμῶν μεγαλύνασαν. δυσωπῶν δυσωπῶ σε πανύμνητε, τὴν ἀεὶ δυσωποῦσαν τὸν Κύριον, ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν εὐλογῶ προσκυνῶ καὶ δοξάζω σε, ὁ ἀχρεῖος ἀνάξιος δοῦλός σου. ποίαν γὰρ ἱκεσίαν προσάξω σοι, τῇ ἀεὶ ὑπὲρ πάντων ἱκετευούσῃ Χριστιανῶν; ὁ ἐναγὴς καὶ ἐσπιλωμένος καὶ τοῖς ἔργοις καὶ τοῖς νοήμασι τῇ καθαρᾷ καὶ ἀμώμῳ Μητρὶ τοῦ ἀληθινοῦ φωτός; ποίας χεῖρας ἐκτείνω πρὸς τὴν βαστάσασαν χερσὶ τὸν τῶν ὅλων Θεόν; ὅμως κατῃσχυμμένῳ προσώπῳ καὶ εἰς γῆν νεύοντι,

προσπίπτωσι. ἐπειδὲ ἐπ' ἐμὲ τὸν ἁμαρτωλόν. ἱκέτευσον τὸν κοινὸν Δεσπότην καὶ πλάστην τοῦ ἀνθρωπίνου φυράματος. ἐξιλέωσον ὡς Μήτηρ τὸν φιλοικτίρμονα Κύριον. ἐκτεινούσης τὴν χεῖρα. σκεπασάτω με ἡ δεξιά σου. τὸ λοιπὸν τῆς ζωῆς μου ἀνεπιβούλευτον διατήρησον. φώτισόν μου τὸν νοῦν, καὶ τὴν καρδίαν καθάρισον. ἵνα ὑμνῶ καὶ μεγαλύνω σε τὴν θερμὴν προστασίαν μου. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εὐχὴ γ'. Εἰς τὴν Ἁγίαν Δέσποιναν Θεοτόκον.

ἘΓγισάτω ἡ δέησίς μου ἐναντίον σου. εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Ἁγία Παρθένε Μαρία, πάνσεπτε, πολυέπαινε, πανύμνητε. σὺ γὰρ εἶ τὸ ταμεῖον τῆς χάριτος. ὁ νυμφὼν ὁ Οὐράνιος. ὁ ἄφθορος οἶκος τῆς σοφίας. ἡ ἀμόλυντος σκηνὴ τῆς ἀφθαρσίας. ἡ παστὰς, ἐν ᾗ ὁ Λόγος τὴν σάρκα ἐνυμφεύσατο. τὸ δοχεῖον τῆς ὑπὲρ πάντα νοῦν εἰσελεύσεως. τὸ ἐργαστήριον τῆς Θεανδρικῆς ἀνακράσεως. τὸ χωνευτήριον τῆς τοῦ Ἀδὰμ ἀναπλάσεως. ὁ θρόνος τοῦ Βασιλέως τῆς Δόξης. τὸ ἐν σαρκὶ μίμημα τῶν Ἀσωμάτων Χερουβὶμ. ὁ ἐπίγειος Οὐρανὸς τοῦ τῆς Δικαιοσύνης Ἡλίου. ἡ Θεολαμπὴς νεφέλη τοῦ ἀληθινοῦ φωτός. ἡ ἄσπορος ἄρουρα τοῦ ζωηφόρου ἄρτου. ἡ ἀγεώργητος ἄμπελος τοῦ καρποῦ τῆς ζωῆς. ἡ πηγὴ τῆς ἡμῶν σωτηρίας. τὸ βραβεῖον τῆς Οὐρανίου κλήσεως. τὸ ἁγνότατον ἄνθος τῆς ἀνθρωπίνης φύσεως. Περὶ σοῦ Προφῆται ἐκήρυξαν. Ἄγγελοι ἐμήνυσαν. Πατέρες προήγγειλαν. Θεοφόροι προδιετύπωσαν. Σὺ γὰρ εἶ ὁ Παράδεισος τῆς τρυφῆς, ἡ ῥίζα τοῦ ξύλου τῆς ζωῆς. ἡ λυχνία τοῦ ἀδύτου φωτός. τὸ ἱλαστήριον τῆς ἀπολυτρώσεως. ἡ κιβωτὸς τῆς Διαθήκης. αἱ πλάκες τοῦ θείου Λόγου. ἡ στάμνος ἡ μαννοδόχος. ἡ αὐτόβλαστος ῥάβδος. τὸ χρυσοῦν θυμιατήριον. σὺ εἶ ὁ πόκος ὁ δεξάμενος τὴν Οὐράνιον δρόσον. τὸ ἐγκολπωσάμενον σκεῦος τὴν λαμπάδα τῆς Θεότητος. τὸ ὄρος τὸ ἀχειρότμητον. ἡ πύλη τοῦ Βασιλέως τῆς Δόξης. τῶν Ἀγγέλων τὸ θαῦμα. τῶν ὁσίων ἡ χαρά. τῶν ἁμαρτωλῶν ἡ σωτηρία. τῶν θλιβομένων ἡ παραμυθία. Ὑμνοῦμέν σου τὴν παντοδύναμον χάριν, καὶ δοξάζομεν ἀεὶ τὴν κεχαριτωμένην σου δύναμιν. τῶν κλυδωνιζομένων γαλήνη. τῶν πολεμουμένων ἡ εἰρήνη. τῶν διωκομένων καταφυγή. τῶν ἐν ἀνάγκαις προστασία. τῶν νοσούντων ἰατρεία. τῶν πλανωμένων ὁδηγία. τῶν ἐν θλίψεσι παρηγορία. τῶν ἐν πειρασμοῖς ἀνάπαυσις. τῶν ἐν ἀγαθοῖς διατήρησις. Δεῖξον ἐν ἐμοὶ τῷ ἀθλίῳ, ὅσην ἔλαβες χάριν παρὰ Θεοῦ τοῦ Υἱοῦ σου, καὶ Κυρίου τῶν ὅλων. ἡ ἀεννάως ὑπὲρ ἁμαρτωλῶν ἱκετεύουσα. καὶ εἰς αὐτὸν διὰ σοῦ πεποιθότων ὑπερασπίζουσα. τὴν γὰρ πᾶσαν μου ἐλπίδα εἰς σὲ ἀνατίθημι Θεοτόκε Παρθένε. φύλαξόν με ὑπὸ τὴν σκέπην σου, ἵνα εὐχαρίστως σε δοξολογῶ εἰς τοὺς αἰῶνας, ἀμήν.

Πένθος, τῇ Τετάρτῃ Ἑσπέρας.

ὉΠόνος λέγειν πρὸς Θεὸν ἀναγκάζει με, ἡ δὲ ἀναξιότης μου σιωπᾶν ἐπιτρέπει. πικροὶ αἱ ὀδύναι φθέγξασθαί με βιάζονται, αἱ δὲ ἁμαρτίαι μου σιγὴν ἔχειν κατεπείγουσιν. ἡ ψυχή μου ἀλγεῖ, καὶ οἱ ὀφθαλμοί μου ἐπιθυμοῦσι δάκρυα. ἥμαρτες ψυχή; μετανόει. ἰδοὺ γὰρ αἱ ἡμέραι ἡμῶν παράγουσιν ὡς σκιά. φοβεροὺς καὶ φρικώδεις.

κώδεις τόπους μέλλεις διέρχεσθαι ψυχὴ μετ' οὐ πολύ. μὴ ὑπέρθου ἡμέρας ἐπιστρέφειν πρὸς Κύριον. κατανύγηθι ψυχή μου, κατανύγηθι ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς οἷς εἴληφας παρὰ Θεοῦ. καὶ οὐκ ἐφύλαξας κατανύγηθι ἐπὶ πᾶσιν οἷς ἔπραξας, καὶ ὁ Θεὸς ἐμακροθύμησεν ἐπὶ σοί, ἵνα μὴ τῷ ἐξωτέρῳ σκότει παραδοθῇς, ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ. οἴμοι τῷ ἁμαρτωλῷ, ὅτι ἐρρύπωσα καὶ ἀεὶ ῥυπῶ τὸ καθαρὸν τῆς καρδίας μου, διὰ τὴν ἐμὴν χαυνότητα. ἡ ἀμέλειά μου, καὶ ἡ ὀκνηρία μου τὴν παρρησίαν τῆς καρδίας μου κατήχωσε. καὶ ἡ πονηρά μου ἐπιθυμία, ὡς δεσπότης δούλῳ ἐπιτάσσει μοι. κἀγὼ εὐθὺς ὁ νήπιος μετὰ φόβου, οὕτως ὑπακούω. ἀποπλανᾷ με κἀγὼ ἥδομαι. οἴμοι Κύριε, ὅτι ἡ χάρις σου πάντοτε ἕλκει με εἰς τὴν ζωήν, ἐγὼ δὲ μᾶλλον τὸν θάνατον προτιμῶ. ἰσότιμον Ἀγγέλων σπουδάζεις με γενέσθαι. ἐγὼ δὲ τῇ μοχθηρίᾳ μου ἐμαυτὸν σμικρύνω. ἐπλήθυναν αἱ ἁμαρτίαι μου Κύριε, καὶ ἀεὶ πληθύνονται, καὶ οὐκ ἔστι πέρας αὐτῶν. καὶ τίς περὶ ἐμοῦ πενθήσῃ, ἢ παρακαλέσῃ; αὐτὸς μόνος Σωτήρ μου, τῇ ἰδίᾳ ἀγαθότητι παρακαλούμενος, ἐπίβλεψον ἐν ἐλέει ἐπ' ἐμὲ τὸν ἀπεγνωσμένον. πῶς ἱκετεύσω σε Δέσποτα, ὅτι τὸ στόμα μου ἐπλήρωσα λοιδορίας; ἢ πῶς ὑμνήσω σε, ὅτι ἡ συνείδησίς μου ἐρρύπωται; ἢ πῶς ἀγαπήσω σε, ὅτι τοῖς πάθεσι πεπλήρωμαι, ἢ πῶς οἰκήσει ἐν ἐμοὶ ἡ ἀλήθεια, ὅτι τῷ ψεύδει ἐμαυτὸν ἐξύβρισα, ἢ πῶς ἐπικαλέσωμαί σε, ὅτι τὰς ἐντολάς σου οὐκ ἐφύλαξα, μετὰ γὰρ τοῦ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας ἐγενόμην πλήκτης, συγκρουστής. ἐπὶ προχειρήσεων συντελέσι μάχιμος. ἐπὶ γείτοσι φθονερὸς, καὶ σκληρός. κακαῖς ἐννοίαις ἐντρεφόμενος. ἀνελεήμων εἰς πένητας. ὀργίλος, ἀντίλογος, φιλόνικος, ὀκνηρὸς, καὶ θυμώδης, καὶ ἱματίων καλλωπιστής. ἔτι δὲ καὶ νῦν περισσοτέρως εἰμὶ ἐν ῥυπαροῖς λογισμοῖς. ἐν παροξυσμοῖς. ἐν φιλαυτίᾳ, ἐν γαστριμαργίᾳ, ἐν φιληδονίᾳ, ἐν κενοδοξίᾳ, ἐν ὑπερηφανίᾳ, ἐν κακοθελίᾳ, ἐν καταλαλιᾷ, ἐν λαθροφαγίᾳ, ἐν ἀνηκοΐᾳ, ἐν φιλονικίᾳ, ἐν ὀνειδισμοῖς. μηδὲν εἶναι τί ἐμαυτὸν λογίζομαι. ψευδόμενος ἀεὶ ἐπὶ τοὺς ψεύσας ἄχθομαι. ῥυπῶν τὸν ναὸν τοῦ Θεοῦ, ἐν πορνικοῖς λογισμοῖς, κατὰ τῶν πόρνων ἀποφαίνομαι. κρίνω τοὺς πταίοντας, αὐτὸς ὢν πλήρης πταισμάτων. κρίνω τοὺς λοιδοροῦντας καὶ τοὺς κλέπτας, αὐτὸς ὢν κλέπτης καὶ λοίδορος. φαιδρὸς προέρχομαι, ὅλος ὢν ἀκάθαρτος. ἐπ' ἐκκλησίαις καὶ τραπέζαις θέλω ἵστασθαι, ὀφείλων ἐμπτύεσθαι. ὁρῶ Μοναχοὺς καὶ σεμνύνομαι καὶ ὁρῶ Μοναχὰς καὶ ἀλαζονεύομαι. γυναιξὶ θέλω ὀφθῆναι χαρίεις, καὶ πλουσίοις εὐσεβής, καὶ ξένος ἐπαιρόμενος. καὶ οἰκείοις συνετὸς καὶ φρόνιμος, καὶ φρονίμοις τελειότερος. πρὸς δὲ τοὺς εὐσεβεῖς, ὡς σοφώτερος γίνομαι. ἀφρόνων δὲ ὡς κτηνῶν καταφρονῶ. ἐὰν ὑβρισθῶ, ἀμύνομαι. ἐὰν τιμηθῶ, βδελύττομαι. καὶ ἐὰν κατὰ τὸ δίκαιον ἀπαιτηθῶ, δικάζομαι. καὶ τοὺς τ' ἀληθῆ λέγοντας, ὡς ἐχθροὺς λογίζομαι. ἐλεγχόμενος ὀργίζομαι. καὶ μὴ κολακευόμενος ἀηδίζομαι. οὐ θέλω τιμῆσαι τὸν δίκαιον, καὶ ἀνάξιος ὢν τιμὰς ἀπαιτῶ. οὐ θέλω κάμνειν, καὶ ἐὰν μή τις λειτουργῇ μοι, ὀργίζομαι αὐτῷ. οὐ θέλω συνελθεῖν

τοῖς ἐργαζομένοις, καὶ ἐὰν μή τις ὑπηρετῇ μοι, κακολογῶ αὐτὸν ὡς ὑπερήφανον. ἐν ἀνάγκαις τὸν ἀδελφὸν ἀγνοῶ, καὶ ὑγιαίνειν προτρέπομαι αὐτῷ. ἀσθενοῦντα μισῶ, καὶ ἀσθενῶν ἐγὼ φιλεῖσθαι θέλω. μειζόνων περιφρονῶ, καὶ ἐλαττόνων ὑπερορῶ. ἐὰν κρατήσω ἐμαυτὸν ἀπὸ τῆς ἐπιθυμίας τῆς ἀλόγου, κενοδοξῶ. ἐὰν κατορθώσω ἀγρυπνίαν, τῇ ἀνυποταξίᾳ καὶ τῇ ἀντιλογίᾳ παγιδεύομαι. ἐὰν ἐγκρατεύσω ἐμαυτὸν ἀπὸ βρωμάτων, τῷ τύφῳ καταποντίζομαι. ἐὰν τῇ προσευχῇ προσκαρτερήσω, τῷ θυμῷ καὶ τῇ ὀργῇ ἥττομαι. ἐὰν εἰς ἀρετήν τινα προκόψω. ἐπαίρομαι κατὰ τῶν ἀδελφῶν μου. πάντα τὰ ἡδέα τοῦ Κόσμου ὑπερεῖδον, καὶ τῆς ἐπιθυμίας αὐτῶν οὐκ ἀφίσαμαι. καὶ ἐὰν ἴδω θηλείας, φαιδρύνομαι. ἔξωθεν ταπεινοφρονῶ, καὶ τῇ ψυχῇ ὑψιλοφρονῶ. τὸ δοκεῖν εἰμὶ ἀκτήμων, καὶ τῇ διανοίᾳ πολυκτημοσύνην νοσῶ. καὶ τί δεῖ τὸν καιρὸν ἀναλίσκειν; τὸ δοκεῖν γὰρ ἀπεταξάμην, καὶ τῇ ἀληθείᾳ τὰ τοῦ Κόσμου πάλιν φρονῶ. ἐῶ λέγειν, τὰς τῆς Ἐκκλησίας βαναύσους ᾠδάς. τὰς ἐξεπίτηδες βραδύτητας. τὰς ἐν ταῖς συνάξεσι φλυαρίας. τὰς ἐφευρέσεις τῶν λογισμῶν. τὰς ματαίας μνήμας. τὰς ἐν τῇ τραπέζῃ εὐφημίας. τὰς ὑποκρινομένας συντυχίας. τὰς ἀπληστίας τῆς δοσοληψιῶν. τὰς κοινωνίας τῶν ἀλλοτρίων σφαλμάτων. τὰς ὀλεθρίους φιλονικίας. οὗτος ἐστὶν ὁ βίος μου. τοσούτοις κακοῖς ἀνταγωνίζομαι τῇ ἐμῇ σωτηρίᾳ. καὶ ἡ ἀλαζονία μου, καὶ ἡ κενοδοξία μου, οὐ συγχωρεῖ μοι κατανοῆσαι τὰ τραύματά μου, ἵνα ἰαθῶ. ταῦτά μου εἰσὶ τὰ ἀρρωστήματα. εἰς πόσον ὄχλον ἁμαρτιῶν ὁ ἐχθρός με παρατάσσεται. καὶ ἐν τούτοις ἐγὼ ὁ τάλας ἐξεταζόμενος, ἁγιότητος ἐπισπῶμαι δόξαν. ἐν ἁμαρτίαις διατρίβων, ὡς δίκαιος θέλω νομίζεσθαι. ποίαν ταύτην ἐπὶ τούτοις ἔχω ἀπολογίαν; ὅτι ὁ διάβολός μοι ταῦτα ὑπέθετο; ἀλλ᾽ οὐδὲ τῷ Ἀδὰμ ὠφέλησεν ἀπολογουμένῳ τοῦτο. πείθομαι ὅτι ἐκεῖνος ὑπέλαβε τὸν Κάϊν. ἀλλ᾽ οὐδ᾽ αὐτὸς ἐξέφυγε τὴν ἀπόφασιν. καὶ τί ποιήσω, ἐὰν ἐπισκέψηταί με ὁ Κς; εἰ δὲ οὐκ ἔστι μοι οὐδὲ μία ἀπολογία, ὑπὲρ τῆς ἐμῆς ἀμελείας, δειλιῶ, μὴ τυγχάνω κἀγὼ ἐξ ὧν εἶπεν ὁ Παῦλος εἶναι σκεύη ὀργῆς, οὓς ἔχει ὁ διάβολος ὁμοίους τῆς ἐκείνου μερίδος. οὓς διὰ τὴν καταφρόνησιν αὐτῶν. εἰς πάθη ἀτιμίας παρέδωκεν ὁ Θεός. δέομαι οὖν μὴ τοιαύτην ἀπόφασιν καὶ εἰς ἐμὲ ἐξενέγκῃ. Κύριε ἐμοὶ τῷ ἁμαρτωλῷ ἔθου μετάνοιαν. ἐμὲ τὸν ἀνάξιον σῶσαι βουλόμενος, ζώωσον Ζωοδότα. τὴν νεκρωθεῖσάν μου ψυχὴν ταῖς ἁμαρτίαις. ἀπόπλυνον τὴν λιθώδη πώρωσιν τῆς ἀθλίας μου καρδίας. καὶ δώρησαί μοι πηγὴν κατανύξεως, ὁ ἐκ τῆς ζωηρρύτου Πλευρᾶς βλύσας ἡμῖν τὴν ζωήν. τίς οὐ μὴ στενάξῃ, τίς οὐ μὴ πενθήσῃ τὴν ἐμὴν ἀποταγήν; οὕτω ἀληθῶς ἀπεταξάμην. καὶ τῷ τύφῳ κεκράτημαι. οὕτω ἐγευσάμην τῆς ἀσκήσεως καὶ τῇ κενοδοξίᾳ πεπέδημαι. οὕτω τὰ πρόθυρα εἶδον, καὶ τὰ ἔνδον φαντάζομαι. οὕτω εἰς παιδείαν ἀρετῆς ἐδοκιμάσθην, καὶ ἤδη ἐπιπλήττω τὸν ἀδελφόν. οὔπω εἰς ἐπίγνωσιν ἀληθείας κατήντησα, καὶ ἄλλους ἐξ ὑπερηφανίας διδάσκω. Πάντα σοι δέδωκεν ὁ πανάγαθος Θεὸς ὦ ψυχή. γνῶσιν, σύνεσιν, ἐπίγνωσιν, διάκρισιν. γνώριζε τὸ συμφέρον. πῶς σὺ φῶτα νομίζεις παρέχειν τῷ πλησίον, σκοτινὴ οὖσα; γνῶθι σεαυτὴν ἰατρὸς ὦ ψυχή. εἰ δὲ μή, θρήνησον τὴν σὴν τύφλωσιν.

σιν. ἐδὲ μίαν ἔχεις πρόφασιν περὶ σῶν ἀμελειῶν. νῆψον, γρηγόρησον ψυχή. σέναξον. δάκρυσον, καὶ ἀπόνιψον διὰ νηστείας τὴν βαρεῖαν φόρτην τῆς ἁμαρτίας σου. Ὁ Θεὸς ὁ ὕψιστος, ὁ μόνος ἔχων ἐξουσίαν ζωῆς καὶ θανάτου, δώρησαί μοι τῷ ἁμαρτωλῷ ἐν τῇ ὥρᾳ ἐκείνῃ τῆς φρικτῆς σου παρουσίας, τοὺς πολλούς σου οἰκτιρμούς. ὅπως μὴ εὑρεθῶ ἔμπροσθεν τοῦ φοβεροῦ βήματός σου, ὄνειδος καὶ αἰσχύνη μεγάλη, τοῖς θεραπαῖς Ἀγγέλοις σου καὶ Ἀρχαγγέλοις, Προφήταις, Ἀποστόλοις, Πατριάρχαις, Μάρτυσιν, Ἀσκηταῖς, καὶ πᾶσι τοῖς Δικαίοις. ἀλλ' ἐνταῦθα Σωτήρ μου, παίδευσόν με, ἔνθα τὴν ὁδὸν τῆς σωτηρίας ἀπήλασα, ὡς πατὴρ εὔσπλαγχνος καὶ φιλότεκνος. καὶ ἐκεῖ συγχώρησόν μοι ὡς Θεὸς Οὐράνιος, ὁ μόνος ἀναμάρτητος. πᾶσαν ἁμαρτίαν ὁ τάλας διεπραξάμην πάντας ὑπερέβην τῇ ἀσωτείᾳ. ὑπόδικός εἰμι τῇ Κολάσει. καὶ ἐὰν ὁρμήσω μετανοῆσαι, οὐκ ἔχω δάκρυον. οἴμοι, ποίοις ὀφθαλμοῖς θεάσομαι ὁ ἁμαρτωλὸς καὶ ῥάθυμος τὸ φρικτὸν βῆμα ἐκεῖνο, ἐν ᾧ Κύριε καθήσας, τὰ πεπραγμένα μοι ἐλέγξεις. οἶδα σε Κριτὴν φοβερὸν, ἐν Δόξῃ Θεότητος ἐλευσόμενον, πάντα τὰ κρύφια ἐλέγχειν μέλλοντα. πάντα τὸν βίον μου ὁ ἄθλιος, ἀσώτως ἀνήλωσα, διὰ παντὸς τῷ βορβόρῳ τῆς ἡδονῶν κυλιόμενος. πάντα τὰ κρύφιά μου πταίσματα, καὶ τὰ νέφη τῆς ἁμαρτιῶν μου σὺ γινώσκεις μόνος ὁ Κτίστης μου. οὐδεὶς οὕτως ὡς ἐγὼ καταγώγιον ὤφθη τῆς ἁμαρτίας, οὐδεὶς οὕτως, ὡς ἐγὼ, παρόργησε τὴν σὴν ἀγαθότητα, Δέσποτα, ταῖς ὁρμαῖς τῆς κακίας μου ἐπακολουθήσας. ἀλλ' ὡς ὑπάρχων ἀγαθότητος πέλαγος, ἀποξήρανον τὰ πονηρὰ πελάγη τῶν ἐμῶν ἀνομιῶν. καὶ ὡς ὑπάρχεις τοῦ ἐλέους ἄβυσσος, κατάφλεξον τὴν ἄβυσσον τῆς ἐμῶν ἁμαρτιῶν. καὶ μὴ ἀποδώσῃς μοι ἄξια ὧν ἔπραξα. μὴ καταδικάσῃς με ἐν τῇ φλογὶ τῆς γεέννης. ὅτι ἀνυπόστατος ἡ ὀργή σου ἐπὶ τοὺς ἁμαρτωλοὺς ἡμᾶς Κύριε. τίς ὑποστήσεται λοιπὸν τὴν αὐτῆς ἀπειλήν; τὸ πῦρ γὰρ οὐ σβεσθήσεται, καὶ ὁ σκώληξ αὐτῆς οὐ τελευτήσει. φοβοῦ τὴν ἐν σοί ἀπειλὴν ὦ ψυχή. ἀπόθου τὸν βαρὺν ὕπνον τῆς ἀμελείας καὶ τὸν νυσταγμὸν τῆς δεινῆς ῥαθυμίας. ἐγγὺς τὸ τέλος. ἐπὶ θύραις ἡ κρίσις. τί ἄρα συναντήσῃ ἡμᾶς μετὰ τὸ χωρισθῆναι, ψυχή; συνέλθετέ μοι Ὅσιοι καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα ἀγωνισάμενοι, καὶ ἢ ὡς νεκρὸν πενθήσατε, ἢ ὡς ζῶντα καὶ ἡμιθανῆ οἰκτειρήσατε. ἐπεὶ ἐγὼ πλήρης εἰμὶ αἰσχύνης, καὶ οὐκ ἔχω παρρησίαν, διὰ τὰς ἐν γνώσει ἁμαρτίας γινομένας μοι. ἐκχέατε ἐπ' ἐμὲ τὸ ἔλεος ὑμῶν ὡς αἰχμάλωτον, καὶ ὡς εἰς τραυματίαν σεσηπότα. ἐλεήσατέ με ὡς μυσαιτοῦ ἐλεήμονος Θεοῦ καὶ Σωτῆρος ἡμῶν, καὶ δεήθητε αὐτοῦ, ἵνα δωρεὰν ἐπιστρέψῃ με. ὅπως μὴ ἀνάξιος εὑρεθῶ ἐν τῇ ὥρᾳ τῆς αὐτοῦ παρουσίας. καὶ ἀκούσω τὴν φοβερὰν ἐκείνην καὶ πλήρη πένθους ἀπόφασιν. ὕπαγε ἀπ' ἐμοῦ ἐργάτα τῆς ἀνομίας, λέγουσι καὶ οἱ δυσσε. παρακαλῶ οὖν σε τὸ φῶς τὸ ἀληθινὸν. γέννημα τοῦ εὐλογημένου σου Πατρὸς. χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. ὁ καθήμενος ἐν δεξιᾷ τῆς μεγαλωσύνης αὐτοῦ. ἀκατάληπτε Υἱὲ τοῦ Θεοῦ. ἀνεξερεύνητε Χριστέ. καύχημα καὶ χαρὰ τοῖς ποθοῦσί σε. ἀγαλλίαμα καὶ εὐφροσύνη τοῖς ἀγαπῶσί σε. ἡ ζωή μου, τὸ φῶς μου, Χριστέ μου. μὴ ὑπερίδῃς με τὸν ἐξουθενημένον. μὴ ἀπορρίψῃς με τὴν

τὸν ἐβδελυγμένον· μὴ ἐγκαταλίπῃς με τὸν κατακεκρυμμένον. ὅτι σφόδρα τέρπεται ὁ ἐχθρός μου, ὅταν ἐμαυτὸν ἀπογινώσκω, διὰ τὴν ἐπικειμένην μοι τῆς κακίας ἀχλύν. ἐν τούτῳ μόνον χαίρεται, ὅταν δι᾽ ἀπογνώσεως ἴδῃ με αἰχμάλωτον. ἀλλ᾽ αὐτὸς τῇ εὐσπλαγχνίᾳ σου, καταίσχυνον αὐτοῦ τὴν ἐλπίδα, καὶ ἔκσπασόν με τῶν ὀδόντων αὐτοῦ, καὶ τῆς κακοτέχνου γνώμης αὐτοῦ. καὶ ὅλης αὐτοῦ τῆς κατ᾽ ἐμοῦ κινουμένης ἐνεργείας. ὅτι ἐν πολλοῖς παρετάξατό με. Δώρησαί μοι Κύριε φωτισμὸν, τοῦ γνῶναι τὰς μεθοδίας τοῦ διαβόλου, τοῦ ἀντικειμένου καὶ μισοκάλου. ὅτι ἀναρίθμητα βάλλει ἔμπροσθέν μου ὀλισθήματα. σκάνδαλα, βλάβην, πολυκτημοσύνην, μετεωρισμὸν τοῦ αἰῶνος τούτου. ἡδονὴν σαρκικὴν, καὶ πολυχρόνιον τὴν παροῦσαν ζωήν. δειλίαν εἰς τὴν ἄσκησιν, καὶ ὀκνηρίαν εἰς τὰς εὐχάς. καὶ εἰς τὴν ψαλμῳδίαν ὕπνον, καὶ ἀνάπαυσιν σωματικήν. καὶ ὅσον ἐκεῖνος σπουδάζει με ἐπὶ τὴν ἐμὴν ἀπώλειαν, τοσοῦτον ἐγὼ ὁ ἄθλιος ῥαθυμῶ καὶ ἀμελῶ. καὶ ὅσον ἐκεῖνος ἐνεδρεύει, τοσοῦτον ἐγὼ καταφρονῶ. πρόσεχε ψυχὴ, συνειδήσεως ἐπιμελοῦ. μὴ πρόσεχε παντελῶς εἰς ἑτέρων πταίσματα, ἀλλὰ θρήνησον ἀεὶ τὰ σὰ κακά. μὴ πρόσεχε τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου καὶ πλησίον. ἀλλ᾽ εἰς τὴν σὴν δόκον κατανόει συνεχῶς. σπεῦσον, πρόφθασον, διαλλάγηθι Χριστῷ. τῷ διὰ σὲ σταυρωθέντι σαρκί. εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινώμεθα, ὅπου ἡ μεγάλη καὶ ἀκατάπαυστος κατάκρισις. οἰκτείρόν με Κύριε διὰ μόνην τὴν σὴν ἀγαθότητα. πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων σου τῶν Ἁγίων. ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἶθ᾽ οὕτως τὸ Ἄσπιλε ἀμόλυντε. Καὶ Ἀπόλυσις.

Τέλος τῇ Τετάρτῃ Ἑσπέρας.

## ΤΗ͂ ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ ΜΕΤΑ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ.

Κανὼν κατανυκτικὸς εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Ὠδὴ α΄. ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ παιζούσας.

Ὥσπερ ἀμνὸς ἀνηρτήθης ἐπὶ Σταυροῦ. τὸ σὸν Λόγε πρόβατον, ἐκζητῶν τὸ πλανηθέν. καὶ εὑρὼν συνέταξας αὐτὸ ἀπλανέσιν Ἰησοῦ, δόξα τῷ κράτει σου.

Σὺ τὰς παλάμας ἁπλώσας ἐπὶ Σταυροῦ. ἠγκαλίσω Δέσποτα, ἀποθέντας τοὺς βροτοὺς. καὶ τῷ σῷ προσήγαγες Πατρί. ὡς Υἱὸς ἀγαπητὸς καὶ ὁμοούσιος.

Ἀναρτηθέντα ὡς εἶδεν ἐπὶ Σταυροῦ. τὸν Υἱὸν καὶ Κύριον, ἡ Παρθένος καὶ ἁγνὴ τρυχομένη ἔκλαιε πικρῶς. μεθ᾽ ἑτέρων γυναικῶν, πικρῶς δακρύουσα.

Βλέπω σε φίλτατον τέκνον καὶ ποθεινὸν. ἐν Σταυρῷ κρεμάμενον, καὶ τιτρώσκομαι πικρῶς.

πικρῶς. τὴν καρδίαν ἔφη ἡ ἁγνή. ἀλλὰ δός μοι ἀγαθὲ, λόγον τῇ δούλῃ σου.

Γνώμῃ ἰδίᾳ Υἱέ μου καὶ ποιητά. ἡ Παρθένος ἔλεγε, παρεστῶσα τῷ Σταυρῷ. σὺν ἠγαπημένῳ Μαθητῇ, πῶς ὑποφέρεις τὸν δεινὸν. ἐν ξύλῳ θάνατον.

Νῦν τὴν ἐμὴν προσδοκίαν καὶ τὴν χαρὰν. καὶ τὴν ἀγαλλίασιν, τὸν Υἱόν μου καὶ Θεὸν. ἐστερήθην οἴμοι καὶ ἀλγῶ. τὴν καρδίαν ἡ Ἁγνὴ, κλαίουσα ἔλεγεν.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Σταυρὸς ἐπήγνυτο ἐν γῇ, καὶ κατέπιπτε πλάνη, καὶ ἐσείετο Κτίσις: καὶ καρδίαις ἠλεγμὸν. σεσαλευμέναι ἐχθροῦ, ἐπηρείαις, πίστει ὑποδέχονται.

Μανεὶς ὁ ἄνομος λαὸς, σὲ τὸν δίκαιον μόνον, κατακρίνει θανάτῳ. δικαιοῦντα τοὺς βροτούς. καὶ ἐξ ἀδίκου χειρὸς, τοῦ δολίου, πάντας ἐξαιρούμενος.

Διὰ τὸν φόβον τῶν δεινῶν, ἰουδαίων ὁ Πέτρος, ἀπεκρύβη καὶ πάντες. ἀπέφυγον οἱ γνωστοί. καταλιπόντες Χριστὸν, ἡ παρθένος, ἔλεγε δακρύουσα.

Ἐπὶ τῷ ξένῳ τοκετῷ, καὶ φρικτῷ σου Υἱέ μου, ὑπὲρ πάσας μητέρας. ἐμεγαλύνθην ἐγώ. ἀλλὰ ὁρῶσά σε νῦν, ἐπὶ ξύλου, φλέγονται τὰ σπλάγχνα μου.

Ζητῶ τὸ σπλάγχνον τὸ ἐμὸν, ἐν ἀγκάλαις ὡς πρώην, ὥσπερ βρέφος κατεῖχον. ἀπὸ τοῦ ξύλου λαβεῖν. ἐφθέγγετο ἡ Ἁγνὴ, ἀλλ᾽ οὐδείς μοι, σὲ Χριστὲ νῦν δίδωσιν.

Ἰδοὺ τὸ φῶς μου τὸ γλυκὺ, ἡ ἐλπὶς ἡ ζωή μου, ὁ Υἱὸς καὶ Θεός μου. ἐσβέσθη ἐν τῷ Σταυρῷ. καὶ φλέγομαι δι᾽ αὐτὴν ἡ Παρθένος, ἔλεγε δακρύουσα.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ταθέντα ξύλῳ σε, ὁρῶν ὁ Ἥλιος. ἐμελαίνετο φόβῳ καὶ σκοτασμοῦ, πλάνης ἀπελύετο. Ἥλιε ἄδυτε Χριστὲ, Κτίσις πᾶσα ἀνυμνοῦσά σε.

Ἐδέσμει χεῖράς σου, λαὸς παράνομος. καὶ δεσμοῦνται ἀλύτων Σῶτερ δεσμῶν, πάντες ἀπελύοντο. καὶ ἐδεσμεῖτο ὁ ἐχθρὸς, καὶ ἡ πλάνη διελύετο.

Ἥλιε ἄδυτε, Υἱὲ προάναρχε. ποιητὰ τῶν ἁπάντων δημιουργὲ, τῶν κτισμάτων Κύριε. πῶς φέρεις πάθος ἐν Σταυρῷ, ἡ Ἁγνὴ κλαίουσα ἔλεγε.

Θρηνοῦσα ἔλεγεν, ἡ ἀπειρόγαμος. τῷ εὐσχήμονι σπεῦσον ὦ Ἰωσὴφ, τῷ Πιλάτῳ πρόσελθε. καὶ ἐξαιτήσου καθελεῖν, ἐκ τοῦ ξύλου τὸν Διδάσκαλον.

Ἰδὼν τὴν ἄχραντον, πικρῶς δακρύουσαν. Ἰωσὴφ ἐταράχθη καὶ θρηνῳδῶν, τῷ Πιλάτῳ ἔλεγε. δός μοι βοῶν ὀδυνηρῶς, νῦν τὸ σῶμα τοῦ Κυρίου μου.

Κατεστιγμένον σε, ὁρῶ καὶ ἄδοξον. καὶ γυμνὸν ἐπὶ ξύλου τέκνον ἐμὸν, νῦν τὰ σπλάγχνα φλέγομαι. ὀδυρομένη μητρικῶς, ἡ Παρθένος ἀπεφθέγγετο.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ὁ περιβάλλων τὸν Οὐρανὸν. νέφεσι Χριστὲ ἐπὶ Σταυροῦ, γυμνὸς ἐπάγης θελήματι. γύμνωσιν κακίας προσεπενδύω με. καὶ στολαῖς ἀφθαρσίας, φαιδρύνων Δέσποτα.

Σταυρῷ παθεῖσα ἡ ἀληθής. ἄμπελος Χριστὸς ὡς ἀληθῶς, ὁ γλυκασμὸς τῶν ψυχῶν ἡμῶν. γλεῦκος ἀποστάζει, τῆς πλάνης ἅπασαν. τὴν μέθην ἀναστέλλων τοῦ πολεμήτορος.

Κατα-

Καταξυχόμενος Ἰωσὴφ. καὶ καταπληττόμενος ὁμοῦ, σὺν Νικοδήμῳ κατήγαγον. τὸ τοῦ Διδασκάλου σκήνωμα ἅγιον. θρηνοῦντες καὶ ὑμνοῦντες τοῦτον ὡς Κύριον.

Λαβοῦσα τοῦτον μετὰ κλαυθμοῦ. Μήτηρ ἡ ἀπείρανδρος Ἁγνὴ, καὶ περιθεῖσα τοῖς γόνασι. βρέχουσα τοῖς δάκρυσι κατησπάζετο. πικρῶς ὀδυρομένη καὶ ἀλαλάζουσα.

Μόνην ἐλπίδα σὲ καὶ ζωὴν. Δέσποτα Υἱέ μου καὶ Θεὲ, καὶ ὀφθαλμῶν φῶς ἡ δούλησου. εἶχον νῦν δὲ οἴμοι ἀπεστερήθην σου. γλυκύτατόν μου Τέκνον καὶ ποθεινότατον.

Ὀδύναι θλίψεις καὶ στεναγμοὶ. εὕρωσαν με οἴμοι ἡ Ἁγνὴ, πικρῶς θρηνοῦσα ἐφθέγγετο. βλέπουσά σε Τέκνον μου ποθεινότατον. γυμνὸν ἀπερριμμένον, ἐσμυρνισμένον νεκρόν.

Ὠδὴ ςʹ. Τοῦ βίου τὴν θάλασσαν.

Ἐστέφθης μακρόθυμε, ταῖς ἀκάνθαις τῶν παθῶν, ἐκκοπτέμνων ἄκανθαν. λόγχῃ πλευρὰν ἐτρώθης, καὶ τὸν ἡμᾶς. νεκροὺς ἐργασάμενον. ἀπενέκρωσας ὄφιν πολυμήχανον.

Ἐν ξύλῳ ἀνήρτησαι, καταρράσσων τοῦ ἐχθροῦ, τὴν δυναστείαν Δέσποτα. δουλείας δὲ πικρᾶς με ἐλευθερῶν. ἐδέξω ῥαπίσματα. ἀνυμνῶ σου Οἰκτίρμων τὸ μακρόθυμον.

Νεκρός σε φιλάνθρωπε, τὸν ζωώσαντα νεκροὺς, ἀναπολῶν τιτρώσκομαι. τὰ σπλάγχνα καὶ συνήθελον σοὶ θανεῖν. ἡ Πάναγνος ἔλεγεν. οὐ γὰρ φέρω σε ἄπνουν καὶ νεκρὸν καθορᾶν.

Ξενίζομαι βλέπουσα, ὑπεράγαθε Θεὲ, καὶ πανοικτίρμον Κύριε. ἄδοξον ἄπνουν, ἄμορφον καὶ γυμνὸν. καὶ θρήνοις συνέχομαι. ὡς οὐκ ἤλπιζον, οἴμοι κατιδεῖν σε Υἱέ.

Οὐ λέγεις τῇ δούλῃ σου, λόγον Λόγε τοῦ Θεοῦ, οὐ κατοικτείρεις Δέσποτα. τὴν σὲ τεκοῦσαν ἔλεγεν ἡ Ἁγνὴ. θρηνοῦσα καὶ κλαίουσα. καὶ φιλοῦσα τὸ σῶμα τὸ πανάχραντον.

Λογίζομαι Δέσποτα, ὡς οὐκ ἔτι λαλιὰν, γλυκεῖαν σου ἀκούσομαι. οὐδὲ τὸ κάλλος βλέψω σου τῆς μορφῆς. ὡς πρώην ἡ δούλη σου. καὶ γὰρ ἔδυς Υἱέ μου ἐξ ἐμῶν ὀφθαλμῶν.

Κοντάκια ἦχος πλ. βʹ. Ἐλπὶς τοῦ Κόσμου ἀγαθή.

Παρισαμένη τῷ Σταυρῷ, ἡ Παρθένος καὶ Μήτηρ. τοῦ ἀνδὺ πάθους ἐξ αὐτῆς, ὑπὲρ νοῦν σαρκωθέντος. ἐκραύγαζε δακρυρροοῦσα μητρικῶς. οὐ φέρω σε νεκρὸν κρεμάμενον ὁρᾶν. πνοὴν τὴν παρεχόμενον τοῖς ζῶσιν ἐπὶ γῆς, ὦ Υἱὲ καὶ Θεέ μου. Δόξα.

Ἡ σὲ κυήσασα Χριστὲ, Ἀειπάρθενος Κόρη. ἐν τῷ Σταυρῷ ὑπὲρ ἡμῶν, ὑψωθέντα ὁρῶσα. ἐτέτρωτο λύπης ῥομφαίᾳ τὴν ψυχὴν. καὶ ἔκλαιε θρηνολογοῦσα μητρικῶς. αὐτῆς ταῖς παρακλήσεσιν, ἐλέησον ἡμᾶς. Καὶ νῦν.

Θεοτόκε Παρθένε ἱκέτευε τὸν Υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν Σταυρῷ. καὶ

τὸν Κόσμον ἐκ πλάνης λυτρώσαντα. Χριστὸν τὸν Θεὸν ἡμῶν, τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἰοβόλον ἀπερράπισας τοῦ δράκοντος, κακίαν ῥαπιζόμενος. καὶ κρεμάμενος, ἐπὶ ξύλου μόνε δυνατὲ, τοὺς πάντας ἐφώτισας βοᾶν, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Ξύλου εὕρατο γευσάμενος τὸν θάνατον, Ἀδὰμ ὁ πρῶτος ἄνθρωπος. ὁ δὲ δεύτερος ἐν αὐτῷ Χριστὸς θανατωθεὶς. ἀθάνατον δίδωσι ζωήν. ἀπονεκρώσας τὸν ἐχθρὸν τὸν πολυμήχανον.

Ποῦ Υἱέ μου καὶ Θεὲ τὰ εὐαγγέλια, ἃ Γαβριὴλ μοι ἔλεγε. Βασιλέα σε καὶ Υἱὸν Ὑψίστου καὶ Θεὸν. ἐκάλει, καὶ νῦν σε θεωρῶ. φῶς μου γλυκύτατον γυμνὸν, κατεστιγμένον νεκρόν.

Ῥυομένην με δεινῶν, τὰ νῦν παράλαβε, μεθ' ἑαυτοῦ Υἱέ μου καὶ Θεὲ συγκατέλθω σοι ἐν τῷ ᾅδει Δέσποτα Χριστέ. μὴ λίπῃς με μόνην ἔτι ζῶν. καὶ γὰρ οὐ φέρω μὴ ὁρᾶν, σὲ ὦ γλυκύτατον φῶς.

Σὺν ταῖς ἄλλαις Μυροφόροις ἐποδύρετο, ἡ ἄμεμπτος πικρότατα. κομιζόμενον, ἐν τῷ τάφῳ βλέπουσα Χριστὸν. καὶ ἔλεγεν οἴμοι τί ὁρῶ. ποῦ νῦν ὑπάγεις ὦ Υἱὲ, καὶ μόνην λίπῃς με.

Ἀθυμοῦσα καὶ θρηνοῦσα ἡ πανάμωμος, ταῖς μυροφόροις ἔλεγε. νῦν θρηνήσατε σὺν ἐμοὶ, καὶ κλαύσατε πικρῶς. ἰδοὺ γὰρ τὸ φῶς μου τὸ γλυκὺ, καὶ ὁ διδάσκαλος ὑμῶν, τῷ τάφῳ δίδοται.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις,

Ὑπερήφανον ὄφιν σὺ ἐταπείνωσας. ταπεινώσει καρδίας ξύλῳ ὑψούμενος. Ὕψιστε Θεὲ, καὶ Ἀδὰμ τὸν τοῖς πάθεσι. τεταπεινωμένον, ἀνύψωσας Οἰκτίρμων.

Τὴν τοῦ ξύλου πικρίαν μεταποιούμενος. ἐπὶ ξύλου ἐπάθης χολῆς γευσάμενος. πάντων γλυκασμὸς, καὶ ζωὴ ἐνυπόστατος. Δέσποτα ὑπάρχων, καὶ φῶς καὶ σωτηρία.

Τὴν Παρθένον θρηνοῦσαν ὁ Ἰωσὴφ θεωρῶν. κατετρύχετο ὅλως καὶ ἀνεβόα πικρῶς. πῶς σε ὦ Θεὲ, νῦν κηδεύσω καὶ Κύριε, ποίαις δὲ σινδόσιν, εἱλήσω σου τὸ σῶμα.

Πάντα νοῦν ὑπερβαίνει τὸ ξένον θέαμα. ὁ βαστάζων τὴν Κτίσιν πᾶσαν ὡς Κύριος. τοῦτον Ἰωσὴφ ὡς νεκρὸν ἐν χερσὶν αὐτοῦ. σὺν τῷ Νικοδήμῳ, βαστάζει καὶ κηδεύει.

Φοβερὸν, καὶ φρικῶδες βλέπω μυστήριον. ἡ Παρθένος ἐβόα Υἱὲ καὶ Κύριε. πῶς ἐν εὐτελεῖ κατατίθεσαι μνήματι. ὁ νεκροὺς προσάξει, ἐγείρας ἐκ μνημάτων.

Οὐ τοῦ τάφου σου Τέκνον μου ἐγερθήσομαι. οὐδὲ δάκρυα παύσω θρηνεῖν ἡ δούλη σου. ἕως ἂν κἀγὼ συγκατέλθω εἰς ᾅδην σοι. οὐ στέγω καὶ γὰρ φέρειν, τὴν σὴν στέρησιν Τέκνον.

Ὠδὴ θ΄.

Ὠδὴ θʹ. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ὡρῶν καὶ χρόνων ὑπάρχων Κύριος. μέσον τῆς γῆς, μεσούσης τῆς ἡμέρας μακρόθυμε, ἐπὶ ξύλου ὑψώθης σταυρούμενος. μέσον τοῦ Παραδείσου τὸν ὑπομείναντα. ὄλισθον καρπῷ φθοροποιῷ, ἐπανορθούμενος.

Σταυρὸς ἐπήγνυτο καὶ ὁ Τύραννος. ἐν τῇ ψυχῇ, καιρίαν τὴν πληγὴν ὑπεδέχετο. καὶ δεσμῶται φθορᾶς ἀπελύοντο. γνῶσις πᾶσιν ἀνθρώποις ἐνεφυτεύετο. ἐχθρὸς κατηργεῖτο καὶ χαρᾶς, πάντα πεπλήρωτο.

Χαρὰ μηδόλως ψαύσῃ ἀπὸ τοῦ νῦν. ἐμὴ ψυχὴ, ἐβόα θρηνῳδοῦσα ἡ ἄμεμπτος· τὸ γὰρ φῶς τῆς χαρᾶς μου ἐν μνήματι ἔδυνε. καὶ οὐ φέρω τούτου τὴν στέρησιν· ἀλλὰ συντεθνήξομαι κἀγὼ, καὶ συνθανοῦμαι αὐτῷ.

Ψυχῆς τὸ ἄλγος μου νῦν θεράπευσον. Τέκνον ἐμὸν, ἡ Πάναγνος ἐβόα δακρύουσα· ἀλλ' ἀνάστηθι παῦσον τοὺς πόνους μου. καὶ τὰς πικράς μου θλίψεις, δύνασαι Δέσποτα. ὅσα γὰρ θέλεις καὶ ποιεῖς, εἰ καὶ ἐν τάφῳ οἰκεῖς.

Ὢ πῶς διέλαθέ σε ἡ ἄβυσσος. τῶν οἰκτιρμῶν, πρὸς ταύτην μυστικῶς Χριστὸς ἔφησε. τὸ γὰρ πλάσμα μου σῶσαι βουλόμενος, τέθνηκα, ἀλλὰ πάλιν ἐξαναστήσομαι. καὶ σὲ ὡς Θεὸς μεγαλυνῶ, ἐν Οὐρανῷ καὶ ἐν γῇ.

Ὑμνῶ τὸ εὔσπλαγχνόν σου μακρόθυμε, καὶ προσκυνῶ, τὸν πλοῦτον τοῦ ἐλέους σου Δέσποτα. τὸ γὰρ πλάσμα σου σῶσαι βουλόμενος. θάνατον κατεδέξω, ἔφη ἡ Ἄχραντος. ἀλλ' ἐν τῇ ἐγέρσει σου Σωτὴρ, πάντας ἐλέησον.

Ἑτέρα στιχηρὰ ἦχος πλ. βʹ. Ὅλην ἀποθέμενοι.

Ὅλος ἐκ νεότητος, ταῖς ἡδοναῖς ἐδουλώθην. τῆς σαρκὸς καὶ γέγονα, παθῶν καταγώγιον τυραννούντων με. τῆς ψυχῆς ὅλως δὲ, ἀλογήσας Σῶτερ, ἐντολῶν σου κατεφρόνησα. ἀλλ' ὁ πλάσας με. καὶ ἰδὼν ἡμῶν τὴν ἀσθένειαν. ὁ μόνος ἀναμάρτητος, δός μοι τὴν συγχώρησιν εὔσπλαγχνε. ὧνπερ ἐν ἀγνοίᾳ, καὶ γνώσει αἰσθητῶς καὶ νοητῶς. ἀπὸ νεότητος ἥμαρτον, μόνε εὐσυμπάθητε.

Ὁ μόνος φιλάνθρωπος. ὁ πάντας θέλων σωθῆναι. καὶ καλῶν ὡς εὔσπλαγχνος, τοὺς προσκεκρουκότας σοι πρὸς μετάνοιαν. μὴ μνησθῇς Δέσποτα, μηδαμῶς δέομαι, τῆς αἰσχύνης τῶν ἀτόπων μου. ἔργων ὧν ἔπραξα, φεῦ τῶν ὀφθαλμῶν σου ἀπέναντι. μὴ φρίξας ὁ πανάθλιος, τὸ τῶν σῶν χειρῶν ἀναπόδραστον. ὅθεν νῦν προσπίπτω, στενάζων καὶ πενθῶν καὶ νοητῶς. τῶν σῶν ποδῶν ἐφαπτόμενος, τοῦ λαβεῖν συγχώρησιν.

Ἡ πόρνη κενώσασα, μύρου ἀλάβαστρον πάλαι. τοῖς ποσί σου Δέσποτα, πάντων ἠλευθέρωται ὧνπερ ἔπραξεν. ὁ λῃστὴς μόνος σου, μνημονεύσας ὤφθη, καὶ εὐθέως εἰς Παράδεισον. αὐτὸν εἰσήγαγες, ἐγὼ δὲ τί πράξω ὁ ἄθλιος; οὐ μύρον οὐ κατάνυξιν, ἔχω δωρεάν με ἐλέησον. οἰκτειρόν με Λόγε, ἡ ἄχραντός σου Μήτηρ δυσωπεῖ. ἣν ἐδωρήσω τῷ Κόσμῳ σου, μέγα καταφύγιον.

Ὅταν τῇ προστάξει σου, ἐκ τῶν δεσμῶν τοῦ σαρκίου. βουληθῇς χωρίσαι μου, τὴν ψυχὴν ἀθάνατε, τότε φθάσαι με. προσηνῆ Ἄγγελον, χαροπὸν βλέποντα· ὅπως εἴλας παραλήψεσθαι. καὶ διασώσασθαι, ἀπὸ τῶν ἀρχόντων τοῦ σκότους με,

εὐκόλως δυναμοῦμαι, τοῦ εὐθυπορῆσαι τὴν ἄνοδον. τὴν ἐν τῷ ἀέρι, καὶ φθάσαι εἰς προσκύνησιν τοῦ σοῦ. Θρόνου φρικτοῦ ἀκατάκριτον, Θεὲ ὑπεράγαθε.

Δόξα.

Γνώμῃ ὀλισθήσαντα, καὶ δουλωθέντα τῷ πλάνῳ. ἀπάτῃ Θεόνυμφε, πρὸς τὴν ὑπερθαύμαστον εὐσπλαγχνίαν σου. καὶ θερμὴν δέησιν, Παναγία Κόρη, καταφεύγω ὁ πανάθλιος. δεσμοῦ με λύτρωσαι, τῶν πειρατηρίων καὶ θλίψεων. καὶ σῶσόν με πανάμωμε, τῶν δαιμονικῶν ἐπιθέσεων. ἵνα σε δοξάζω. καὶ πόθῳ ἀνυμνῶ καὶ προσκυνῶ. καὶ μεγαλύνω σε Δέσποινα, τὴν ἀειμακάριστον.

Καὶ νῦν.

Δέξαι μου τὴν δέησιν, Θεοκυῆτορ Μαρία. καὶ μὴ ἀπορρίψῃς με, ἀπὸ τοῦ προσώπου σου τὸν ἀνάξιον. τὸν πολλὰ πταίσαντα, ὑπὲρ πᾶσαν φύσιν, τῶν ἀνθρώπων ἐκ νεότητος. διὸ προσπίπτω σοι, κλίνων μου τὸ γόνυ σὺν δάκρυσι. σπλαγχνίσθητι ἐλέησον, δεῖξον τὴν ἰσχὺν ὅτι δύνασαι. μόνη τῶν περάτων, ἐλπὶς καὶ προστασία κραταιά. καταφυγὴ καὶ βοήθεια, τῶν παρακαλούντων σε. Τὸ Ἄξιόν ἐστιν. εἶθ' οὕτως, τὸ Τρισάγιον, καὶ τὰ λοιπά, ὡς ἔθος. εἶτα λέγε τὸ παρὸν Κοντάκιον. Ἦχος δ'.

ΕΞηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου Αἵματι. τῷ Σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς. τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν δόξα σοι. Καὶ εὐθὺς, τὸ Κύριε ἐλέησον, μ'.

Ὁ ἐν παντὶ καιρῷ. καὶ καθεξῆς αἱ Εὐχαὶ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον. Εὐχὴ α'.

ΠΑρθένε Δέσποινα Θεοτόκε, ἡ τὸν Θεὸν Λόγον κατὰ σάρκα γεννήσασα. οἶδα μὲν οἶδα, ὅτι οὐκ ἔστιν εὐπρεπὲς οὐδὲ ἄξιον, ἐμὲ τὸν οὕτω πανάσωτον, εἰκόνα καθαρὰν σοῦ τῆς ἁγνῆς, σοῦ τῆς Ἀειπαρθένου, σοῦ τῆς σῶμα καὶ ψυχὴν ἐχούσης καθαρὰ καὶ ἀμόλυντα, ὀφθαλμοῖς μεμολυσμένοις ὁρᾶν, καὶ χείλεσιν ἀκαθάρτοις καὶ βεβήλοις περιπτύσσεσθαι, ἢ παρακαλεῖν. Δίκαιον γὰρ ἐστὶν ἐμὲ τὸν ἄσωτον ὑπὸ τῆς σῆς καθαρότητος μισεῖσθαι καὶ βδελλύττεσθαι. πλὴν ἐπειδήπερ γέγονεν ὁ Θεὸς ὃν ἐγέννησας ἄνθρωπος, ὅπως καλέσῃ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν. θαρρῶν κἀγὼ προσέρχομαί σοι μετὰ δακρύων δεόμενος. Δέξαι μου τὴν παροῦσαν τῶν πολλῶν καὶ χαλεπῶν πταισμάτων ἐξαγόρευσιν, καὶ προσάγαγε τῷ μονογενεῖ σου Υἱῷ καὶ Θεῷ. ἱκετηρίαν ποιοῦσα, ὅπως γένηται ἵλεως τῇ ἀθλίᾳ μου καὶ ταλαιπώρῳ ψυχῇ. διὰ γὰρ τὸ πλῆθος τῶν ἀνομιῶν μου κωλύομαι πρὸς αὐτὸν ἀτενίσαι, καὶ αἰτῆσαι συγχώρησιν. διὰ τοῦτο σὲ προβάλλομαι πρέσβιν καὶ μεσίτιν. ὅτι πολλῶν ἀπολαύσας καὶ μεγάλων δωρεῶν, παρὰ τοῦ πλαστουργήσαντός με Θεοῦ. ἀμνήμων τε πάντως φανεὶς ὁ ἄθλιος καὶ ἀχάριστος, εἰκότως παρασυνεβλήθην τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθην αὐτοῖς. πτωχεύων ταῖς ἀρεταῖς, πλουτῶν τοῖς πάθεσιν, αἰσχύνης πεπληρωμένος, παρρησίας θείας ἐστερημένος. κατακεκριμμένος ὑπὸ Θεοῦ, θρηνούμενος ὑπὸ Ἀγγέλων, γελώμενος ὑπὸ δαιμόνων, καὶ μισούμενος παρὰ ἀνθρώπων. ἐλεγχόμενος

μένος ὑπὸ τοῦ συνειδότος, ὑπὸ τῶν πονηρῶν μου καταισχυνόμενος ἔργων. καὶ πρὸ
θανάτου νεκρὸς ὑπάρχω, καὶ πρὸ τῆς κρίσεως αὐτοκατάκριτος ὤν, καὶ πρὸ τῆς
ἀτελευτήτου κολάσεως αὐτοτιμώρητος τυγχάνων ὑπὸ τῆς ἀπογνώσεως· διὸ δὴ
εἰς τὴν σὴν καὶ μόνην καταφεύγω ἀντίληψιν Δέσποινα Θεοτόκε ὁ τῶν μυρίων
ταλάντων ὀφειλέτης. ὁ ἀσώτως μετὰ πορνῶν τὴν πατρικὴν δαπανήσας οὐσίαν.
ὁ πορνεύσας ὑπὲρ τὴν πόρνην, ὁ παρανομήσας ὑπὲρ τὸν Μανασσῆν. ὁ ὑπὲρ τὸν
πλούσιον ἄσπλαγχνος γεγονώς. ὁ λαίμαργος δοῦλος. τὸ τῶν πονηρῶν λογισμῶν
δοχεῖον. ὁ τῶν αἰσχρῶν καὶ ῥυπαρῶν λόγων θησαυροφύλαξ. ὁ πάσης ἀγαθῆς
ἐργασίας ἀλλότριος. Ἐλέησόν μου τὴν ταπείνωσιν. οἰκτείρησόν μου τὴν ἀσθέ-
νειαν. μεγάλην ἔχεις τὴν παῤῥησίαν, πρὸς τὸν ἐκ σοῦ τεχθέντα. οὐδεὶς δύ-
ναται ὡς σὺ Μήτηρ Θεοῦ. πάντων ἰσχύεις, ὡς πάντων ὑπερέχουσα τῶν κτισμά-
των. οὐδέν σοι ἀκώλυτον, ἐὰν θελήσῃς. μόνον μὴ παρίδῃς μου τὰ δάκρυα. μὴ
βδελύξῃ μου τὸν στεναγμόν. μὴ ἀπώσῃ μου τὸν ἐκ καρδίας πόνον. μὴ καταισχύ-
νῃς μου τὴν εἰς σὲ προσδοκίαν. ἀλλὰ ταῖς μητρικαῖς σου δεήσεσι, τὴν τοῦ ἀγα-
θοῦ Υἱοῦ σου καὶ Θεοῦ ἀβίασον βιασαμένη εὐσπλαγχνίαν. ἀξίωσόν με τὸν ταλαί-
πωρον καὶ ἀνάξιον δοῦλόν σου, τὸ πρῶτον καὶ ἀρχαῖόν μου ἀπολαβεῖν κάλλος, καὶ τὴν
τῶν παθῶν ἀποθέσθαι ἁμαρτίαν. ἐλευθερωθῆναι ἀπὸ τῆς ἁμαρτίας, δουλω-
θῆναι δὲ τῇ δικαιοσύνῃ. ἐκδύσασθαι τὸν μιασμὸν τῆς σαρκικῆς ἡδονῆς, ἐν-
δύσασθαι τὸν ἁγιασμὸν τῆς ψυχικῆς καθαρότητος. νεκρωθῆναι τῷ Κόσμῳ,
ζῆσαι τῇ ἀρετῇ. ὁδοιποροῦντί μοι συνόδευσον. ἐν θαλάσσῃ πλέοντι σύμπλευ-
σον. τοὺς χαλεπῶς ἀφύκτως πολεμοῦντάς με δαίμονας ἐκδιώκουσα. ἀγρυπνοῦν-
τά με ἐνισχύουσα. θλιβόμενον παραμύθησον. ὀλιγοψυχοῦντα παρακάλεσον. ἀ-
σθενοῦντι ῥῶσίν μοι δώρησαι. ἀδικούμενον ῥῦσαί με. συκοφαντούμενον ἀθώωσον.
εἰς θάνατον κινδυνεύοντα, συντόμως πρόφθασον. φοβεροῖς καὶ ἀοράτοις ἐχθ-
ροῖς δεικνύων με καθεκάστην ἵνα γνῶσι πάντες οἱ ἀδίκως με τυραννοῦντες, τίνος
δοῦλος ὑπάρχω. Ναὶ ὑπεράγαθε Δέσποινα Θεοτόκε, ἐπάκουσον τῆς οἰκτρᾶς μου
δεήσεως, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου, ἡ ἐλπὶς πάντων τῶν
περάτων τῆς γῆς. τὸν βρασμὸν τῆς σαρκός μου κατάσβεσον. τὸν ἐν τῇ ψυχῇ
μου ἀγριώτατον κλύδωνα κατεύνασον. τὸν ἄκαιρον θυμὸν καταπράϋνον τὸν τῦ-
φον καὶ τὴν ἀλαζονείαν τῆς ματαίας οἰήσεως ἐκ τοῦ νοός μου ἀφάνισον. τὰς νυκτε-
ρινὰς φαντασίας τῶν πονηρῶν πνευμάτων, καὶ τὰς μεθημερινὰς τῶν ἀκαθάρτων
ἐννοιῶν προσβολὰς ἐκ τῆς καρδίας μου μείωσον. παίδευσόν μου τὴν γλῶσσαν,
λαλεῖν τὰ συμφέροντα. δίδαξόν μου τοὺς ὀφθαλμοὺς βλέπειν ὀρθῶς τῆς ἀρετῆς
τὴν εὐθύτητα. τοὺς πόδας μου τρέχειν ἀσκελίσως ποίησον τὴν μακαρίαν ὁδὸν
τῶν τοῦ Θεοῦ ἐντολῶν. Τὰς χεῖράς μου ἁγιασθῆναι παρασκεύασον, ἵνα ἀξίως
αἴρω αὐτὰς πρὸς τὸν Ὕψιστον. καθαρόν μου τὸ στόμα, ἵνα μετὰ παῤῥησίας ἐ-
πικαλεῖται Πατέρα, τὸν φοβερὸν Θεὸν καὶ πανάγιον. ἄνοιξόν μου τὰ ὦτα, ἵνα
ἀκούω αἰσθητῶς, καὶ νοητῶς τὰ ὑπὲρ μέλι καὶ κηρίον γλυκύτερα τῶν ἁγίων Γραφῶν
λόγια, καὶ ποιεῖν αὐτὰ ἀπὸ σοῦ κραταιούμενος. Δός μοι καιρὸν μετανοίας, λο-

γισμὸν ἐπιστροφῆς. αἰφνιδίου με ἐλευθέρωσον θανάτου. κατακεκριμμένον ὑπὸ τοῦ συνειδότος με ἀπάλλαξον. τέλος παράστηθί μοι ἐν τῷ χωρισμῷ τῆς ψυχῆς τοῦ ἀθλίου μου σώματος. τὴν ἀφόρητον ἐκείνην ἐλαφρύνουσα βίαν, τὸν ἀνέκφραστον κουφίζουσα πόνον. τὴν ἀπαραμύθητον παρηγοροῦσα στενοχωρίαν. τῆς σκοτεινῆς με τῶν δαιμόνων λυτρουμένη μορφῆς, τοῦ πικροτάτου λογοθεσίου, τῶν τελωνῶν τοῦ ἀέρος, καὶ τῶν ἀρχόντων τοῦ σκότους ἐξαίρουσα. τὰ χειρόγραφα τῶν πολλῶν μου ἁμαρτιῶν διαρρήξασα, τῷ Θεῷ με οἰκείωσον. τῆς ἐκ δεξιῶν αὐτοῦ μακαρίας στάσεως, ἐν τῷ φοβερῷ Κριτηρίῳ καταξίωσον. τῶν αἰωνίων καὶ ἀκηράτων ἀγαθῶν, κληρονόμον με ποίησον. Ταύτην σοι προσάγω τὴν ἐξομολόγησιν Δέσποινά μου Θεοτόκε. τὸ φῶς τῶν ἐσκοτισμένων μου ὀφθαλμῶν. ἡ παραμυθία τῆς ἐμῆς ψυχῆς. ἡ μετὰ Θεὸν ἐλπίς μου καὶ προστασία. ἣν εὐμενῶς πρόσδεξαι, καὶ καθάρισόν με ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος. καὶ ἀξίωσόν με ἐν τῷ παρόντι αἰῶνι, ἀκατακρίτως μεταχεῖν, τοῦ παναγίου καὶ ἀχράντου σώματος τοῦ Υἱοῦ καὶ Θεοῦ σου. ἐν δὲ τῷ μέλλοντι, τοῦ γλυκυτάτου καὶ Οὐρανίου δείπνου. τῆς τρυφῆς τοῦ Παραδείσου. ἔνθα πάντων εὐφραινομένων ἐστὶν ἡ κατοικία. τούτων δὲ τυχὼν τῶν ἀγαθῶν ὁ ἀνάξιος, δοξάσω εἰς τοὺς αἰῶνας τῶν αἰώνων τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομα τοῦ Υἱοῦ καὶ Θεοῦ σου. τοῦ δεχομένου πάντας τοὺς ἐξ ὅλης μετανοοῦντας ψυχῆς. διὰ τὸ σὲ γενομένην πάντων τῶν ἁμαρτωλῶν μεσίτιν καὶ ἐγγυήτριαν. καὶ διὰ σοῦ πανύμνητε καὶ ὑπεράγαθε Δέσποινα, περισώζεται πᾶσα βροτεία φύσις. αἰνοῦσα καὶ εὐλογοῦσα Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὴν παναγίαν Τριάδα καὶ ὁμοούσιον, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Εὐχὴ ε΄. εἰς τὴν Ὑπεράγιαν Θεοτόκον.

Δέσποινα Θεοτόκε ἡ ἐλπίς μου, σὺ γινώσκεις τοὺς λογισμούς μου καὶ τὰς πράξεις μου. καὶ τὴν ἀσθένειαν τῆς ταπεινῆς μου φύσεως. καὶ σοὶ τὴν ἐμὴν ψυχὴν παριστῶ, ἐρρυπωμένην πολλαῖς ἁμαρτίαις, καὶ λογισμοῖς ἀτόποις. σὺ Δέσποινα βλέπεις τὰ ἕλκη τῶν τραυμάτων τῆς ἐμῆς ψυχῆς. σὺ τὴν ἴασιν βράβευσον. ἐπιχέουσα ῥανίδα τῆς σῆς φιλανθρώπου συμπαθείας. ἐπίβλεψον Δέσποινά μου Θεοτόκε, καὶ εὐμενῆ ποίησον μετ᾽ ἐμοῦ τὸν σὸν Υἱὸν καὶ Θεόν. τὸν μέλλοντά μου δημοσιεύειν ἐνώπιον Ἀγγέλων, καὶ ἀνθρώπων, τοὺς πονηρούς μου λογισμοὺς, καὶ ἐνθυμήσεις, καὶ πράξεις. δέχεταί σε ὡς Μητέρα ὁ φιλάνθρωπος, ὑπὲρ ψυχῆς ἁμαρτωλοῦ καὶ ἀπεγνωσμένης πρεσβεύουσαν, ὡς καταφυγὴν καὶ μεσίτριαν τῶν ἁμαρτωλῶν. Ἐλέησόν με τὸν χειμαζόμενον τῷ πελάγει τῶν πειρασμῶν, τὸν θαρροῦντα τῷ σῷ ἐλέει, καὶ τῇ σῇ συμπαθεῖ προστασίᾳ. τὸν ἐπιρρίπτοντα διὰ παντὸς τὸ τῆς ψυχῆς ὄμμα, εἰς τὸ πλῆθος τῶν σῶν οἰκτιρμῶν. καὶ προσφέροντά σοι στεναγμὸν, ἐκ καρδίας συντετριμμένης. Μὴ παύσῃ ὑπὲρ ἐμοῦ πρεσβεύουσα, τοῦ ταπεινοῦ καὶ ἀθλίου. ἵνα διὰ τῆς σῆς ἀντιλήψεως, ἀξιωθῶ συγχωρήσεως τῶν πολλῶν μου καὶ δεινῶν μου πράξεων. σὲ γὰρ ἐπὶ τοῦτο καταφυγὴν τῶν ἁμαρτωλῶν ἔθετο ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, ὁ πάσης Κτίσεως

δημιουρ-

δημιουργός. Ναὶ Κύριε, ὁ εὐδοκήσας διὰ σπλάγχνα ἐλέους σου, τεχθῆναι ἐκ τῆς πανάχραντου Μητρὸς, καὶ Ἀειπαρθένου Μαρίας, διὰ τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, πρόσδεξαι ταύτην μεσίτιν ὑπὲρ τῆς ἐμῆς ἀναξιότητος. ὅπως διὰ τῆς σῆς εὐσπλαγχνίας, τῇ μητρικῇ αὐτῆς πρεσβείᾳ ἀπολυτρώσεως τύχω, περὶ ὧν ἀκουσίως ἢ ἑκουσίως ἥμαρτον ἐνώπιον σου. ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εὐχὴ ἑτέρα εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

ΠΑντάνασσα πανύμνητε, Παρθενομῆτορ Κόρη. ἐμῶν ῥημάτων ἄκουσον, καὶ πρόσχες μου τοῖς λόγοις. ἴδε δακρύων στεναγμοὺς, ἴδε ψυχῆς τὴν λύπην. ἴδε καὶ μὴ παρίδῃς με, Δέσποινα Θεοτόκε. οὐ φέρω τὰς ἐπιβουλὰς Σατὰν τοῦ βροτοκτόνου. οὐ φέρω τὴν ἐπίθεσιν, οὐ φέρω τὴν κακίαν. οὐ στέγω τούτου μηχανὰς, ἐνέδρας λόγους, δόλους, οὐχ᾽ ὑπομένειν δύναμαι, τὴν πλάνην καὶ ἀπάτην. βιάζει καὶ πειράζει με, νύκτωρ καὶ μεθ᾽ ἡμέραν. συντρίβει καὶ θηρεύει με, πράξεσιν ἀθεμίτοις. εἰς ἁμαρτίας βάραθρα, θέλγει καὶ συνωθεῖ με. ψυχῆς τὰς κόρας ἔσβεσεν, ἠμαύρωσε τὸν νοῦν μου. τὸ σῶμα κατερρύπωσεν, ἐσπίλωσε τὸ πνεῦμα. ἐξέδυσέ με τὴν λαμπρὰν στολὴν τῆς σωφροσύνης. ἀφήρπασεν ἐσύλησε, τὸν πλοῦτον τῆς ψυχῆς μου. τὰ δῶρα καὶ χαρίσματα, τὰ πρὸς Θεοῦ δοθέντα. πένητά με κατέστησε, πάντων καλῶν οὐκ ἔχον. λοιπὸν Ἁγνὴ πανάχραντε, Χριστιανῶν ἡ δόξα. τῶν θλιβομένων χαρμονὴ, λιμὴν χειμαζομένων. καὶ σκέπη καὶ κραταίωμα, τῶν καταπονουμένων. ἡ τὸν Χριστόν μου τέξασα, τοῦ Κόσμου τὸν Δεσπότην. καὶ γαλακτοτροφήσασα, τὸν τρέφοντα τὴν Κτίσιν. ἐλέησον, οἰκτείρησον, τὸν σὸν ἀχρεῖον δοῦλον. καὶ τὸν ἐχθρὸν τὸν πονηρὸν, τὸν ψυχοφθόρον λύκον. κατάβαλλε πανύμνητε, ἐλπὶς ἀπηλπισμένων. καὶ δός μοι τὴν συγχώρησιν, τῶν πρώην μου σφαλμάτων. καὶ τὴν ἀντίληψιν τὴν σὴν. ἄχρι καὶ μέχρι τέλους. Θεογεννήτορ ἔχειν με, μὴ δ᾽ ὅλως χωρισθῆναι. ἐπὶ τὸ τέλος φάνηθι, μεσίτις, καὶ προστάτις. ἐξαιρουμένη με δεινῶν, αἰσχύνης αἰωνίου. ἐν λύπαις γὰρ παράκλησιν, ἔχουσε Θεομῆτορ. προστάτιν ἐν τοῖς πειρασμοῖς, ῥύσιν ἐν τοῖς κινδύνοις. νῦν τὰς ἐλπίδας ἐπὶ σοὶ, τίθημι Θεοτόκε. σὲ κέκτημαι καὶ βοηθὸν, κατὰ τῶν ἐναντίων. ἐν θλίψεσι παραψυχὴν, ἐν νόσοις θεραπείαν καθ᾽ ὅλου παραμύθιον διὰ παντὸς τοῦ βίου. καὶ δὸς φωναῖς ψαλμῳδικαῖς, εὐχαριστεῖν σοι Κόρη. καὶ μεγαλύνειν διὰ σοῦ, τὸν πλάστην καὶ Θεόν μου. νῦν καὶ ἀεὶ καὶ πάντοτε, ἀμὴν εἰς τοὺς αἰῶνας.

Πένθος τῇ ε΄. Ἑσπέρας.

ΙΔοὺ πάλιν προσπίπτω ἐπὶ θύραις τοῦ ἐμοῦ Δεσπότου, ἱκετεύων, παρακαλῶν, προσκυνῶν, καὶ βοῶν μετὰ φόβου, συμφέρει γὰρ τῷ οἰκέτῃ μὴ ἐκφυγεῖν τὰς χεῖρας τοῦ Δεσπότου αὐτοῦ, ἁμαρτήσαντι αὐτῷ. ἀλλὰ μᾶλλον παραμένειν. Εἰσάκουσον ὦ Δέσποτα τοῦ κλαυθμοῦ μου, καὶ πρόσδεξαι τὰ ῥήματα τῆς δεήσεώς μου ἃ προσφέρω ὁ ἁμαρτωλὸς αἰδούμενος. ἔκχεον ἐπὶ τὸν ἄθλιον ἐμὲ μικρὰν

σαγόνα ἐπιστροφῆς τῷ ἐλέει σου. καὶ φώτισόν μου τὴν ψυχὴν τῇ χάριτί σου. ἵνα
ἔξω μικρὰν παραμυθίαν εἰς τὸ διορθώσασθαι ἐμαυτόν. εἰ μὴ γὰρ ἡ χάρις σου φω-
τίσῃ μου τὴν ψυχὴν, οὐ δύναμαι κατανοῆσαι τὴν ἐν ἐμοὶ ῥᾳθυμίαν καὶ ἀμέ-
λειαν. οἴμοι, ὅτι προλαβοῦσα ἡ ἁμαρτία, νομὴν ἐν ἐμοὶ εὑροῦσα καθ᾽ ἑκά-
στην ἀμαυροῖ καὶ βυθίζει με, καὶ παροργίζειν τὸν Θεὸν ὁ τάλας οὐ παύομαι· μὴ
φοβούμενος τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον. καὶ μὴ τρέμων τὰς ἀθανάτους τιμωρίας.
συνήθειαν γὰρ λαβοῦσα ἡ ἁμαρτία, ἕλκει με εἰς παντελῆ ἀπώλειαν. ἐμαυτὸν
γὰρ ἐλέγχω καὶ οὐ παύομαι ἐξομολογούμενος. ἀλλὰ πάλιν ἐπιμένω τοῖς κακοῖς.
βλέπων, οὐχ ὁρῶ, ἐπειδὴ μετανοῶν πλημμελῶ. οὐ γνωσιμαχῶ πρὸς τὴν διά-
γνωσιν τῶν γινομένων. ἀλλὰ τῆς ἐμῆς κατηγορῶ μετανοίας, ἐπειδὴ ὡς δοῦλος
εἰμὶ τῆς ἁμαρτίας. αὐτῇ ὑποτάσσομαι. καὶ φυγεῖν δυνάμενος, τελοῦμαι αὐτῇ
διὰ τὴν βασιλεύσασάν μοι συνήθειαν. ὁ ψώνια λαμβάνω τῆς σαρκὸς, τῶν πα-
θῶν ἐπιμελούμενος. γινώσκω τὴν ἐν ἐμοὶ πρόσληψιν τῆς φθορᾶς, καὶ ὥσπερ
δοῦλος, ὅτε κελευσθῶ, εὐθὺς ἐργάζομαι αὐτήν. φεύγω τὸν μέλλοντα πόλεμον, καὶ
ὡς κύων σιδηρόδετος ἐπιστρέφω πρὸς τὸν ἐπιτάσσοντα. μισῶ μὲν τὴν ἁμαρτίαν,
ἀποδιδράσκω τὴν παρανομίαν, καὶ τῷ πάθει ἐπιμένω. κρατοῦμαι γὰρ ὁ δεί-
λαιος καὶ μὴ θέλων ὑπὸ τῆς ἡδονῆς. ἐδούλευσα τῇ φύσει πρὸς ἀνάγκην, καὶ
πηγάζει κατ᾽ ἐμοῦ τὴν ἁμαρτίαν, ὠνηθεῖσα τὴν προαίρεσιν. ἀναβρύουσι κα-
τ᾽ ἐμοῦ τὰ πάθη, ἐπεὶ τὴν διάνοιαν ἥνωσα τῇ σαρκὶ, καὶ χωρισμὸν οὐ παραδέ-
χεται. σπεύδω τὴν προαίρεσιν μεταβαλεῖν, καὶ ἡ προλαβοῦσα κατάστασις
ἀνθίσταταί μοι. ἐπείγομαι ὁ ταλαίπωρος τοῦ ἐλευθερῶσαί μου τὴν ψυχὴν, καὶ
εἰς πολύ με χρέος συνωθεῖ, ὁ κακὸς δανειστής. οὐχ ὑπομιμνήσκει τὴν ἀνταπό-
δοσιν, ἀλλὰ φιλοτίμως κιχρᾷ, μηδέποτε ἀπολαμβάνειν βουλόμενος. μό-
νον τὴν δουλείαν αἱρεῖται, καὶ δίδωσιν, ἵνα πλουτήσω ἐν τοῖς πάθεσι. καὶ τὸ
χρέος οὐκ εἰσπράττεται. θέλω ἀποδοῦναι ἐγὼ, κἀκεῖνος προστίθησιν. ἐὰν δὲ καὶ
δι᾽ αὐτὸ, μικρὸν ἐμαυτὸν βιάσω, προστίθησιν ἕτερα, ἵνα ἐκ τῶν αὐτοῦ ὀφθῶ
καταβαλλόμενος. καὶ ὁρῶν ὅτι ἡ συνέχεια τοῦ χρέους πείθει με εἶναι ἁμαρτω-
λὸν, εἰσάγει μοι νεωτέρας ἐπιθυμίας. καὶ ποιεῖ ἐπιλανθάνεσθαι τῶν παθῶν.
ἵνα μὴ ἐξομολογήσωμαι, συντυγχάνω τοῖς ξένοις πάθεσι. καὶ ἀπασχολού-
μενος εἰς λήθην τῶν προτέρων ἔρχομαι. συντίθεμαι τοῖς ἐπελθοῦσι, καὶ
πάλιν χρεώστης εὑρίσκομαι. προστρέχω αὐτοῖς ὡς φίλοις, καὶ κιχρῶντές μοι
πάλιν, ὡς δεσπόται εὑρίσκονται. καὶ ὁ πρὸ μικροῦ σπουδάζων ῥυσθῆναι, γί-
νομαι δι᾽ αὐτῶν δοῦλος πολυπρατος. σπεύδω ἐκκόψαι αὐτῶν τοὺς δεσμοὺς, καὶ
ὑπὸ ἑτέρων ἄφνω κατέχομαι. σπεύδω ἀπαλλαγῆναι τῆς στρατιᾶς τῶν παθῶν,
καὶ διὰ δωροληψιῶν ὡς οἰκονόμος αὐτῶν εὑρίσκομαι. Ὢ τῆς ἐξουσίας ἐν ἐμοὶ
τῶν παθῶν τῆς ἁμαρτίας. ὢ τῆς δεσποτείας τοῦ κακοτέχνου καὶ δολίου δρά-
κοντος. ὅτι πρὸς τὴν φύσιν καὶ τὰς ἀγορασίας πραγματεύεται, καὶ τοὺς ἀρ-
ῥαβῶνας δίδωσιν. ἵνα πωλήσῃ αὐτῇ τῇ ἁμαρτίᾳ τὴν διάνοιαν. ἔπεισε κο-
λασκεῦσαί μου τὴν σάρκα, τοῦ παραστῆσαι αὐτὴν εἰς λειτουργίαν τῆς ψυχῆς, καὶ

ἡττη-

ἡττήθην ὑπὸ τῆς ἡδονῆς εἰς ἀκρασίαν. ἐφ' οἷς καὶ εἰς ἀκρασίαν ὕπνου ξαπεὶς, παντελῶς τὴν λειτουργίαν μου ἐστερήθην. εὐχομένῳ μοι παρέχεμοι πρόστινα ἡδονὴν εὐτελῆ ἔννοιαν, καὶ κρατεῖ δι' αὐτῆς, ὡς ἐν σχοινίῳ χαλκῷ τὴν εὐτελῆ διάνοιαν. θέλουσαν δὲ φυγεῖν, οὐκ ἐᾷ διὰ τὸν σύνδεσμον. ἀσφαλίζεται οὖν ἡ ἁμαρτία τὴν διάνοιαν. καὶ κλείει τὴν θύραν τῆς γνώσεως. ἀεὶ τηρεῖ τὸν νοῦν ἡ κακία, ἵνα μὴ πρὸς τὸν Θεὸν συμφωνήσας κωλύσῃ πραθῆναι τὴν σάρκα. παράγει τὸ πλῆθος τῶν συμπεπλεγμένων μοι λογισμῶν, καὶ πείθει, ὅτι οὐκ ἔστι περὶ τοῦ μικροῦ τούτου ἔτασις. καὶ ὅτι οὐ δύναται γνῶσις εἶναι περὶ αὐτῶν, καὶ ὅτι λήθῃ τὰ τοιαῦτα παραβληθήσεται. ἐγὼ δὲ ἐνώπιόν μου προβάλλω τὸν ἐμὸν ἔλεγχον, καὶ οἶδα ὅτι ἐμοὶ ἐπήρτηται ἡ κόλασις. τούτοις με συνέχει. τούτοις με καταδεσμοῖ. τούτοις με πωλεῖ καὶ ἀγοράζει. τούτοις με πλανᾷ, τούτοις με κολακεύει, καὶ ὑποσπάσει. ὥς φησιν ὁ Ἀπόστολος, ὅτι σαρκίνος ἐστὶ πεπραμμένος ὑπὸ τὴν ἁμαρτίαν. ἡ ἁμαρτία γὰρ ἐν τῇ σαρκί μου οὖσα, δεσπόζει τῆς διανοίας. κρατεῖ τὴν ψυχὴν ἐπὶ αἰτίᾳ τῇ σαρκὶ χρωμένη. καὶ τὴν ψυχὴν δι' αὐτῆς καταπονεῖ. ἐὰν βουληθῇ μαστίξαι, τουτέστι νηστεῦσαι, ἢ ἀγρυπνῆσαι, δι' αὐτῆς αὐτὴν καταπονεῖ, ὡς ἰδίαν ἐν ἁλύσει, ὡς πρόβατον ἐπὶ σφαγὴν, καὶ ὡς πετεινὸν ὑψιπετὲς ταύτην κατέδησε. καὶ ὡς ἰσχυρὸν γίγαντα, δι' αὐτῆς ~~τῆς σαρκὸς δέσμει χεῖρας~~ καὶ πόδας αὐτῆς. οὔτε φυγεῖν δύναμαι, οὔτε βοηθῆσαι ἐμαυτῷ. οὐαί μοι τυφλὸς ὁ βλέπων, καὶ νεκρὸς εἰμὶ ὁ ζῶν. γέγονα ὡς κύων ὁ ἄνθρωπος καὶ ὁ νοερὸς ὡς κτῆνος παραδέχομαι ἐλέησον σεαυτὴν ὦ ψυχή. σπεῦσον πρὸ τῆς ἀποφάσεως. ἐπίχθητι πρὸ τοῦ χωρισμοῦ. ἵνα μὴ ἀποκλεισθῶμεν σὺν ταῖς μωραῖς παρθένοις. ὅπου οὐκ ἔστιν ἰδεῖν ζωὴν βροτῶν, ἢ λογίσασθαι περὶ δικαιοσύνης. ὅπου οὐκ ἔστι πάλιν ζωὴ, καὶ θάνατος ἐπείγεται. ὅπου οὐκ ἔστι σὰρξ, δι' ἧς ὁ ἐχθρὸς λυκτηρίζεται, ὑπὸ τῆς ἀσθενείας αὐτῆς ἡττώμενος. Ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου. καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. ἐὰν ἐλεήσῃς με, θέλω ἀπαλλαγῆναι τῆς οἰκτρᾶς τῶν παθῶν διαθέσεως. ἐὰν ἐμὲ ἐλεήσῃς, ποθῶ τὴν πρὸς τὴν σὴν ἀγαθότητα ἄρασθαι ὑπακοήν. ἐὰν ποιήσῃς κατὰ τὸ πλῆθος τῆς χρηστότητός σου, λυτρωθήσομαι τῆς ἁμαρτίας. καὶ ἐὰν ἐκχέῃς ἐπ' ἐμὲ τὴν χρηστότητά σου, σωθήσομαι. πείθομαι, ὅτι δύνασαι. καὶ οὐκ ἀπαγορεύω ἐμαυτὸν τῆς σωτηρίας. οἶδα ὅτι νικᾷ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, τὴν πληθὴν τῶν ἁμαρτιῶν, οἶδα ὅτι πάντας ἠλέησας καὶ ἐλεεῖς τοὺς ἐπιστρέφοντας ἐξ ὅλης τῆς ἰσχύος αὐτῶν. ὁμολογῶ κἀγὼ, ἀπήλαυσα τῆς χάριτός σου πολλάκις, ἀλλὰ μετὰ ταῦτα ἀθετήσας τὴν χάριν σου, ἥμαρτον ὡς οὐδείς. ἀλλ' ὁ νεκροὺς ἐγείρας, ἔγειρον κἀμὲ νεκρὸν ὄντα τῇ ἁμαρτίᾳ. καὶ ὁ τυφλοὺς θεραπεύσας, φώτισον τοὺς ἐσκοτισμένους ὀφθαλμοὺς τῆς καρδίας μου. ὁ ἐκ στόματος τοῦ ὄφεως τὸν Ἀδὰμ λυτρωσάμενος, ἔκσπασόν με ἐκ τοῦ βορβόρου τῶν ἀνομιῶν μου, ἐπεὶ πρόβατον εἰμὶ σὸν, καὶ λεοντόβρωτον γέγονα διὰ τὰ ἐμὰ θελήματα. κύων γέγονα ταῖς ἁμαρτίαις, ἀλλ' υἱὸς γενήσομαι, ἰαθεὶς τῇ χάριτί σου, ἀπεβλήθην ὡς νεκρὸς, ἀλλ' ἐὰν θελήσῃς καθαρισθήσομαι. οἶδα ὅ-

τι μετὰ

τι μετὰ τὴν γνῶσιν ἥμαρτον, ἀλλ' ἔχω τοὺς Ἁγίους σου ὑπὲρ ἐμοῦ πρεσβεύοντας. ὑπερβάλλω πάντας ταῖς ἁμαρτίαις, ἐπίσταμαι, ἀλλ' οὐχ ἡττᾶται ἡ χρηστότης σου. ὁ δεδωκὼς τῷ τελώνῃ προτέρημα, ἐπιδοίης κἀμοὶ πλείονα πεποιηκότι κακά. Σὺ Κύριε τὸν Ζακχαῖον ἠλέησας ὡς ἄξιον, ἐμὲ δὲ ἐλεήσῃς ὡς ἀνάξιον ὄντα. λύκος ἦν ὁ Παῦλος ποτέ. καὶ διώκων τὰ πρόβατα τῆς ποίμνης σου, θηρίον ὑπῆρχε, τὰ πρόβατα διασπῶν. καὶ γέγονε ποιμὴν τῇ χάριτί σου, θεραπεύων τὰ πρόβατα. καὶ οἶδα, ὅτι αὐτὸς ἐν ἀγνοίᾳ ἐποίει τὴν ἁμαρτίαν, διὸ καὶ ἀφέσεως ἔτυχε, καὶ πλείονος χάριτος. ἀλλὰ σὺ Κύριε κρίνας τὴν ἐμὴν ἐν γνώσει ἁμαρτίαν, ἐλεήσῃς τῇ ὑπερβαλλούσῃ σου χάριτι. οἴμοι, οἴμοι. αἰδοῦμαι τοὺς νῦν αἰδουμένους με, μήποτε αὐτοὺς αἰσχυνθῶ, διὰ τὰς κρυπτάς μου ἁμαρτίας. αἰσχύνομαι τοὺς τιμήσαντάς με, μήποτε κατακρίνουσί με τὸν ἐπηγγελμένον τὰ ὑπὲρ τὸν βίον. ὡς ἐκείνην βούλομαι τὴν χήραν γενέσθαι, ἥτις ἐπὶ πολὺ ὀχλήσασα τῷ Κριτῇ, τοῦ σε σκοποῦ ἐπέτυχε. καὶ ὡς ὁ φίλος ὁ ἀναιδὴς θέλω ὀφθῆναι πρὸς σὲ τὸν ὑπεράγαθον καὶ μόνον Δεσπότην, ἵνα ἐλεήσῃς ψυχήν, ἐν ἁμαρτίαις αἰχμαλωτισθεῖσαν. ἐκεῖνος ἄρτον ἐζήτει εἰς παραμυθίαν, ἐγὼ δὲ ψυχῆς λυσίπονον. ἐκεῖνος τροφὴν σαρκὸς ᾔτησεν, ἐγὼ δὲ ψυχῆς ἀνάκλησιν. Εἰσάκουσον ὁ Θεὸς ὁ ἅγιος καὶ ἀγαθὸς τῆς φωνῆς μου, καὶ τοῦ κλαυθμοῦ τῶν δακρύων μου. καὶ ἐπίστρεψόν με, ἵνα ποιήσω καρπὸν μετανοίας. δρόσισόν μου τὸν καύσωνα τοῦ συνειδότος. ἀνακαίνισόν με παλαιούμενον τοῖς πάθεσι τῆς ἁμαρτίας. ὅπως τῆς δουλείας τούτων ἀπαλλαγείς, ἀναπνεύσω ἡδέως, τὸν τῆς ἐλευθερίας ἀέρα, καὶ μετὰ χαρᾶς καὶ εὐφροσύνης δοξάσω τὴν σὴν ἀγαθότητα. οἶδας ὦ Δέσποτα, ὅτι ἀπὸ πικροῦ πόνου τῆς ψυχῆς μου, τολμῶ ταῦτα φθέγγεσθαι ἐνώπιόν σου. οἶδα κἀγὼ ὁ ἁμαρτωλός, ὅτι εὔσπλαγχνος εἶ Κύριε, καὶ θέλεις μεταβληθῆναί με. ἀλλ' ἐπιμένεις τὴν ἐμὴν διάθεσιν. ἐλεῶν γάρ, διδάξαι βούλεσαι, καὶ συγγινώσκων, θέλεις με κτήσασθαι κοινωνὸν τῆς σῆς Βασιλείας. φεῦ τῆς ἐμῆς ἀναισθησίας. φεῦ τῆς ἀθλιότητος. ὦ παχεῖα καὶ θεῶδες ψυχή. ὦ καρδία διεστραμμένη. ὦ στόμα πλῆρες πικρίας. ὦ λάρυγξ τάφος ἀνεῳγμένος. τί οὐ μέμνησω τὴν ἀπαραίτητον ὁδὸν τοῦ χωρισμοῦ σου ψυχή; τί οὐχ ἑτοιμάζῃ πρὸς τὴν αὐτῆς πορείαν; τί ἀνηλεῶς χαίρεις τῇ σῇ ἀπωλείᾳ; τί ἐπισπᾶσαι αὐτῇ τὰς αἰωνίους τιμωρίας; τί ποιεῖς ὦ ψυχή, διάγουσα ὡς ἄλογον ἀσύνετον; οἴμοι, πῶς τοῦ φωτὸς προαιροῦμαι τὸ σκότος; πῶς τῇ ζωῇ προτιμῶ τὸν θάνατον; πῶς τῆς σήμερον οὔσης ἡδονῆς καὶ αὔριον οὐκ οὔσης, τῶν αἰωνίων ἀγαθῶν προηγοῦμαι, οἴμοι, πῶς τῆς ἡλιομόρφου ἐκείνης στολῆς, τὴν σκοτεινὴν καὶ μέλαιναν ἀμφιέννυσθαι προαιροῦμαι; πῶς τῆς Βασιλείας προτιμῶ τὴν ζοφερὰν τοῦ ᾅδου ἐνοίκησιν; οἴμοι τῷ ἁμαρτωλῷ, ὅτι ἐγὼ μόνον ἐν γνώσει ἑκὼν τραυματίζομαι. ἐλθὲ εἰς σεαυτὴν ὦ ψυχή. φοβήθητι τὸν Θεόν. θεράπευσον αὐτὸν πάσῃ ἀρετῇ. ἵνα μὴ δέξῃ ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματά σου. πόθησόν σου τὸν Θεόν. καὶ πορεύου εἰς τὴν ὁδὸν αὐτοῦ εὐμενῶς συνεὶς ὦ ψυχή, ὅτι ὁ αἰὼν οὗτος σκάμματι ἔοικε. καὶ ὁ δράκων ἰσχυρῶς πάντας ἀγωνίζεται νικῆσαι. ὑπό τινων μὲν νικᾶται καὶ καταπατεῖται. τι-

νὰς δὲ

νὰς δὲ αὐτὸς νικᾷ καὶ καταπατεῖ. ὑπό τινων καταβάλλεται καὶ μυκτηρίζεται· τινὰς δὲ αὐτὸς καταβάλλει καὶ μυκτηρίζει. οἱ μὲν διὰ τῆς πλάνης αὐτοῦ ἡττῶνται, οἱ δὲ διὰ τῆς πάλης αὐτοῦ στεφανοῦνται. οἱ μὲν διὰ τῆς πικρότητος αὐτοῦ, τῆς τερπνότητος τῆς αἰωνίου ζωῆς τυγχάνουσιν· οἱ δὲ διὰ τῆς γλυκύτητος αὐτοῦ, τὴν πικρότητα τῆς αἰωνίου κολάσεως εὑρίσκουσιν. οἱ μὲν διὰ τῆς εἰς ἄκρον ἀκτημοσύνης εὐχερῶς αὐτοῦ περιγίνονται. τῶν δὲ διὰ τὴν περιβολὴν τῶν γηΐνων εὐχερῶς αὐτοῖς περιγίνεται. τοῖς μὲν ποθοῦσι τὸν Θεὸν ἐξ ὅλης ψυχῆς, ὁ πόλεμος αὐτοῦ, ὡς οὐδὲν ἐστι. τοῖς δὲ ποθοῦσι τὸν Κοσμον, ὁ πόλεμος αὐτοῦ δυσχερὴς καὶ ἀβάστακτος. σύνες ψυχὴ ἀθλία, ὅτι ἡ χαρὰ τοῦ αἰῶνος τούτου, καὶ ἡ τρυφὴ, καὶ ἡ ἄνεσις, ἀνάμεσοι λύπης καὶ πικρότητος εἰσίν. ἡ δὲ θλίψις, καὶ ἡ νηστεία, καὶ ἡ κακοπάθεια, χαρὰν ἀνεκλάλητον, καὶ ζωὴν αἰώνιον προξενοῦσιν. ἐπίστρεψον ὦ ψυχὴ, ἀγώνισαι ἐν ἡσύχῳ καὶ ἀμεταστρεπτί. ἵνα ὅταν ἔλθῃ ἡ ὥρα τοῦ θανάτου καὶ χωρισμοῦ, μὴ εὕρησε ἀνέτοιμον. ἐννόησον ὦ ψυχή μου εἰς τὴν σὴν κλῆσιν, καὶ εἰς τὸ σὸν πολίτευμα, πῶς διάγεις. ἕνεκεν τίνος, καὶ ἕως πότε σὺ λυπῇ καὶ στενάζεις ὦ ψυχὴ ἐλευθέρα; κατανύγηθι καὶ προσπεσον. ἱλέωσαι τὸν πανοικτίρμονα Θεόν. ὅπως σε λυτρώσῃ πάντων τῶν ἐνόντων σοι λυπηρῶν. διὰ πρεσβειῶν πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνος αὐτῷ εὐαρεστησάντων. ὅτι αὐτῷ πρέπει πᾶσα δόξα καὶ τιμὴ καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἶθ᾽ οὕτως τὸ Ἀπαιλε ἀμόλωυτε. Καὶ ἀπόλυσις.

Τέλος τῇ Πέμπτῃ Ἑσπέρας.

## ΤΗ͂ ΠΑΡΑΣΚΕΥΗ͂ ἙΣΠΕΡΑΣ ΜΕΤᾺ ΤῸ ἈΠΟΔΕΙΠΝΟΝ,

Κανὼν τῆς Θεοτόκου. Ἦχος πλ. δ.

Ὠδὴ α΄. Ἁρματηλάτην Φαραὼ ἐβύθισε.

Χαῖρε κατάρας παλαιᾶς ἡ λύτρωσις, καὶ εὐλογίας πηγή. χαῖρε ζωῆς Μήτηρ, ᾅδου ἡ καθαίρεσις, θανάτου ἡ ἀναίρεσις. χαῖρε λύσις τῆς λύπης, χαρᾶς χωρίον εὐρύχωρον, χαῖρε Θεοτόκε πανύμνητε.

Ἅρμα τοῦ Λόγου λογικὸν καὶ ἔμψυχον, χαῖρε παναμώμε. τὸ λογικὸν χαῖρε, ἅρμα πολυώνυμον, ἅρμα μυριοπλάσιον. χαῖρε ἡ ἀσυγκρίτως, τῶν Χερουβὶμ ὑπερέχουσα, καὶ τῶν Σεραφὶμ ὑπερφέρουσα.

Ἱερωτέρα νοερῶν Δυνάμεων, χαῖρε Θεόνυμφε. χαῖρε κτίσεως πάσης, ἀνωτέρα φύσεως, χαῖρε Θεοῦ παλάτιον. χαῖρε πύρινε Θρόνε, χαῖρε λυχνία πολύφωτε, χαῖρε μυριώνυμε Δέσποινα.

Ῥάβδος ἐκ ῥίζης Ἰεσσαὶ βλαστήσασα, χαῖρε ἀμόλυντε. χαῖρε βλαστῷ ῥάβδου, τῆς Ἀαρωνίτιδος, διαγραφεῖσα πρότερον. μυστικῶς καὶ βαθέως, ὡς γὰρ ἐκείνη τὰ κάρυα, οὕτω τὸν Χριστὸν σὺ ἐξήνθησας. Δόξα.

Ἡ τῶν Ἀγγέλων δυσωπεῖ σε Κύριε, πληθὺς ἑκάστοτε. τῶν Μαθητῶν δῆμος, Προφητῶν ὁ σύλλογος, Μαρτύρων καὶ Ὁσίων σου. διὰ τῆς Θεοτόκου, ἁμαρτημάτων συγχώρησιν, δώρησαι ἡμῖν ὡς φιλάνθρωπος. Καὶ νῦν.

Σὲ τὴν ἐν σπλάγχνοις δεξαμένην Ἄχραντε, τὸ πῦρ τὸ ἄστεκτον. ἐκδυσωπῶ πίστει, τῆς γεέννης ῥύσασθαί με, καὶ τῆς ἀποκειμένης μοι. διὰ πλῆθος πταισμάτων, Κολάσεως ἐλευθέρωσον, σοῦ ταῖς εὐπροσδέκτοις δεήσεσιν.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἰσχυρώτατον ὅπλον, χαῖρε πιστῶν Δέσποινα. χαῖρε κραταιὰ προστασία, χαῖρε ἀντίληψις. χαῖρε βοήθεια, ἁμαρτωλῶν χαῖρε τεῖχος. τῶν προσκαλουμένων σε, χαῖρε τοῦ Κόσμου χαρά.

Σωτηρίας ἀνθρώπων, χαῖρε στερρὸν ἔρεισμα. χαῖρε τοῦ Ἀδὰμ καὶ τῆς Εὔας ἡ ἐπανόρθωσις. δι' ἧς ἀπέλαβον, τὴν παλαιὰν εὔκλειαν. χαῖρε ἡ ἀνοίξασα πάλιν Παράδεισον.

Χαῖρε ἄφλεκτε βάτε, χαῖρε φωτὸς ὄχημα. χαῖρε τοῦ Ἡλίου νεφέλη, χαῖρε περίδοξε. καὶ περιλάλητε, τοῦ Βασιλέως καθέδρα. χαῖρε πόλις ἔμψυχε Χριστοῦ τοῦ ζῶντος Θεοῦ.

Ἀπειρόγαμε Μῆτερ, χαῖρε ἁγνὴ Δέσποινα. χαῖρε ἡ ἀνήροτος χώρα καὶ ἀγεώργητος. ἡ γεωργήσασα, τὸν γεωργὸν τῶν ἁπάντων. χαῖρε γῆ ἀλήθειαν ἡ ἀνατείλασα. Δόξα

Ἐπουράνιαι τάξεις, λειτουργικὰ Πνεύματα. δῆμος Προφητῶν Ἀποστόλων καὶ τῶν Μαρτύρων σου. σὺν τῇ Τεκούσῃ σε, ἐκδυσωποῦσιν Οἰκτίρμον. παρασχεῖν συγχώρησιν τῶν ἐγκλημάτων μου. Καὶ νῦν.

Συμπαθείας με θείας, ὡς συμπαθὴς Ἄχραντε. νῦν καταξίωσαι, δυσώπει τὸν εὐσυμπάθητον. τρόπους ἀσπλάγχνους γάρ, καὶ ἀναιδεῖς κεκτημένος. μετανοίας τρόποις με νῦν ἀνακάλεσαι.

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Ἀνατολὴ τοῦ πατρικοῦ ἀπαυγάσματος. καὶ Ἡλίου, τοῦ ἐξανατείλαντος πρὸ Ἑωσφόρου ἐκ τοῦ Πατρὸς. χαῖρε Θεοτόκε. νεφέλη κούφη καὶ ἔμψυχε. Παρθένε χαῖρε Μῆτερ, χαῖρε εὐλογημένη. χαῖρε δεδοξασμένη πανάμωμε.

Σὺ τὸ χρυσοῦν θυμιατήριον Δέσποινα. τοῦ ἀστέκτου καὶ ἀΰλου ἄνθρακος, ἐν ᾧ ἐκαύθη διαρραγέν. τῆς Ἀδαμιαίας, παρακοῆς τὸ χειρόγραφον. διό σοι χαῖρε κράζω, δι' ἧς πᾶσιν ἐδόθη. ἡ χαρὰ καὶ τρυφὴ καὶ ἀπόλαυσις.

Σὺ τῶν βροτῶν δόξα καὶ κλέος καὶ καύχημα. καὶ Ἀγγέλων, σέβας καὶ διάδημα, διὸ ἡ γῆ καὶ ὁ Οὐρανὸς. μίαν Ἐκκλησίαν, στησάμενοι παναρμόνιον. τὸ χαῖρε σοι βοῶμεν, χαῖρε Δέσποινα Κόσμου. χαῖρε πάντων ἀνθρώπων βοήθεια.

Κλίνη σεπτὴ ἣν Σολομὼν προδιέγραψε. κυκλουμένην, δυνατοῖς ἑξήκοντα, χαῖρε Παρ-

ρε Παρθένε ἡ κιβωτὸς. ἡ κεχρυσωμένη, τοῦ νοητοῦ ἀπαυγάσματος. λαβὶς
ἡ θεία χαῖρε, χαῖρε βάτε πυρφόρε. χαῖρε πύλη καὶ κλίμαξ καὶ γέφυρα.

Δόξα.

Τὸ πονηρὸν ἁμαρτιῶν μου χειρόγραφον. θεία λόγχῃ, πάναγνε διάῤῥηξον, τῇ νεν-
τισάσῃ θείαν πλευρὰν. τοῦ ἐνανθρωπῆσαι, ἐκ σοῦ Παρθένε θελήσαντος. καὶ
βίβλῳ με γραφῆναι, σωζομένων δυσώπει. τὸν ἀφρόνως Θεοῦ μακρυνόμενον.

Καὶ νῦν.

Ἵνα φωναῖς χαριστηρίοις δοξάζω σε. ἵνα θείῳ, πόθῳ μεγαλύνω σε, τὴν τῷ με-
γίστῳ σου τοκετῷ, πάντας σμικρυνθέντας, πανάμωμε μεγαλύνασαν. με-
γάλως ἁμαρτῶντα, καὶ δεινῶς συμπτωθέντα. συγχωρήσεως Κόρη ἀξίωσον.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Νοερὰν σαγηνεύω. καὶ τυραννικὴν ἐναέριον φάλαγγα. παρελθεῖν ἀλύ-
πως, ἐν καιρῷ τῆς ἐξόδου μου παράσχε. ἵνα σοι τὸ χαῖρε, χαρμονικῶς
Δέσποινα κράζω. χαῖρε πάντων ἐλπὶς ἀκαταίσχυντε.

Ὡς χαρὰν συλλαβοῦσα. χαῖρε ὑπερύμνητε, χαῖρε ὑπέραγνε. χαῖρε τῆς ἁ-
γνείας, πορφυρόχροον ἄνθος ἡδύπνοον. χαῖρε παρθενίας, κοκκοβαφὲς ἐρυ-
θρὸν ῥόδον. καὶ Θεοῦ τὸ εὐῶδες ὀσφράδιον.

Μυστικὴ μυροθήκη. χαῖρε τὸ ἡδύπνοον μύρον ἡ βρύουσα. χαῖρε θεία κρήνη, ἡ
τὸ ὕδωρ τὸ ζῶν ἀναβλύζουσα. χαῖρε ἡ τὸν βότρυν, τὸν τῆς ζωῆς καρποφο-
ροῦσα, ἀγεώργητος ἄμπελος Δέσποινα.

Ἀδιόδευτε πύλη. χαῖρε ἣν διώδευσε Χριστὸς ὁ Κύριος. Παραδείσου πύλας. ἡ
ἀνοίξασα χαῖρε τῷ τόκῳ σου. χαῖρε δι' ἧς χαίρει, ὁ Οὐρανὸς καὶ γῆ χορεύει. ἡ
τὰ ἄνω τοῖς κάτω συνάψασα.

Δόξα.

Ὁ τῷ αἵματί σου Λόγε. διὰ ὑπερβλύζουσαν ἐλέους ἄβυσσον. ἐν Σταυρῷ κενώσας.
τῶν παθῶν μου τὴν ἄβυσσον ξήρανον. καὶ ἐν κατανύξει, σοὶ τῷ Θεῷ εὐαρεστῆ-
σαι. διὰ τῆς Θεοτόκου ἀξίωσον.

Καὶ νῦν.

Γενεαὶ γενεῶν σε. τὴν ἀειμακάριστον νῦν μακαρίζουσιν. Οὐρανῶν Δυνάμεις, ὡς
τὰ κάτω τοῖς ἄνω συνάψασαν. εὐφημοῦσι Κόρη, διό σε πίστει μεγαλύνω, καὶ
προστρέχω τῇ σκέπῃ σου σῶσόν με.

Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Ἡ ἔμψυχος χαῖρε Δέσποινα κόχλος, ἡ κογχύλη σῶν ἀχράντων αἱμά-
των, πορφύραυγῆ. ἐρυθρὰν ἁλουργίδα, τῷ τοῦ παντὸς Βασιλεῖ πορ-
φυρώσασα. τὴν γύμνωσιν τὴν τοῦ Ἀδὰμ, ἡ σκεπάσασα χαῖρε τῷ τόκῳ σου.

Στηρίζει μὲν τὰς καρδίας ἀνθρώπων, φυσικῶς ὁ αἰσθητὸς ἄρτος Κόρη, Χριστια-
νῶν. τὰς ψυχὰς δὲ κρατύνει, τὸ σὸν ᾀδόμενον ἅγιον ὄνομα. ἐντεῦθεν καὶ χαρ-
μονικῶς, πᾶσα γλῶσσα τὸ χαῖρε κραυγάζει σοι.

Λυχνία χρυσαυγίζουσα χαῖρε, κιβωτὸς ἡ Θεοχώρητος χαῖρε, χαῖρε σκηνή. χαῖ-
ρε ἅγιον ὄρος, χαῖρε τοῦ ζῶντος Θεοῦ πόλις ἔμψυχε. παλάτιον χαῖρε Χρι-
στοῦ, χαῖρε Τέμενος θεῖον πολύφωτον.

Ὑπέραγνε ὑπὸ βάμωμε χαῖρε, τὸ τῆς φύσεως ἐξαίρετον ἄνθος, χαῖρε κοινὴ τῶν ἀνθρώπων τοῦ γένους, φιλοτιμία καὶ χάρις θεόσδοτος. τὴν ἄτιμον φύσιν τῶν βροτῶν, ἡ τιμήσασα χαῖρε τῷ τόκῳ σου. Δόξα.

Ῥαθύμως μου τὴν ζωὴν ἐξανύων, ἀδεῶς ἐξαμαρτάνω ὁ τάλας, καὶ τὴν ἐκεῖ ἀπαραίτητον Κρίσιν, κατανοῶν ἀγωνίᾳ συνέχομαι. οἰκτειρήσόν με ὁ Θεὸς, τῶν Ἁγίων σου πάντων δεήσεσι. Καὶ νῦν.

Παλάτιον ὑψηλοῦ Βασιλέως, καὶ πυρίμορφος γεγένησαι Θρόνος, τῶν Χερουβὶμ ἀνωτέρα Παρθένε, καὶ Σεραφὶμ ὑπὲρ νοῦν χρηματίσασα. ἐντεῦθεν σοι κἀγὼ βοῶ, Παναγία Παρθένε βοήθει μοι.

Καὶ εὐθὺς τὰ παρόντα Κοντάκια, ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξὶ. σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκὶ. πᾶσαι μακαρίζουσι, γενεαὶ τῶν ἀνθρώπων. τὸ γὰρ πῦρ ἐσκήνωσεν, ἐν σοὶ τῆς Θεότητος. καὶ ὡς βρέφος θηλάζεις, τὸν Κτίστην καὶ Κύριον. ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν. τὸν πανάγιον τόκον σου, καὶ συμφώνως βοῶμέν σοι. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι. τοῖς ἀνυμνοῦσιν ἀξίως τὴν δόξαν σου. Δόξα.

Πειρασμοῖς πολυτρόποις περιπεσὼν. ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν. τῷ σάλῳ συνέχομαι, ἀμετρήτων πταισμάτων μου. καὶ ὡς θερμὴν ἀντίληψιν, καὶ σκέπην μου ἄχραντε. πρὸς λιμένα προστρέχω, τῆς σῆς ἀγαθότητος. ὅθεν Παναγία, τῷ ἐκ σοῦ σαρκωθέντι, ἀπαύστως ἱκέτευε. ὑπὲρ πάντων τῶν δούλων σου, τῶν ἀπαύστως ὑμνούντων σε. πρεσβεύουσα αὐτὸν ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι. τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου. Καὶ νῦν.

Παναγία Παρθένε Μήτηρ Θεοῦ. τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπὰ. ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι. τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα. τὴν ψυχὴν καὶ τὸ σῶμα, μολύνας ὁ ἄθλιος. οἴμοι τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι. τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος. τότε Δέσποινά μου, βοήθειά μου γενοῦ, καὶ προστάτις θερμότατος. σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Ἡ Μόνη ἀπείρανδρος, ἡ μόνη ἄφθορος χαῖρε Δέσποινα. ἡ Παρθένος καὶ Μήτηρ, ἡ παιδοτόκος καὶ ἀπειρόγαμος. τὸ ξένον χαῖρε καὶ φρικτὸν μυστήριον. χαῖρε Ἀγγέλων τρυφὴ, χαῖρε ἀνθρώπων χαρά.

Σιὼν πόλις ἔμψυχε τοῦ Βασιλέως τῶν Βασιλέων Χριστοῦ. περὶ ἧς ἐλαλήθη δεδοξασμένα. χαῖρε Θεόνυμφε. χαῖρε ἡ κλίμαξ δι' ἧς μεταβαίνομεν. πρὸς Οὐρανὸν ἀπὸ γῆς, καὶ ἐκ φθορᾶς εἰς ζωήν.

Λειμὼν θεοφύτευτος, εὐώδης κῆπος θεοβλαστούργητος. ἀνεδείχθης Παρθένε, ἀθανασίας ἄνθες ἐνθήσασα. διὸ συμφώνως τὸ χαῖρέ σοι κράζομεν. χαῖρε χαρᾶς χορηγὲ, χαῖρε πηγὴ γλυκασμοῦ.

Ὑπέρτιμε Δέσποινα, ἐξ ἀτιμίας παθῶν με λύτρωσαι. ἵνα σοι χαρμοσύνως. τὸ χαῖ-

τὸ χαῖρε κράζω, χαῖρε ἁγνείας πηγή. χαῖρε ταμεῖον πάσης καθαρότητος, χαῖρε δοχεῖον Θεοῦ, χαῖρε χωρίον Χριστοῦ. Δόξα.

Ἐμὲ τὸν βιώσαντα, ἐν ἀμελείᾳ καὶ παραβλέψαντα, τοὺς ἁγίους σου νόμους καὶ τὰ σεπτά σου Σῶτερ ἐντάλματα. οἰκτείρησον σῶσον διὰ τῆς τεκούσης σε. καὶ τῶν Ἁγίων σου πάντων παρακλήσεσι. Καὶ νῦν.

Ἀρρήτῳ κυήσει σου, φρικτῶν ἀρρήτων ἡμᾶς ἠξίωσας. Θεοτόκε πραγμάτων, διὸ φρικτῆς με ῥῦσαι κολάσεως. καὶ τῆς ἀρρήτου χαρᾶς καταξίωσον. ἵνα ὑμνῶ σε ἀεὶ τὴν πολυύμνητον.

Ὠδὴ η'. Εὐλογεῖτε παῖδες.

Ἰεσσαὶ ἐκ ῥίζης, χαῖρε ῥάβδος βλαστήσασα, χαῖρε ἀπορρήτως ἀνθηφοροῦσα, ἄνθος τὸν Χριστὸν ὡραῖον. χαῖρε πῖον ὄρος, χαῖρε κατάσκιον. χαῖρε Θεοῦ ὄρος, ἐν ᾧ κατοικεῖν ὁ Λόγος, πάντως ηὐδόκησε πρὸ τῶν αἰώνων.

Σιδηρᾷ σου ῥάβδῳ, κραταιᾶς ἀντιλήψεως, ὡς ὑλακτοῦντας κύνας, ὡς ὠρυομένους θῆρας τὰ περικυκλοῦντα τὴν ταπεινήν μου ψυχήν. ἀποσόβει πάθη δεινῶς με πολιορκοῦντα, ἵνα τὸ χαῖρε σοι Παρθένε κράζω.

Ὡραιώθης ὅλη, τὸν ὡραῖον ἐν κάλλεσιν, ὑπὲρ υἱοὺς ἀνθρώπων Χριστὸν τεκοῦσα. ἡ ἐν γυναιξὶν ὡραία, διό σοι τὸ χαῖρε κράζομεν χαίροντες. χαῖρε Θεοτόκε, ἁγνὴ κεχαριτωμένη. χαῖρε τῆς Κτίσεως ἐνδοξοτέρα.

Δανιὴλ ὃ εἶδεν, ὄρος πρὶν ἀλατόμητον, Θεογεννῆτορ χαῖρε ἐξ οὗ ἐτμήθη. ἀκρογωνιαῖος λίθος, χαῖρε Θεοδόχε ἀνθρακοφόρε λαβίς χαῖρε τῶν ἀΰλων Ἀγγέλων ἁγιωτέρα, χαῖρε τῆς Κτίσεως τιμιωτέρα. Δόξα.

Ἀνορθοῦντας ἅπαν, τὸ ἀνθρώπινον Δέσποτα, τῇ σῇ εὐσπλάγχνῳ πρός με συγκαταβάσει. ἔχθρας δὲ μεσότειχον ἐλύθη, καὶ τὰ διεστῶτα ἕνωσιν δέχεται. καὶ ὑπερυψοῦται, τὸ κράτος τῆς ἐξουσίας, καὶ δυναστείας σου εἰς τοὺς αἰῶνας. Καὶ νῦν.

Νοητὴν νεφέλην καὶ σκηνὴν ἁγιάσματος, Θρόνον Θεοῦ καὶ πύλην φωτὸς λυχνίαν. καὶ ἀνατολὴν Ἡλίου, οἱ πιστοί σε πάντες κατονομάζομεν, πάναγνε Παρθένε. διὸ τοῦ σκότους τῆς ἁμαρτίας, ῥῦσαί με μόνη εὐλογημένη.

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἰδοῦσαι πᾶσαι γενεαί, μακαρίζουσι τὴν ἀειμακάριστον, ὡς προεφήτευσας, Θεογεννῆτορ ἐκ θείου Πνεύματος. καὶ ὡς τεκούσῃ τὴν χαράν, τὸ χαῖρε βοῶμέν σοι, χαῖρε ζωῆς θησαυρέ. χαῖρε κρήνη ψυχικὸν μέλι βρύουσα.

Ὤρθωσας Δέσποινα ἁγνή, τοῦ προπάτορος Ἀδὰμ τὸ ὀλίσθημα. καὶ τῆς προμήτορος Εὔας τὴν λύπην εἰς χαρὰν ἔτρεψας. ὡς οὖν αἰτίᾳ τῆς χαρᾶς, τὸ χαῖρε βοῶμέν σοι, χαῖρε χαρὰ τῶν πιστῶν. χαῖρε τῶν Χριστιανῶν ἀγαλλίαμα.

Ἄξιον χαῖρέ σοι βοᾶν, ἐν σοὶ γὰρ οὐσιωδῶς ἡ ἀΐδιος, χαρὰ ἐσκήνωσε, Παρθένε Κόρη Θεογεννήτρια. χαῖρε Παράδεισε τρυφῆς, χαῖρε ἡ χρυσόρρειθρος, ἀθανασίας πηγή. χαῖρε νέκταρ ἀληθὲς ἡ προχέουσα.

Νύσσει με βέλει γλυκερῷ, τὴν καρδίαν ὁ σὸς πόθος πανύμνητε, καὶ ἐκβιάζει με.

χαῖ-

χαῖρε σοὶ κράζειν διὰ παντὸς καὶ βοᾶν. χαῖρε γαλήνη λιμήν, χαῖρε ἡ ποντίσασα, τὸν νοητὸν Φαραώ. γλυκυτάτη ἀδιάβατος θάλασσα. Δόξα.

Ἥλιε δόξης Ἰησοῦ, τὴν ἀθλίαν μου ψυχὴν φωταγώγησον, ταῖς παρακλήσεσι, τῆς σὲ τεκούσης ἁγνῆς Θεόπαιδος. τῶν Ἀσωμάτων λειτουργῶν, σεπτῶν Ἀποστόλων σου, Ἱεραρχῶν Προφητῶν. καὶ Μαρτύρων εὐκλεῶν καὶ Ὁσίων σου. Καὶ νῦν.

Στάζουσα θεῖον γλυκασμόν, τῶν ἁπάντων γλυκασμὸν ἡ κυήσασα, ἰῷ τοῦ ὄφεως τὴν φαρμαχθεῖσαν ψυχήν μου γλύκανον. ἀλλοτριοῦσα με πικρᾶς, ἁμαρτίας πάντοτε, τῇ μεσιτείᾳ σου. προστασία τῶν πιστῶν ἀκαταίσχυντε.

Τροπάρια Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Χαῖρε Θεοτόκε Δέσποινα, χαῖρε τὸ σκῆπτρον Δαβίδ. χαῖρε πύλη Οὐράνιε, χαῖρε βάτε ἄφλεκτε, χαῖρε ὄρος κατάσκιον. χαῖρε λυχνία, χαῖρε πανάχραντε. χαῖρε ἡ στάμνος, χαῖρε πάλατιον. χαῖρε πανάμωμε, Μήτηρ τοῦ Θεοῦ ἡμῶν, χαῖρε λαβίς. χαῖρε θεία τράπεζα, χαῖρε τοῦ Κόσμου ἐλπίς.

Χαῖρε Παρθένε Θεόνυμφε, χαῖρε πιστῶν ἡ ἐλπίς. χαῖρε Κόσμου καθάρσιον, χαῖρε πάσης θλίψεως, ἡ τοὺς δούλους σου σώζουσα. ἡ τοῦ θανάτου, χαῖρε κατάλυσις· ὁ ζωηφόρος, χαῖρε Παράδεισος. χαῖρε ἀντίληψις, τῶν προσκαλουμένων σε χαῖρε Θεοῦ. θεῖον ἐνδιαίτημα, καὶ ὄρος ἅγιον.

Χαῖρε Θεοτόκε πάναγνε, χαῖρε πηγὴ τῆς ζωῆς. χαῖρε κλίμαξ. Οὐράνιε, χαῖρε πάσης Δέσποινα, καὶ Κυρία τῆς Κτίσεως. εὐλογημένη, χαῖρε πανάμωμε. δεδοξασμένη, χαῖρε ἀμόλυντε. χαῖρε πανύμνητε, χαῖρε θεῖον σκήνωμα, χαῖρε σεμνή. χαῖρε Μητροπάρθενε, Νύμφη ἀνύμφευτε.

Χαῖρε Μητρόθεε Δέσποινα, χαῖρε ἡ μόνη ἐλπίς. τῶν βροτῶν καὶ ἀντίληψις, χαῖρε καταφύγιον, χαῖρε λυχνία φωτός. ἠγλαϊσμένον, χαῖρε παλάτιον. τὸ φωτοφόρον, χαῖρε λαμπάδιον. χαῖρε ἀμόλυντον, Παρθενίας καύχημα, χαῖρε πηγὴ βρύουσα ἰάματα, τοῖς προσκυνοῦσί σε. Δόξα.

Χαῖρε δαιμόνων ἀφάνισις, χαῖρε θυγάτηρ Ἀδάμ. ἀληθῶς ἡ ἀνθήσασα, ἄνθος τὸ ἀμάραντον, χαῖρε δόξα τῶν δούλων σου, δεινῶν ἡ λύσις, χαῖρε πανάμωμε. τὸ δῶρον χαῖρε, παρὰ Θεοῦ δωρηθέν. Κόσμου διάσωσμα, τῶν παρακαλούντων σε, χαῖρε σεμνή. χαῖρε δόξα Δέσποινα, τῶν δοξαζόντων σε. Καὶ νῦν.

Χαῖρε παλάτιον ἔμψυχον, πύλη ἱερὰ λογική. χαῖρε πόλις τοῦ Κτίστου σου, χαῖρε καταφύγιον, τῶν πιστῶν καὶ προπύργιον. ἡ προστασία τῶν πεποιθότων ἐν σοί. καὶ σωτηρία καὶ ἀπολύτρωσις. χαῖρε ἡ γέφυρα. πάντας ἡ μετάγουσα πρὸς Οὐρανόν. χαῖρε παντευλόγητε, Ἁγία Δέσποινα.

Τὸ Ἄξιόν ἐστιν, τὸ Τρισάγιον, καὶ τὰ λοιπά. Καὶ εὐθὺς τὸ παρὸν Τροπάριον, ἦχος πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς Κτίσεως, τῷ φυτουργῷ τῆς φύσεως, ἡ Οἰκουμένη προσφέρει σοι, Κύριε, τοὺς θεοφόρους Μάρτυρας ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ, τὴν Ἐκκλησίαν σου, καὶ πᾶσαν Πόλιν σε, διὰ τῆς Θεοτόκου σωτήρισον πολυέλεε.

Τὸ Κύριε ἐλέησον, μ΄. Ὁ ἐν παντὶ καιρῷ.

Εἶθ᾽ οὕτως αἱ παροῦσαι Εὐχαί.

Εὐχὴ α΄. Εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Ἀλλ᾽ ὦ Παρθένε Δέσποινα, ἄχραντε Θεοτόκε. Κυρία μου πανένδοξε, ὑπεραναγαθέ μου. ὑψηλοτέρα Οὐρανῶν, ὑπερκαθαρωτέρα. Ἡλιακῶν μαρμαρυγῶν, ἀκτίνων λαμπηδόνων. τιμιωτέρα Χερουβὶμ, καὶ πάντων ἀσυγκρίτως τῶν Οὐρανίων στρατιῶν ὑπερενδοξοτέρα. τῶν προπατόρων ἡ ἐλπὶς, τῶν Προφητῶν ἡ δόξα. τῶν Ἀποστόλων καύχημα, κήρυγμα τῶν Μαρτύρων. Ὁσίων ἐγκαλλώπισμα, καὶ Ἀσκητῶν λαμπρότης. θυμιατήριον χρυσοῦν, λυχνία φωτοφόρε. ἡ στάμνος ἡ βαστάσασα, τοῦ Οὐρανοῦ τὸ μάννα. ἡ κιβωτὸς ἡ ἀληθὴς, ὁ Θεόγραφος τόμος. ὦ βάτε ἀκατάφλεκτε, εὐρύχωρον χωρίον. καὶ ῥάβδος ἡ βλαστήσασα, τοῦ Ἀαρὼν ἐκείνου. ῥάβδος ἐδείχθης ἀληθῶς, καὶ ἄνθος ὁ Υἱός σου. Χριστὸς ἡμῶν ἀληθινὸς, Θεὸς καὶ ποιητής σου. Σὺ κατὰ σάρκα τὸν Θεὸν, ἐγέννησας καὶ Λόγον πρὸ τόκου παρθενεύουσα, ὡς καὶ μετὰ τὸν τόκον. ὑπερφυῶς ἐφύλαξας, κλεῖθρα τῆς Παρθενίας. καὶ κατηλλάγημεν Θεῷ, Χριστῷ μου τῷ Υἱῷ σου. Σὺ βοηθὸς ἁμαρτωλῶν καὶ τῶν ἀβοηθήτων. χειμαζομένων τε λιμὴν, παρηγορία Κόσμου. Σὺ ὀρφανῶν ἀντίληψις, καὶ λύτρον αἰχμαλώτων. Σὺ Μοναστῶν στερέωμα, ἐλπὶς τῶν ἐν τῷ Κόσμῳ. Σὺ τῶν χηρῶν ὑπομονὴ, ἀντίληψις καὶ σκέπη καὶ τῶν Παρθένων καύχημα, στέφανός τε καὶ τέρψις. Κόρη, σεμνὴ, Βασίλισσα, Δέσποινα, καὶ Κυρία. ὑπὸ τὰς πτέρυγας τὰς σὰς, σκέπασον φύλαξόν με. μὴ κατ᾽ ἐμοῦ καυχήσηται, Σατὰν ὁ λεθροτόκος. Σὺ γάρ μου πάναγνε λιμὴν, σύ μου ἡ προστασία. καὶ οὐ γινώσκω Δέσποινα, καταφυγὴν ἑτέραν. καὶ πάλιν ἱκετεύω σε, μετὰ πολλῶν δακρύων. μεσίτευσον πανάχραντε, τῷ σῷ Υἱῷ καὶ Κτίστῃ. τοῦ δοῦναι λύσιν τῶν ἐμῶν, πολλῶν πλημμελημάτων. μὴ ὡς τὴν ἄκαρπον συκὴν, τὸν ἄσωτον μ᾽ ἐκκόψῃ. μᾶλλον καιρόν μοι δώρησαι, εἰς τὸ μετανοῆσαι. αἴτησαι δὲ οἰκείωσον, τὸν σὸν ἀχρεῖον δοῦλον. τοῦ εἰσελθεῖν εἰς τὰς αὐλὰς, ἐκείνας τῶν Ἁγίων. ἔνθα οὐκ ἔστι δάκρυα, οὐ θλῖψις, οὐδὲ λύπη. οὐ θάνατος, οὐ βάσανος, οὐ δὲ στενοχωρία. ἀλλὰ χαρὰ ἡ ἄρρητος, ἀπόλαυσις Δικαίων. καὶ τέρψις ἀδιάληπτος, βίος μὴ ἔχων τέλος. τρυφὴ καὶ ἀγαλλίασις, δόξα τε καὶ λαμπρότης. πλήρωσον δὲ τὸ στόμα μου, χάριτος γλυκασμοῦ σου. καὶ κίνησον τὴν γλῶτταν μου, καὶ χείλη τοῦ ὑμνεῖν σε. μετὰ ψυχὴν χαρμόσυνον, καὶ πρόθυμον καρδίαν. καὶ μέλος τὸ Ἀγγελικὸν, ἐκεῖνο τὸ ὑμνῳδές. ὃ Γαβριὴλ ἐφθέγξατο, πρὸς σὲ Παρθενομῆτορ. ἀξίωσον τὸν δοῦλον σου, τὸν ταπεινὸν Παρθένε. τοῦ λυτρωθῆναι τῶν παθῶν, καὶ πάσης ἁμαρτίας. σκόρπισον πάντα λογισμὸν, τὸν ἐκ τοῦ διαβόλου. συχνῶς μοι ἐπεμβαίνοντα, εἰς τὸ κατακρημνῆσαι. τὴν παναθλίαν μου ψυχὴν, εἰς τάρταρον τοῦ ᾅδου. ῥῦσαί με Παναγία με, ἐκ τῶν αὐτοῦ παγίδων. δός μοι τὸν φόβον τοῦ Θεοῦ, καὶ τὴν ἀγάπην ἔχειν. προαίρεσιν Θεοπρεπῆ, καὶ βίον ἡγνισμένον. ἀγάπην τε πρὸς Κύριον, ὁμοῦ καὶ τὸν πλησίον. ὑπομονὴν ταπείνωσιν, ἐγκράτειαν νηστείαν. δάκρυα κατανύξεως, καθαρτικὰ Παρθένε. ἐνθύμησιν τῶν φοβερῶν, κολάσεων ἐκείνων. ἐπιστροφήν τε τῶν κακῶν, ὧν ἔπραξα ὁ τάλας. καὶ γὰρ ἐκ προαι-

ρέσεως, ὡς σὺ Παρθενομῆτορ. ἐπιςασαι οὐκ ἔςι μοι, ἐλπὶς τῆς σωτηρίας. ἔφθειρα γὰρ ἡ χείρωσα, ψυχὴν ὁμοῦ καὶ σῶμα. ἐκ νεαρᾶς ὁ ἄθλιος, πάνυ τῆς ἡλικίας. σκεῦος ἐγίνην μιαρὸν, ἄχρηςον ἐφθαρμένον. ὅλως ἐπηκολούθησα, ὁ τάλας τῷ Βελίαρ. ἐν λογισμοῖς. ἐν ἔργοις τε, καὶ πράξεσιν ἀτόποις. ἄχρι τοῦ νῦν ὁ βδελυρὸς, καὶ ἄκοντά με ἕλκει. εἰς τὰ αὐτοῦ θελήματα, οὐαί μοι τῷ ἀθλίῳ. ἐνέδρας ὁ παμπόνηρος, βάλλει μοι καθεκάςην. καὶ λογισμοὺς κακοτελεῖς, οὓς οὐ δύναμαι βαςάζειν. συνήθειαν γὰρ ἔλαβον, κακὴν τῆς ἁμαρτίας. καὶ τυχὸν μόλις ἄν ποτὲ, βούλωμαι ἀνανῆψαι. ὅρκους φρικτοὺς ὁ ἄθλιος, καὶ συνταγὰς ποιοῦμαι. ἐξ ὅλης τῆς καρδίας μου, Κριτῇ τῷ ἀδεκάςῳ. ἄφες μοι λέγω Δέσποτα, τὰ ἁμαρτήματά μου. καὶ παύσομαι ἀπὸ τοῦ νῦν, μὴ παροργῖσαι πλέον. ὢ τῆς μακροθυμίας σου, Χριςέ μου ζωοδότα. ὢ πῶς ἀνέχει Δέσποινα, ὁ εὔσπλαγχνος Υἱός σου. ὁρῶν τὴν καταφρόνησιν, καὶ τὰς ἐπιορκίας. τὸ ψεῦδος ὅπερ κέκτημαι, τὸ ἄμετρον ὁ τάλας. ἅμα τῷ ἐπαγγείλασθαι, φεῦ μοι τῆς ἀφοβίας. καὶ τῆς καταφρονήσεως, αὖθις ἐπὶ τὰ πρῶτα. καὶ χείρων ἐπεκτείνομαι, ὁ βέβηλος καὶ ψεύςης. καὶ ὥσπερ κύων κορεσθεὶς, ἐπέκεινα τοῦ μέτρου. αὖθις ἐπὶ τὸ ἴδιον, ἔμετον ἐπιςρέφει. οὕτως ἐγὼ πορεύομαι, ςρέφων εἰς τὰ ὀπίσω, μηδ᾽ ὅλως εἰς τὴν αἴσθησιν, ἔρχομαι ὁ παντλήμων. ἀλλὰ καὶ εἰς ἀπόγνωσιν, πολλάκις ὁ βελίαρ. ῥίπτει με Παναγία μου, διὸ βοήθησόν μοι. μή με ἐάσῃς Δέσποινα, ἐπίχαρμα γενέσθαι. τοῦ πονηροῦ πανάχραντε, ἀλλὰ ἐξάρπασόν με ἐκ τῶν χειρῶν τοῦ μιαροῦ, καὶ κακοτέχνου πλάνου. καὶ δοῦλόν με ἀπέργασαι, τοῦ σοῦ Υἱοῦ Παρθένε. σκεῦός τε πάλιν εὔχρηςον, Πνεύματος Παναγίου. τοῦ σοὶ ἐπισκιάσαντος, χρόνοις ἐν τοῖς ἐσχάτοις. καὶ σῶσόν με πανάχραντε, ὡς θέλεις καὶ ὡς οἶδας. καὶ δός μοι τοῦ δοξάζειν σε, καὶ λέγειν ἐκ καρδίας. Χαῖρε τὸ ᾆσμα Χερουβὶμ, καὶ ὕμνος τῶν Ἀγγέλων. χαῖρε εἰρήνη καὶ χαρὰ, τοῦ ἀνθρωπίνου γένους. χαῖρε Παράδεισε τρυφῆς, χαῖρε ζωῆς τὸ ξύλον. χαῖρε τὸ τεῖχος τῶν πιςῶν, λιμὴν κινδυνευόντων. χαῖρε ἀνάκλησις Ἀδὰμ, χαῖρε τῆς Εὔας λύτρον. χαῖρε πηγὴ τῆς χάριτος, καὶ τῆς ἀθανασίας. χαῖρε Ἁγίου Πνεύματος, κῆπος ἐσφραγισμένος. χαῖρε Ναὲ θειότατε, χαῖρε Θρόνε Κυρίου. χαῖρε ἁγνὴ ἡ δράκοντος, τοῦ ἀρχεκάκου κάραν, θλάσασα καὶ εἰς ἄβυσσον, ῥίψασα δεδεμένον. χαῖρε τὸ καταφύγιον. τῶν καταπονουμένων. χαῖρε ἀρᾶς ἡ λύτρωσις, δι᾽ ἧς χαρὰ τῷ Κόσμῳ. ἐδείχθης πανάμωμε, τῷ σῷ Παρθένε τόκῳ. χαῖρε ἡ Μήτηρ τοῦ Χριςοῦ. Υἱοῦ Θεοῦ τοῦ ζῶντος. ᾧ πρέπει δόξα καὶ τιμὴ, προσκύνησις, καὶ ὕμνος. νῦν καὶ ἀεὶ καὶ πάντοτε, εἰς πάντας τοὺς αἰῶνας.

Εὐχὴ β΄. Εἰς τὴν Δέσποιναν Θεοτόκον.

ΗΜεῖς δέ σε πανάχραντε. Μῆτερ εὐλογημένη. τοῦ γλυκυτάτου σου Υἱοῦ, καὶ τοῦ Θεοῦ τῶν ὅλων. ἄσπιλε πανάμωμε, ἄφθορε Παναγία. ἀπελπισμένων ἡ ἐλπὶς, καὶ τῶν ἀδικουμένων. αἰνοῦμεν εὐλογοῦμέν σε, ὡς κεχαριτωμένην. ὡς τὸν Χριςὸν γεννήσασαν, τὸν Κτίςην τῶν ἁπάντων. καὶ πάντες σοὶ προσπίπτομεν, καὶ σὲ παρακαλοῦμεν. ῥῦσαι ἡμᾶς πανάχραντε, ἀπὸ παντοίων νόσων. ἀπὸ παντοίων πειρασμῶν, τῶν ἐκ τοῦ διαβόλου. Γενοῦ ἡμῶν μεσίτρια, ἐν ὥρᾳ καταδίκης. καὶ τοῦ πυρὸς τοῦ μέλλοντος, ἐξάρπασον Παρθένε. σὺ γὰρ ἐλπὶς Χριςιανῶν,

ὑπάρ-

ὑπάρχεις Παναγία. καὶ σὲ δοξάζομεν ἁγνὴ, εἰς πάντας τοὺς αἰῶνας.

Εὐχὴ γ΄.

Δέσποινα Θεοτόκε, ἄνοιξόν μοι τὴν θύραν τῆς μετανοίας, δός μοι Παναγία πηγὴν δακρύων. Μῆτερ Θεοῦ παράσχου μοι κατάνυξιν, καὶ σώφρονα καρδίαν. ἀπείρανδρε ἀλόχευτε, ἀνάρχου Λόγου Μῆτερ. ἐμὲ τὸν ὑπὲρ πάντα ἄνθρωπον ἡμαρτηκότα σῶσον. δός μοι Δέσποινα δάκρυα μετανοίας, ἵνα ἐκπλύνω ἅπαντα τὸν ῥύπον τῶν κακῶν μου. Θεοτόκε ἡ ἐλπὶς τοῦ Κόσμου, μὴ παρίδῃς με τὸν σὸν οἰκέτην. ἔνδοξε, πανάμωμε, ἀπειρόγαμε Θεοτόκε, μῆτερ Χριστοῦ τοῦ Θεοῦ. προσάγαγε τὴν ἡμετέραν προσευχὴν, τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν. Δέσποτα Κύριε, δέξαι τὴν δέησιν τῆς τεκούσης σε ὑπὲρ τοῦ ἀναξίου δούλου σου. Εἰ καὶ ἐγὼ ὡς ἄνθρωπος ἥμαρτον, σὺ δὲ ὡς φιλάνθρωπος καὶ εὔσπλαγχνος, διαλλάγηθι. μακρόθυμε καὶ πολυέλεε Κύριε, δεῖξον ἐπ᾽ ἐμὲ τὴν φιλανθρωπίαν σου. φύλαξόν με Κύριε, ὡς κόρην ὀφθαλμοῦ, ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσῃς με. Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ. καὶ τῶν. δακρύων μου μὴ παρασιωπήσῃς. Κύριε δός μοι τὰ τοῦ Πέτρου δάκρυα, καὶ τῆς Μαρίας τὸν κλαυθμὸν· τοῦ τελώνου τὸν στεναγμὸν, καὶ τῆς πόρνης τὸν ὀδυρμόν. καὶ δός μοι Κύριε κατάνυξιν καὶ ταπείνωσιν, καὶ πηγὴν δακρύων, καὶ ὑπομονὴν. καὶ καρτερίαν. Θεοῦ τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου. τὴν ταπεινήν μου ψυχὴν ἐπίσκεψαι Κύριε, τὴν ἐν ἁμαρτίαις τὸν βίον ὅλον δαπανήσασαν. ἀντιλαβοῦ μου Κύριε ἀντιλαβοῦ καὶ ῥῦσαι τὴν ψυχήν μου, ἵνα μὴ ἀπώληται. Ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπ᾽ ἐμὲ τὸν δοῦλόν σου, λυτρωθήσομαι ἐκ τῶν ἐπανισταμένων μοι ἐχθρῶν. Κύριε Κύριε δὸς τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων. ἵνα ἀποπλύνω τὸν ῥύπον τῶν ἁμαρτιῶν μου, καὶ μεγαλύνωσέ εἰς τοὺς αἰῶνας, ἀμήν.

## Πένθος, τῇ Παρασκευῇ Ἑσπέρας.

Ψυχὴ τεθλιμμένη προσέρχεταί σοι Ἅγιε Δέσποτα, καὶ μετὰ δακρύων ἐντυγχάνει σοι περὶ τοῦ λυμεῶνος ἐχθροῦ καὶ μετὰ ταπεινώσεως προσπίπτει δεομένη σου, περὶ τοῦ θλίβοντος αὐτὴν ἀντικειμένου. ἐπεὶ οὖν ἀναιδῶς σοι προσέρχεται, ἐπάκουσον αὐτῆς ἐν τάχει. καὶ καταφυγοῦσα πρὸς σὲ ποθεινῶς, ἐπίσκεψαι αὐτὴν ἐπιμελῶς. ἐὰν ὑπερίδῃς αὐτὴν τεθλιμμένην, ἀπόλλυται. ἐὰν βραδύνῃς ἐπακοῦσαι αὐτῆς, συνεχομένως ἐξέλιπεν. ἐὰν δὲ διὰ τοὺς οἰκτιρμούς σου ἐπισκέψῃ αὐτὴν, εὑρίσκεται. ἐὰν ἐπιβλέψῃς ἐπ᾽ αὐτὴν, σώζεται. ἐὰν ἐπακούσῃς αὐτῆς, δυναμοῦται. μὴ ὑπερίδῃς αὐτὴν, ἵνα μὴ ὑπολάβῃ ὁ ἐχθρὸς, ὅτι ἀποστάσιον δέδωκας αὐτῇ, καὶ ἀπέπεμψας αὐτήν. μὴ μνησθῇς τῶν κακίστων μου παροξυσμῶν, ὧν ἐγὼ παρώξυνα τὴν χάριν σου· ὦ Δέσποτα ἐλεήμων· καὶ μὴ ποιήσῃς κατὰ πάντα τὰ ἔργα μου. ἀλλὰ μᾶλλον δώρησαί μοι τῷ ἁμαρτωλῷ χρόνον μικρὸν, ἵνα

εὕρω καιρὸν μετανοίας ἀληθινῆς, φιλάνθρωπε ἀγαθέ. ἐβάστασεν ἡ χάρις σου
νεότητος ἁμαρτίας καὶ ἀνομίας πλῆθος πολύ. καὶ νῦν βαστάσεις ἀθέτησιν,
παροξυσμὸν, προπέτειαν. ἐγὼ αὐτὸς ἐπίσταμαι Κύριε, ὅτι ὤμοσας κατὰ
σεαυτοῦ. ὅτι οὐ βούλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐ-
τόν. ἀλλὰ μᾶλλον τὸ σωθῆναι ἁμαρτωλὸν ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, ὧν πράτ-
τει ἐν τοῖς σοῖς οἰκτιρμοῖς. ἡ χάρις σου Δέσποτα φιλόψυχε καθ' ἑκάστην νικᾶ-
ται ἐκ τῶν ἰδίων σπλάγχνων καὶ οἰκτιρμῶν, ἐλεῆσαι καὶ σῶσαι τοὺς ποθοῦντάς σε.
ἐπισκέπτεταί μου τὴν καρδίαν αὐτὴ συνεχῶς. καὶ ἐὰν εὕρῃ ἀνάπαυσιν, εἰσιοῦσα
κατοικεῖ ἐν αὐτῇ. ἐὰν δὲ μὴ εὕρῃ αὐτὴν καθαρὰν, ἀφίσταται εὐθέως. πάλιν δὲ
οἱ οἰκτιρμοί σου ἀναγκάζουσιν αὐτὴν ἐλθεῖν, καὶ ἐπισκέψασθαί με τὸν ἀνάξιον. ἐ-
γὼ δὲ ὁ τάλας εἰμὶ τῇ προαιρέσει τρεπτὸς, οὐχὶ δὲ κατὰ φύσιν. εὑρίσκομαι ἀεὶ
μετέωρος καὶ χαῦνος, ἢ φθονερὸς καὶ πονηρός. παρορῶ μου τὸν νοῦν ἀπὸ ῥαθυμίας. καὶ
ἐνθυμίζει με ὁ ἐχθρὸς ἐνθυμήσεις πονηρὰς, ἀσελγείας μυσαρὰς, γυναῖκας
εὐειδεῖς. γλυκαίνει μου τὸν νοῦν, καὶ μολύνει μου τὴν ψυχήν. καὶ πολλάκις ἐν ταῖς
πρότερόν μου ἀνομίαις πάλιν εὑρίσκομαι κείμενος, ὡς ἐν βορβόρῳ ἐν τοῖς ῥυ-
παροῖς λογισμοῖς. ἐλθοῦσα δὲ ἡ χάρις σου ἐν τῇ ἐμῇ καρδίᾳ, εὑρίσκει δυ-
σωδίαν, διὰ τῶν πονηρῶν λογισμῶν. καὶ ἀφίσταται εὐθέως, μὴ εὑροῦσα εἴσοδον
εἰσελθεῖν. καὶ κατοικῆσαι εἰς ἐμὲ καθὼς θέλει. πλὴν νύττει μου τὴν καρδίαν
γλυκασμῷ φωτεινῷ. ἵνα ἔλθω εἰς αἴσθησιν, ὅτι ἐπεσκέψατό με, καὶ οὐχ εὗρεν
εἴσοδον. ἵν' οὕτως γλυκανθεὶς, ἐπιζητήσω αὐτήν. οἶδα δὲ, ὅτι ὑπὸ τῆς ἰδίας
εὐσπλαγχνίας βιαζομένη ἐλεῆσαί με, οὐκ ἀφίσταται ἀπ' ἐμοῦ παντελῶς. ὢ ἀγα-
θότητος καὶ φιλανθρωπίας Θεοῦ. πῶς ποθεῖ καὶ βιάζεται πάντας ἀνθρώπους
σωθῆναι. φεῖσαι Κύριε τοῦ ἀχρείου δούλου σου. φεῖσαι εὔσπλαγχνε Σωτὴρ, τοῦ οἰ-
κείου πλάσματός σου. ἐὰν γὰρ σὺ Κύριε μὴ συνετήσῃς με τὸν ἄθλιον, καὶ δώσῃς μοι
φωτισμὸν καρδίας. οὐ δύναμαι ἀπὸ τῆς πολλῆς μου μοχθηρίας, κατανοῆσαι
τὴν ἐμὴν ἀμέλειαν καὶ χαυνότητα. ἀλλ' ἐπειδὴ συνέχομαι ὑπὸ τοῦ πικροῦ ἐχ-
θροῦ τοῦ θλίβοντός με, ἀεὶ βοῶ ἐν δάκρυσιν ἐν νυκτὶ καὶ ἡμέρᾳ, πρὸς τὴν σὴν ἀ-
γαθότητα. ὅπως ἂν λυτρώσῃς με ἐκ τῶν αὐτοῦ παγίδων. ὅτι καθ' ἑκάστην ὥραν
ἀνανεοῖ ἐπ' ἐμὲ τὰ μηχανήματα αὐτοῦ. καθ' ἑκάστην ὥραν πορνικοῖς λογισμοῖς
καὶ ἡδονῶν ἐπιθυμίαις ἐκθλίβει μου τὴν ψυχήν. ἡ δύναμίς σου Χριστὲ, ἡ ἐπιτι-
μήσασα κύμασι θαλαττίοις ἐπιτιμησάτω αὐτῷ, ὅπως ἂν καταργηθῇ ἀπ' ἐμοῦ
τοῦ ἀχρείου δούλου σου. σπεύδει γὰρ δεσποτεῦσαι τῆς ἐμῆς διανοίας, ἀπὸ τῆς γλυ-
κύτητος, καὶ τῆς καλῆς μελέτης τῶν ἁγίων σου ἐντολῶν. κατάπεμψον Δέσποτα τὴν
χάριν σου ἐν τάχει. ἵνα ἀπελάσῃ ἀπὸ τοῦ δούλου σου τὸν δράκοντα τὸν μέγαν, σὺν
πᾶσι τοῖς λογισμοῖς αὐτοῦ τοῖς αἰσχροῖς καὶ πονηροῖς. ἐπειδὴ τὰ πλήγματα τῶν
βελῶν αὐτοῦ, γεγόνασι σαπήματα ἐν τῇ ἐμῇ καρδίᾳ. ἐγὼ δὲ ὁ ἄθλιος σκεπάζω
αὐτὰ ἀπὸ τῶν ἀνθρώπων. οὐαί μοι, ὅτι ἰατρὸς ἀγαθὸς ὢν, μισθοὺς οὐ ζητεῖ παρ' ἐμοῦ
ἰάσασθαί με. καὶ ἡ ὀκνηρία μου οὐ συγχωρεῖ μοι ἀπελθεῖν πρὸς αὐτόν. ἔρχεται
αὐτὸς τοῦ θεραπεῦσαί με καὶ εὑρίσκει με ἐξιόντα τὰ βλάπτοντα τὰ ἐμὰ τραύμα-

τα. παρακαλεῖ με ἤδη παύσασθαι, καὶ ἡ ἡδύτης τῆς γεύσεως αὐτῆς, ἀπατᾷ τὴν καρδίαν μου. ὅταν φάγω, τότε μεταμελοῦμαι, ἀλλ᾽ ἡ μεταμέλειά μου οὐκ ἔστιν ἀληθής. Δοτὴρ πάντων τῶν ἰαμάτων, καὶ πατὴρ τῶν οἰκτιρμῶν σὺ εἶ μόνος ὁ Θεὸς ὁ ἀγαθὸς καὶ εὔσπλαγχνος. ὁ δωρούμενος ἀεὶ ἀγαθὰ τοῖς αἰτοῦσι σε. ἐπειδὴ αὐτὸς ἐγὼ πεπείραμαι συνεχῶς ἀμέτρων σου ἰαμάτων καὶ δωρεῶν ἀγαθῶν, τῶν ἐμοὶ δωρουμένων ἡμέραν καθ᾽ ἡμέραν. ἄμετρον πλάτος ὑπάρχει ἡ χάρις τῶν ἰαμάτων σου Δέσποτα. καὶ πᾶσι τοῖς προσερχομένοις σοι παρέχει ἴασιν. καὶ γὰρ τὰ ἐμὰ τραύματα συνεχῶς ἰῶνται διὰ τῶν σῶν οἰκτιρμῶν. καὶ πάλιν σαθροῦνται διὰ τὴν ἐμὴν ἀμέλειαν. χάριν τούτων, ἀδεῶς ἱκετεύω τὴν σὴν ἀγαθότητα Χριστὲ Θεὲ ἀνεξίκακε. ἵνα ἔλθῃ ἐπ᾽ ἐμὲ συνήθως ἡ χάρις σου. καὶ ἐπισυνάξῃ τὴν ἐμὴν διάνοιαν. καὶ ἰάσηται πάλιν τὰ κρυπτά μου τραύματα. ἰδοὺ γὰρ οἱ περισπασμοὶ καὶ μετεωρισμοὶ ἀνανεοῦσιν ἀεὶ τὰ ἄδηλά μου τραύματα. αὐτὸς δὲ μακροθυμεῖς, ἰώμενος πάντοτε χάριτι καὶ οἰκτιρμοῖς. ἰᾷς ὡς εὔσπλαγχνος τὰς πικρὰς ἀσθενείας μου τοῦ ἁμαρτωλοῦ. ἐγὼ δὲ μισθοὺς ἀντὶ σῶν ἰαμάτων οὐκ ἴσχυσα ἀποδοῦναι Δέσποτα. ἰάματα γὰρ χαρίσματα τῆς σῆς ἀγαθότητος, τιμὴν ἐπάξιον οὐκ ἔχουσι. διὰ δὲ τῶν δακρύων παρέχεις αὐτὰ Σωτὴρ. καὶ διὰ κλαυθμοῦ πικροῦ χαρίζεις αὐτὰ πᾶσιν. Θεοῦ δύναμις δακρύων πόσα ἰσχύεις. δώρησαί μοι Κύριε τῷ ἀναξίῳ δούλῳ σου δάκρυα καθ᾽ ἑκάστην, καὶ φωτισμὸν, καὶ ἰσχύν. ἵνα φωτισθῇ μου ἡ καρδία ἐν προσευχῇ καθαρᾷ. πηγὰς δακρύων μετὰ γλυκύτητος βρύουσα διὰ παντὸς. ὅπως ἂν ἐξαλειφθῇ τὸ μέγα μου γραμματεῖον ἐν δάκρυσιν ὀλίγοις. καὶ κατασβεσθῇ δι᾽ ὀλίγου κλαυθμοῦ τὸ πῦρ, τὸ δι᾽ ἐμοῦ καιόμενον. εἰ γὰρ ἐνταῦθα κλαύσω, οἶδα ὅτι ἐκεῖ ῥυσθήσομαι, τοῦ πυρὸς τοῦ ἀσβέστου καὶ αἰωνίου. ἰδοὺ γὰρ συνάγω τοὺς λογισμούς μου πανταχόθεν. καὶ οὔπω ἠλευθερώθην ἀπὸ τῶν ἐνεργειῶν τῶν πονηρῶν πνευμάτων, τῶν μελλόντων με κωλύειν διὰ τούτων ἐν τῷ ἀέρι. οὔπω ἔγνων τὸ βάρος τοῦ πλήθους τῶν ἁμαρτιῶν μου. οὔπω ἠλευθερώθην ἀπὸ τῶν αἰτιῶν τῆς γεέννης. τὰ ἕλκοντα εἰς αὐτὴν, ἔτι καρποφοροῦσιν ἐν ἐμοὶ. καὶ πάντα τὰ ἔργα αὐτῆς κινοῦνται ἐν τῇ καρδίᾳ μου. οἱ κατακοντίζοντές με εἰς αὐτὴν, ἔτι καρποφοροῦσιν ἐν τῇ σαρκί μου. ἕως πότε ὁ τάλας μεθύω ἄνευ οἴνου, καὶ ἀμελῶ οὕτως εὐχῶν, οὐαί μοι, φωνὴ ἐστὶν ἐν τοῖς ὠσί μου, ὅτι πρόκειταί μοι κόλασις. ὅτι κόπους παρέχουσί μοι αἱ ἁμαρτίαι μου Κύριε, γινώσκω. καὶ ὅτι ἠλεημένος παροργίζω σε, οὐκ ἀγνοῶ, καὶ ὅτι καθ᾽ ἑκάστην παροξύνω τὴν σὴν μακροθυμίαν, πρὸ ὀφθαλμῶν ἔχω τὴν ἐμὴν πικρότητα. καὶ ὅτι βαστάζεις με διὰ τὴν πολλήν σου ἀγαθότητα, οὐκ ἐπιλανθάνομαι. Δώρησαί μοι Κύριε φάρμακον ἐπιστροφῆς, ἵνα γνῶ τῶν πικρῶν μου τραυμάτων. δώρησαί μοι Κύριε εἰσελθεῖν εἰς τὸ ἅγιον τῆς ἐγκρατείας στάδιον, δώρησαί μοι ἐν κατανύξει καρδίας διελθεῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. φώτισον τοὺς ἐσκοτισμένους ὀφθαλμοὺς τῆς διανοίας μου, καὶ φύλαξον αὐτὴν. ἵνα μὴ σκοτίζεται ὑπὸ τοῦ δολίου ἐχθροῦ τὸ ὀπτικὸν τῆς ψυχῆς μου. καὶ ἐνδυνάμωσόν με, ὅπως κἂν μίαν ἑβδομάδα προθύμως ἐργάσωμαι ἐν τῷ σῷ ἀμπε-

λῶνι. ἐπειδὴ ἐξέλιπεν ὁ χρόνος τῆς ζωῆς μου ἐν ματαιότητι, καὶ ἐν λογισμοῖς αἰσχροῖς. ὥρα ἑνδεκάτη ἐστὶν ὁ χρόνος τοῦ βίου μου τοῦ ματαίου. κυβέρνησον Κύριε τὸ σκάφος τῆς ἐμῆς πραγματείας. καὶ δώρησαι σύνεσιν τῷ ἀτελεῖ ἐμπόρῳ. ἵνα ἐμπορεύσωμαι τὴν ἐμαυτοῦ πραγματείαν, ἕως καιρὸς ἐστί μοι. καὶ γὰρ τοῦ σκάφους ὁ πλοῦς, ἤδη ἔφθασεν εἰς τέλος. μέγας χειμὼν ἐστὶ, καὶ ὁ καιρὸς προσκαλεῖταί με τὸν μετέωρον. Δεῦρο δεῖξον ὀκνηρὲ πᾶσαν ἐμπορείαν τοῦ χρόνου τῆς ζωῆς σου. καὶ ὥρα θανάτου φοβεῖ με τὸν ἄθλιον. ὥρα γὰρ τοῦ χωρισμοῦ ἦλθε πρὸ ὀφθαλμῶν μου. καὶ σφόδρα ἐφοβήθην, κατανοήσας τὴν ἐμὴν πενίαν. ἀντὶ τοῦ χαρίσασθαί με, μᾶλλον ἐφοβήθην, μὴ ποιήσας ἄξια ἔργα πρὸς τὴν χάριν. φοβερὰ ὄντως ἐστὶν ὦ ψυχὴ παρουσία θανάτου ἐμπαθέσι, καὶ ἁμαρτωλοῖς, καὶ χαύνοις. καὶ τοῖς μὴ σπουδάζουσι πολιτεύεσθαι ἁγνῶς, ἐν τῷ ματαίῳ βίῳ τούτῳ. οἱ μὲν γὰρ ἐργάται καὶ τέλειοι ἀσκηταὶ, ἀγάλλονται ἐν τῇ ὥρᾳ τοῦ χωρισμοῦ, ὁρῶντες πρὸ ὀφθαλμῶν τὸν κάματον τὸν μέγαν τῆς αὐτῶν ἀσκήσεως. ἀγρυπνιῶν. μετανοιῶν, νηστειῶν, εὐχῶν, δακρύων, σάκκων. σκιρτᾷ αὐτῶν ἡ ψυχὴ, ὅτι εἰς ἀνάπαυσιν προτρέπονται ἀπελθεῖν ἐκ τοῦ οἰκείου σώματος. λύπη δὲ σφοδροτάτη ἐστὶν ἡ ὥρα τοῦ χωρισμοῦ ἀνθρώπου ἁμαρτωλοῦ, ὁρῶντος πρὸ ὀφθαλμῶν τὴν αὐτοῦ ἀμέλειαν, καὶ τὴν ἀκρασίαν, καὶ τὴν χαυνότητα, καὶ τὴν ὕλην τῆς πολυκτημοσύνης. ἀλλ' οὐ συγχωρεῖται παντελῶς τι φθέγξασθαι. ἀποτιμία γὰρ κέκρηται τὸ πρᾶγμα. ὅση μεταμέλεια τότε τὴν καρδίαν λαμβάνει τοῦ ἀμελήσαντος ὧδε τῆς αὐτοῦ σωτηρίας ὅσος: ἐστὶν ὁ βασανισμὸς τῆς ψυχῆς αὐτοῦ κρυπτῶς. οἴμοι, οἴμοι, ὦ ψυχὴ. ἕνεκεν τίνος ἀμελεῖς σου τῆς ζωῆς; ἵνα τί μετεώρως διάγεις τὰς ἡμέρας τῆς ζωῆς μου; ἄφνω γίνεται ἡ κλῆσίς σου. καὶ τί ποιήσεις ἐκεῖ, ἐνταῦθα ἀμελοῦσα ἔμπροσθεν τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, τοῦ ἀδεκάστου Κριτοῦ; πῶς κλέπτει σε ὁ ἐχθρὸς, καὶ οὐ συνιεῖς ἀθλία πῶς συλᾶσαι τὸν οὐράνιον πλοῦτον, ἡμέραν καθ' ἡμέραν, καὶ ἀγνοεῖς μετέωρε; Μακρόθυμε, ἀντιλαβοῦ μου Υἱὲ τοῦ Θεοῦ, ἀναμάρτητε Χριστὲ καὶ δώρησαί μοι τὴν μελέτην τῆς μελλούσης ζωῆς. ὅπως ἂν μὴ ἔχω ποτὲ ἐν τῇ ἐμῇ καρδίᾳ, πλὴν ταύτης τῆς μελέτης. ἵνα τὰ σὰ θελήματα ἐκτελῶ πάντοτε, τῆς χάριτός σου συνεργούσης ἐμοὶ τῷ ἁμαρτωλῷ. εὐθυμῶς τε πορεύσωμαι ἐν τοῖς ἁγίοις σου προστάγμασιν. ἵνα πραγματεύσωμαι καλῶς ἐν ἀργυρίῳ ὃ αὐτός μοι δέδωκας, Βασιλεῦ Οὐράνιε. πῶς ἔχω ἄρα παραστῆναι ὁ ταλαίπωρος ἐγὼ, ἔμπροσθεν τοῦ φοβεροῦ σου βήματος; πῶς ἐγὼ ὁ ἀνυπομόνητος καὶ ἄκαρπος, σὺν τελείοις εὑρεθῶ, τοῖς ποιήσασιν ὧδε καρπὸν δικαιοσύνης; ἐν ποίᾳ διαγωγῇ γνωρισθῶ, ὅταν οἱ ἅγιοι γνωρίζουσιν ἀλλήλους ἐν πᾶσι τοῖς οὐρανίοις; ὅσιοι καὶ δίκαιοι ἐν πᾶσῳ, ἁμαρτωλοὶ καὶ φαῦλοι ἐν πυρί. Ὦ ψυχὴ ἀσύνετε, ὦ ψυχὴ ἀναίσθητε, ὦ ψυχὴ μισήσασα τὴν σεαυτῆς ζωὴν ἀεί. ἕως πότε περισπασμοὶ σύρουσί σε ἐπὶ τῆς γῆς; ἕως πότε ἕλκει σε ἡ κακὴ συνήθεια τῶν πονηρῶν λογισμῶν; οὐκ οἶδας, ὅτι οἱ πονηροὶ λογισμοὶ, ὥσπερ νέφη γίνονται σκοτεινὰ ἔμπροσθεν σου, τοῦ μὴ νήφειν πρὸς Θεὸν; καὶ σὺ μὲν προσδοκᾷς ἐν ἀμελείᾳ, ὅτι βραδύνει ἐλθεῖν ὁ Οὐράνιος Νυμφίος; ἀλλ' ὡς ἀστρα-

πὴ φανήσεται ἡ αὐτοῦ παρουσία. Γρηγόρησον ὦ ψυχή μου ἐν ὥρᾳ τοῦ πολέμου. Δεήθητι τοῦ Θεοῦ ἐνδάκρυσιν εὐχομένη. βόησον μετὰ πόνου καρδίας. Καὶ εὐθὺς καταπέμψει εἰς τὴν σὴν βοήθειαν. Ἄγγελον οἰκτίρμονα, καὶ ῥύσεταί σε ἐξ αὐτοῦ τοῦ πολέμου, καὶ τῆς συγχύσεως τοῦ ἐχθροῦ. ἱλάσθητί μοι Κύριε τῷ ἁμαρτωλῷ, καὶ συγχώρησόν μοι τὰς ἁμαρτίας μου καὶ ἐπιστρέψον με, πρὸ τοῦ ἐλθεῖν τὸ πρόσταγμα τὸ φοβερὸν, καὶ λάβειν με ἀνέτοιμον καὶ ᾐσχυμμένον. πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν Ἁγίων. ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἶθ' οὕτως τὸ Ἄσπιλε ἀμόλυντε. Καὶ Ἀπόλυσις.

Τέλος τῆς Ἀκολουθίας ὅλης τῆς Ἑβδομάδος.

## ΚΑΝΩ'Ν ΚΑΤΑΝΥΚΤΙΚΟ'Σ

### Εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Ὠδὴ α. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Πῶς μου θρηνήσω τὸν βίον τὸν ῥυπαρὸν, καὶ τὰ πλήθη Δέσποινα, τῶν ἀμέτρων μου κακῶν. τί δὲ ἐξαγγείλω σοι ἁγνή; ἀπορῶ καὶ δειλιῶ ἀλλὰ βοήθει μοι.

Πόθεν ἀπάρξωμαι λέγειν τὰ πονηρὰ, καὶ δεινά μου πταίσματα, ὁ ταλαίπωρος ἐγώ; οἴμοι τί γενήσομαι λοιπὸν ἀλλὰ Δέσποινα κἀμὲ, πρὸ τέλους οἰκτειρον.

Πᾶσαν ὁδὸν παροδεύσας ἁμαρτιῶν, σωτηρίας ἄχραντε, τρίβον εὗρον οὐδαμῶς. ἀλλὰ σοὶ προστρέχω ἀγαθὴ. μὴ παρίδῃς ἐκ ψυχῆς μετανοοῦντά με.

Τοῦ μὲν θανάτου τὴν ὥραν διηνεκῶς, ἐννοῶν πανάχραντε, καὶ τὸ βῆμα τὸ φρικτὸν. συνηθείᾳ ὅλως δὲ κακῶν. δελεάζομαι δεινῶς, ἀλλὰ βοήθει μοι. Δόξα.

Καὶ λογισμοῖς ὀλισθαίνων καὶ μολυσμοῖς, σαρκικοῖς σπιλούμενος, ἐπὶ σὲ τὴν καθαρὰν. ἀληθῶς καὶ ἄσπιλον ἁγνὴν. καταφεύγω, βοηθὸς γενοῦ τῷ δούλῳ σου. Καὶ νῦν.

Τὰ τῆς καρδίας μου πάθη τὰ χαλεπὰ, Θεοτόκε ἴασαι, τῶν ἀστάτων λογισμῶν. τὸν δεινὸν κλυδώνιον τῇ σῇ. μεσιτείᾳ πρὸς Θεὸν ἔκσπασον Δέσποινα.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Οὐκ ἔστιν ἄλλος ἐν βροτοῖς, ὃς τὰ ἄθεσμα πράξας, ἐγεννήθη ἐν Κόσμῳ, ὥσπερ ἐγὼ ἀγαθὴ ἐσκοτισμένῳ νοΐ. τὸ γὰρ θεῖον Βάπτισμα ἐμόλυνα.

Ψυχὴν ἐμόλυνα αἰσχρῶς, Δέσποινα Θεοτόκε, ἐξ ἀμέτρων πταισμάτων, ὁ ταλαίπωρος ἐγώ. καὶ πῶς λοιπὸν προσέλθω. ἀπογνώσει, ὅλως συνεχόμενος.

Τὸ κατ' εἰκόνα με ἁγνὴ, κατεσπίλωσα οἴμοι, ὑψιλόφρονι γνώμῃ, καθ' ὁμοιότητα

γάρ. καὶ ἔργοις καὶ λογισμοῖς. τῷ ἀσώτου ἔπραξα τὰ ἄθεσμα.

Εἰς τέλος ἔφθασα κακῶν, Παναγία Παρθένε, σὺ βοήθησον τάχει, Οὐρανὸς γὰρ καὶ ἡ γῆ καταβοῶσι πικρῶς. τῶν πολλῶν μου, πράξεων τὰ ἄτοπα. Δόξα.

Ναὸς γενόμενος Θεοῦ, τῇ θεογενεσίᾳ, ἑκουσίως εἰς πάθη, ὤλισθησα χαλεπὰ διό- σε Θεοῦ Ναὲ ἱκετεύω Δέσποινα βοήθει μοι. Καὶ νῦν.

Παστὰς τοῦ Λόγου ἐκλεκτή, Οὐρανίου παστάδος, ποίησον κληρονόμον, τὸν τῇ θείᾳ σου σκέπῃ. ὡς ἐν παστάδι σεπτῇ. καθ' ἑκάστην πόθῳ σε γεραίροντα.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ἀγγέλων τάγματα, βροτῶν συστήματα. Οὐρανῶν αἱ Δυνάμεις τοῦ σοῦ Υἱοῦ, φρίττουσι τὸ κράτος ἁγνή. μόνος δ' ἐγὼ ἀπογνωσθεὶς, ἀφοβίᾳ περιέχομαι.

Ἐξέστη ἅπασα, ἡ γῆ καὶ ἔφριξε. καθορῶσα δεινῶς με καὶ πονηρῶς, πράττοντα τὰ ἄτοπα. καὶ τοῦ Υἱοῦ σου τὴν πολλὴν, μακροθυμίαν καταπλήττονται.

Ναὸν ἐμόλυνα, κακῶς τοῦ σώματος. καὶ ναὸν τοῦ Κυρίου ὅνπερ βροτοὶ, τρέμοντες εἰσέρχονται. ἐγὼ δὲ οἴμοι ἀναιδῶς, εἰς πορεύομαι ὁ ἄσωτος.

Μὴ δείξῃς Δέσποινα, μηδὲ δείξῃς ξένον με. ξενωθέντα τῆς σκέπης τοῦ σοῦ Υἱοῦ, ὅλον καὶ ἀνάξιον ἀλλὰ ἀπόπλυνον κἀμὲ, ἐκ τοῦ ῥύπου τῶν πταισμάτων μου. Δόξα.

Ῥανίσιν ἄχραντε, πλευρᾶς τοῦ τόκου σου. τῶν παθῶν μου τὸν ῥύπον, καὶ τοὺς δεινοὺς, σπίλους τῆς καρδίας μου. ἐναποκάθαρον ἁγνὴ, καὶ φωτίσον καταλάμπρυνον. Καὶ νῦν.

Σταγόνα ὄμβρισον, ἐν τῇ καρδίᾳ μου. κατανύξεως Κόρη, ἡ τὴν πηγὴν, τῆς ζωῆς κυήσασα. τὰς διεκχύσεις τῶν ἐμῶν, παθημάτων ἀναστέλλουσα.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Τῷ θείῳ φέγγει σου ἀγαθὴ, φώτισον κἀμοῦ τοὺς ὀφθαλμοὺς, ἐσκοτισμένους τοῖς πάθεσι. ῥῦσαι με δαιμόνων αἰχμαλωσίας πικρᾶς. καυχῶνται γὰρ ὁρῶντες με ἀπροστάτευτον.

Φονεὺς μὲν πάλαι ἀναφανεὶς, καὶ ἀδελφοκτόνος ὁ Κάϊν, ὑπὸ Θεοῦ κεκατήσαται. τί δὲ καὶ ποιήσω ἐγὼ ὁ πάντολμος; ψυχὴν γὰρ ἀποκτείνας οὐκ ἐπαισχύνομαι.

Ἀδὰμ παρέβη μὲν ἐντολὴν, μίαν τοῦ Υἱοῦ σου Παρθένε, καὶ ἐξορίᾳ ὑπέπεσε. πῶς δὲ νῦν θρηνήσω πταισμάτων ἄβυσσον; ἐγὼ ὁ παραβάτης καὶ ἀποστάτης ἀπεῦ.

Ἠσαῦ ἐζήλωσα τὸν δεινὸν, ἐν γαστριμαργίᾳ καὶ κόρῳ, ψυχὴν καὶ σῶμα ἐρρύπωσα. μέθῃ καὶ λαγνείᾳ σπιλώσας βίον μου. καὶ τίς λοιπὸν μὴ κλαύσῃ ἐμὲ τὸν ἄσωτον.

Δόξα.

Ξένον ὡς ἔσχηκας τοκετὸν, ξένον με γενόμενον Θεοῦ, δι' ἁμαρτίας οἰκείωσον. ξένωσον ἐκ ταύτης, καὶ τῷ οἰκτίρμονι οἰκείωσον Παρθένε τῇ μεσιτείᾳ σου.

Καὶ νῦν.

Τὸν ταῖς ἐφόδοις ταῖς λῃστρικαῖς, τετραυματισμένον τὴν ψυχὴν, ἡμιθανῆ τε

τυγχά-

τυγχάνοντα. ἐν ὁδῷ τοῦ βίου, καὶ κινδυνεύοντα. διὰ τῆς σὲ τεκούσης, Λόγε ἐπίσκεψαι. Ὠδὴ ϛʹ. Τοῦ βίου τὴν θάλασσαν.

Ὁ βίος μου ἄσωτος, ἡ ψυχή μου ῥυπαρὰ, καὶ ἡ ζωὴ πανάθλιος. τὸ δὲ σῶμά μου ὅλον ἐν τοῖς κακοῖς, κακῶς κατεσπίλωσα. ἀλλὰ σπεῦσον Παρθένε καὶ βοήθει μοι.

Τὸ τέλος ἐφέστηκε, καὶ οὐ φέρω ἀγαθὴ, τὸ συνειδὸς ἐλέγχει με. καὶ παριστᾶ μοι πράξεις τὰς πονηρὰς, καὶ βίου μου τὸ ἄσωτον. καὶ τὸ βῆμα πτοοῦμαι τοῦ Υἱοῦ σου ἁγνή.

Σαρκός μου τὴν πύρωσιν, ποταμὸς ὁ τοῦ πυρὸς, ὁ φοβερὸς καὶ ἄσβεστος. ἀναμένει πανάχραντε ἀληθῶς, καὶ σκώληξ ἀκοίμητος. ἀλλὰ σβέσον μοι ταῦτα ταῖς πρεσβείαις σου.

Τρόμῳ συνεχόμενος, νῦν πτοοῦμαι ἀγαθὴ, τοῦ πονηροῦ τὰς ἔνεδρα. πρὸ τοῦ τέλους γὰρ τρίζει μοι ὁ φθορεὺς, ὀδόντας κατέχων με. ὡς αἰχμάλωτον ὄντα καὶ γυμνὸν ἀρετῆς. Δόξα.

Ἐπλήθυναν Δέσποτα, ὑπὲρ ἄμμον θαλασσῶν, τὰ πονηρά μου πταίσματα, ὡς κεκτημένος πέλαγος οἰκτιρμῶν, ἐπίστρεψον σῶσον με. παρακλήσεσι Λόγε τῆς τεκούσης σε. Καὶ νῦν.

Ἡ ῥάβδος ἡ ἔντιμος, ἡ βλαστήσασα ἡμῖν. ξύλον ζωῆς τὸν Κύριον. τὴν ταπεινὴν ψυχήν μου φθοροποιοὺς, ἐννοίας βλαστάνουσαν. τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἀποκάθαρον.

Ὠδὴ ζʹ. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἑπταπλάσιον τὴν φλόγα μοι ἐξέκαυσε, τὴν τῶν παθῶν ὁ δόλιος. καὶ θηρεύει με, θανατῶσαι ἔργοις τοῖς δεινοῖς. διὸ σβέσον ῥείθροις τῶν ἐμῶν, δακρύων Μῆτερ τοῦ Θεοῦ ταύτην καὶ σῶσον με.

Κυλινδούμενον βορβόρῳ τῶν πταισμάτων μου, μή με ἐάσῃς Δέσποινα. καὶ γὰρ βλέπων με, ἀπογνώσει ὄντα ἀγαθὴ. γελᾷ ὁ παμπόνηρος ἐχθρὸς, ἀλλὰ αὐτῇ σου κραταιᾷ χειρὶ ἀνάστησον.

Φοβερὸν μὲν τὸ Κριτήριον ταλαίπωρε, ψυχή μου καὶ ἀναίσθητε. καὶ ἡ κόλασις ἀτελεύτητος τε καὶ φρικτή. ἀλλ' ὅμως νῦν πρόσπεσον Μητρὶ, τῇ τοῦ Κριτοῦ σου καὶ Θεοῦ ἐλεηθῆναι.

Ἐπὶ σοὶ τὴν πᾶσαν Δέσποινα ἐλπίδα μου, ἀνέθηκα ὁ ἄσωτος. μὴ ἀποστρέψῃς ἀπ' ἐμοῦ τὸ πρόσωπόν σου νῦν, μὴ σπλάγχνα φιλάνθρωπα τὰ σὰ, μὴ κλείσῃς μοι Μῆτερ τοῦ Θεοῦ, ἀλλὰ βοήθει μοι. Δόξα.

Οὐρανὸς ἐπὶ τῆς γῆς σὺ ἐσχημάτισας, τοῦ Οὐρανοῦ καὶ γῆς ποιητοῦ. ὃν ἱκέτευε, τῶν τῆς γῆς με ῥύσασθαι κακῶν. καὶ μέτοχον τῶν ἐν Οὐρανοῖς, καταξιῶσαι ἀγαθῶν Θεογεννήτρια. Καὶ νῦν.

Τὴν πηγάζουσαν ἑκάστοτε καρδίαν μου, ἁμαρτημάτων ῥεύματα. ἡ πηγάζουσα σωτηρίας ὕδωρ, τοῖς πιστοῖς. καθάρισον με λοιπὸν ἐμμελῶς, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ ηʹ.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς ὁσίοις.

ΤΗ͂Σ Τριάδος τὸν ἕνα Θεὸν ἡ τέξασα, καὶ ἀγκάλαις βαστάσασα Μῆτερ Παρθένε. σβέσον τῶν παθῶν, τὴν πυρίφλογον κάμινον. καὶ δακρύων ὄμβρους παράσχου τῇ ψυχῇ μου.

Παρουσίαν θανάτου φρίττω Παναμώμε. καὶ τὴν κρίσιν ἐκείνην τρέμω καὶ δέδοικα. πράττειν δὲ κακὰ, οὐδ' ὅλως ἐπαισχύνομαι, οἴκτειρον πρὸ τέλους, πρεσβείαις σου Παρθένε.

Στεναγμοὺς ἀσιγήτους Δέσποινα δώρησαι, καὶ δακρύων μοι ῥεῖθρα ἵνα ἐκπλύνω μου πταίσματα πολλὰ, καὶ ἀνίατα τραύματα ὅπως ἐπιτύχω ζωῆς τῆς αἰωνίου.

Τῶν κακῶν μου τὰ πλήθη, σοὶ ἐξηγόρευσα, ὡς οὐδεὶς ἐν τῷ κόσμῳ ἄλλος παρώργισε. Δέσποινα ἁγνὴ, τὸν Υἱόν σου καὶ Κύριον. τοῦτον μοι ἐν τάχει κατάλλαξον Παρθένε. Δόξα.

Μή με στήσῃς ἐν ὥρᾳ Δέσποτα κρίσεως, μετὰ τῶν κατακρίτων ὄντα κατάκριτον. ἀλλὰ τὸν μικρὸν στεναγμόν μου δεξάμενος. σῶσόν με πρεσβείαις, τῆς σῆς Μητρὸς οἰκτίρμον. Καὶ νῦν.

Ὡς τὸν βότρυν τεκοῦσα τὸν ἀγεώργητον, τὸν πηγάζοντα οἶνον πᾶσι σωτήριον. μέθης με πικρᾶς ἁμαρτίας σκοτούμενον. Δέσποινα Παρθένε ἐλεύθερόν με δεῖξον.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

ἸΔοὺ προσέρχομαί σοι Πανάχραντε. φόβῳ πολλῷ, καὶ πόθῳ τὴν ἰσχὺν ἐπιστάμενος. τῆς θερμῆς πρεσβείας σου Παναμώμε, μέγιστα γὰρ ἰσχύει δέησις Δέσποινα. μητρὸς πρὸς υἱὸν Παναληθῆ, σπλάγχνοις γὰρ κάμπτεται.

Χοροὺς παράλαβε Ἀρχαγγέλων τε. καὶ τὴν πληθὺν τῶν ἄνω στρατευμάτων, τὸν Πρόδρομον. Ἀποστόλων δῆμόν τε καὶ τῶν Προφητῶν, Μάρτυρας καὶ Ὁσίους Ἱερομάρτυρας. καὶ πρεσβείαν ποίησον ἁγνὴ, ὑπὲρ ἐμοῦ πρὸς Θεόν.

Καὶ νῦν καὶ πότε τὴν σὴν βοήθειαν. εὕρω ἁγνὴ, ἐν ὥρᾳ ᾗ ἐκλείπει τὸ πνεῦμά μου. τῶν δαιμόνων θᾶττον λυτρουμένη με, ῥῦσαι τῆς τυραννίδος τούτων Πανάχραντε. καὶ μή με ἐάσῃς ἀγαθὴ, παραδοθῆναι αὐτοῖς.

Ἀρχαὶ Ἀρχάγγελοι Κυριότητες. καὶ Σεραφὶμ Δυνάμεις Ἐξουσίαι καὶ Ἄγγελοι. Ἑξαπτέρυγα Θρόνοι σὺν τοῖς Χερουβὶμ, νῦν τὸν δεδοξασμένον τόκον σου σέβοντες. σὲ Παρθενομῆτορ, εὐλαβῶς ἀεὶ δοξάζουσι.

Δόξα.

Ἐμὲ τὸν μόνον καταπατήσαντα, φρενοβλαβῶς τὸν νόμον σου Χριστὲ τὸν σωτήριον. καὶ δεινῇ παραβάσει δουλεύοντα, καὶ κατακεκριμμένον, σῶσον οἰκτείρησον. διὰ τῆς τεκούσης ἁγνῆς ὡς ὑπεράγαθος.

Καὶ νῦν.

Στρατὸς Μαρτύρων, Ὁσίων σύλλογος. Ἱεραρχῶν, Ὁσίων Προφητῶν Ἀποστόλων τε. τῶν ἁγίων Ἀγγέλων τὰ τάγματα. μετὰ τῆς σὲ τεκούσης ἐκδυσωπεῖ σε, σῶσον ἡμᾶς οἴκτειρον Χριστὲ ὡς πολυέλεος.

## ΚΑΝΟΝΕΣ ΠΑΡΑΚΛΗΤΙΚΟΙ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ

Θεοτόκον, ψαλλόμενοι ἐν πάσῃ θλίψει καὶ περιστάσει ψυχῆς.

Ὁ παρὼν, Ποίημα Θεοστηρίκτου Μοναχοῦ. Ἦχος πλ. δ.

Ὑγρὰν διοδεύσας.

Πολλοῖς συνεχόμενος πειρασμοῖς. πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν. ὢ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε. τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Παθῶν με ταράττουσι προσβολαί. πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν. εἰρήνευσον Κόρη τῇ γαλήνῃ. τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου πανάμωμε.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν. δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν. σοὶ γὰρ νῦν προσφεύγω ἀνατείνων. καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα, καὶ τὴν ψυχήν. ἐπισκοπῆς θείας καὶ προνοίας τῆς παρὰ σοῦ. ἀξίωσον μόνη Θεομῆτορ. ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι. σὲ Θεογεννῆτορ Παρθένε. σύ με κυβέρνησον. πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία. τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον. καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου. σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης. τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον. τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον. πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ. τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσεροῖς πάθεσιν. ἐξεταζομένῳ Παρθένε σύ μοι βοήθησον. τῶν ἰαμάτων γὰρ, ἀνελλιπῆ σὲ γινώσκω. θησαυρὸν πανάμωμε τὸν ἀδαπάνητον.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.

Τῶν παθῶν μου τὸν τάραχον. ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Εὐσπλαγχνίας τὴν ἄβυσσον. ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι. ἡ τὸν εὔσπλαγχνον κυήσασα. καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ἀπολαύοντες Πάναγνε. τῶν σῶν δωρημάτων εὐχαριστήριον. ἀναμέλπομεν ἐφύμνιον. οἱ γινώσκοντές σε Θεομήτορα.

Οἱ ἐλπίδα καὶ στήριγμα. καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον. κεκτημένοι σε πανύμνητε. δυσχερείας πάσης ἐκλυτρούμεθα.

ᾨδὴ ε΄.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἔμπλησον ἁγνὴ εὐφροσύνης τὴν ζωὴν ἡμῶν, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν. τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε ἁγνὴ, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν. καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλὺν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος. ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον.

Ἴασαι ἁγνὴ, τῆς ψυχῆς μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα. καὶ τὴν ὑγείαν ταῖς πρεσβείαις σου παράσχου μοι.

Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον. τὸν Κύριόν σου καὶ Υἱὸν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, καὶ πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν. καὶ δέομαι διὰ παντὸς, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα, ὦ Δέσποινα, καὶ νῦν ἡμᾶς, ἐκ παθῶν καὶ κινδύνων διάσωσον.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου, ἀλλ' ἡ Θεὸν καὶ Σωτῆρα τοῦ Κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα. σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Τὸ Κοντάκιον. Ἦχος πλ. β΄.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε. μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε. μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς. ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν. ἡ προστατεύουσα ἀεὶ, Θεοτόκε τῶν τιμώντων σε.

Ὁ Οἶκος.

Ἐκτείνουσι παλάμας, ἐν αἷς ὁ πάντων Δεσπότης, ὡς βρέφος ἐνηγκαλίσθη. διὰ πλῆθος ἀγαθότητος, μὴ καταλείπῃς ἡμᾶς, τοὺς ἀεὶ εἰς σὲ ἐλπίζοντας, τῇ ἀγρύπνῳ προστασίᾳ σου, καὶ ἀμέτρῳ συμπαθείᾳ σου. οἰκτείρησον ἡμᾶς, καὶ φεῖσαι τῶν ψυχῶν ἡμῶν, εὐσπλαγχνίας ὑπάρχουσα πηγή. σὲ γὰρ προστασίαν κεκτήμεθα πανάχραντε, ἐκ τῆς πρώην ῥυσθέντες κακώσεως. ὡς ἔχουσα σπλάγχνα οἰκτιρμῶν, τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν. ἡ προστατεύουσα ἀεὶ, Θεοτόκε τῶν τιμώντων σε.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι. ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ Κόσμῳ, ἣν προστάτιν ἀνέδειξας. ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ ἁγνὴ δυσώπησον. ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας, ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν. καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας. ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστείας Θεογεννήτρια. τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεράπευειν ἀξίωσον. ἡ τὸν Σωτῆρα, Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας. καὶ ὑπερυψοῦντας, σὲ Κόρη εἰς αἰῶνας.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέοις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε. καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε. ἵνα σε δοξάζω, ἁγνὴ εἰς τοὺς αἰῶνας.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε. ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ῥοῶν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τοῦ παντὸς ἐκ προσώπου πᾶν δάκρυον. ἀφῃρηκότα Παρθένε Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα. τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε, καὶ τεῖχος ἀκράδαντον. καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα. τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας.

Τὸ Ἄξιόν ἐστιν. Καὶ τὰ λοιπά. καὶ Ἀπόλυσις.

## ΕΤΕΡΟΣ ΚΑΝΩΝ ΠΟΙΗΜΑ ΤΟΥ ΒΑΣΙΛΕΩΣ

Κυρίου Θεοδώρου τοῦ Δούκα τοῦ Λασκάρεως. Ἦχος πλ. δ'.
Ἁρματηλάτην Φαραὼ ἐβύθισε.

Τῶν λυπηρῶν ἐπαγωγαὶ χειμάζουσι, τὴν ταπεινήν μου ψυχήν. καὶ συμφορῶν νέφη, τὴν ἐμὴν καλύπτουσι, καρδίαν Θεονύμφευτε. ἀλλ᾽ ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον, λάμψον μοι τὸ φῶς τὸ χαρμόσυνον.

Ἐξ ἀμετρήτων ἀναγκῶν καὶ θλίψεων, καὶ ἐξ ἐχθρῶν δυσμενῶν. καὶ συμφορῶν βίου, λυτρωθεὶς πανάμωμε, τῇ κραταιᾷ δυνάμει σου. ἀνυμνῶ μεγαλύνων τὴν ἄμετρόν σου συμπάθειαν, καὶ τὴν εἰς ἐμέ σου παράκλησιν.

Νῦν πεποιθὼς ἐπὶ τὴν σὴν κατέφυγον, ἀντίληψιν κραταιάν. καὶ πρὸς τὴν σὴν σκέπην, ὁλοψύχως ἔδραμον. καὶ γόνυ κλίνω Δέσποινα. καὶ θρηνῶ καὶ στενάζω, μή με παρίδῃς τὸν ἄθλιον, τῶν Χριστιανῶν καταφύγιον.

Οὐ σιωπήσω, τοῦ βοᾶν τρανώτατα, τὰ μεγαλεῖα τὰ σά. εἰ μὴ γὰρ σὺ Κόρη, πάντοτε προΐστασο, ὑπὲρ ἐμοῦ πρεσβεύουσα τῷ Υἱῷ καὶ Θεῷ σου, τίς ἐκ τοσούτου με κλύδωνος, καὶ δεινῶν κινδύνων ἐῤῥύσατο;

Διάσωσον ἀπὸ κινδύνων, τοὺς δούλους σου Θεοτόκε. ὅτι πάντες μετὰ Θεὸν, εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε. ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ἀπορήσας ἐκ πάντων ὀδυνηρῶς κράζω σοι. πρόφθασον θερμὴ προστασία, καὶ σὴν βοήθειαν δός μοι τῷ δούλῳ σου, τῷ ταπεινῷ καὶ ἀθλίῳ. τῷ τὴν ἀντίληψιν, ἐπιζητοῦντι θερμῶς.

Ἐθαυμάστωσας ὄντως νῦν ἐπ' ἐμοὶ Δέσποινα. τὰς εὐεργεσίας σου Κόρη, καὶ τὰ ἐλέη σου. ὅθεν δοξάζω σε, καὶ ἀνυμνῶ καὶ γεραίρω. τὴν πολλὴν καὶ ἄμετρον κηδεμονίαν σου.

Καταιγίς με χειμάζει τῶν συμφορῶν Δέσποινα. καὶ τῶν λυπηρῶν τρικυμίαι καταποντίζουσιν. ἀλλὰ προφθάσασα, χεῖρά μοι δὸς βοηθείας. ἡ θερμὴ ἀντίληψις καὶ προστασία μου.

Ἀληθῆ Θεοτόκον ὁμολογῶ Δέσποινα. σὲ τὴν τοῦ θανάτου τὸ κράτος ἐξαφανίσασαν. ὡς γὰρ φυσίζωος, ἐκ τῶν δεσμῶν τῶν τοῦ ᾅδου πρὸς ζωὴν ἀνήγαγες εἰς γῆν με φθάσαντα.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Καὶ ποῦ λοιπὸν, ἄλλην εὑρήσω ἀντίληψιν; ποῦ προσφύγω, ποῦ δὲ καὶ σωθήσομαι, τίνα θερμὴν ἕξω βοηθόν; θλίψεσι τοῦ βίου. καὶ ζάλαις οἴμοι κλονούμενος. εἰς σὲ μόνην ἐλπίζω, καὶ θαρρῶ καὶ καυχῶμαι. καὶ προστρέχω τῇ σκέπῃ σου σῶσόν με.

Τὸν ποταμὸν, τὸν γλυκερὸν τοῦ ἐλέους σου. τὸν πλουσίαις δωρεαῖς δροσίσαντα, τὴν πανάθλιαν καὶ ταπεινήν. πάναγνε ψυχήν μου, τῶν συμφορῶν καὶ τῶν θλίψεων. καμίνῳ φλογισθεῖσαν, μεγαλύνω κηρύττω. καὶ προστρέχω σοι, διάσωσον Δέσποινα.

Σὲ τὴν ἁγνὴν, σὲ τὴν Παρθένον καὶ ἄσπιλον. μόνην φέρω, τεῖχος ἀπρόσμαχον, καταφυγὴν σκέπην κραταιάν. ὅπλον σωτηρίας, μή με παρίδῃς τὸν ἄσωτον. ἐλπὶς ἀπηλπισμένων, ἀσθενῶν συμμαχία. θλιβομένων χαρὰ καὶ ἀντίληψις.

Πῶς

Πῶς ἐξειπεῖν, σὺ κατ' ἀξίαν δυνήσομαι. τοὺς ἀμέτρους, οἰκτιρμούς ὦ Δέσποινα, τοὺς τὴν ἐμὴν πάντοτε ψυχὴν. δεινῶς θλιβομένην, ὡς ὕδωρ περικυκλώσαντας. ἀλλ' ὦ τῆς σῆς προνοίας, καὶ τῆς εὐεργεσίας. ἧς ἀφρόνως ὁ τάλας ἀπώλεσα.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ έ. Ἵνα τί με ἀπώσω.

ΕΥ'χαρίστως βοῶσοι. χαῖρε Μητροπάρθενε, χαῖρε Θεόνυμφε. χαῖρε θεία σκέπη, χαῖρε ὅπλον καὶ τεῖχος ἀπόρθητον. χαῖρε προστασία, καὶ βοηθὲ καὶ σωτηρία. τῶν εἰς σὲ προστρεχόντων ἐκ πίστεως.

Οἱ μισοῦντες με μάτην. βέλεμνα καὶ ξίφη, καὶ λάκκον ἡυτρέπησαν. καὶ ἐπιζητοῦσι, τὸ πανάθλιον σῶμα σπαράξαι μου. καὶ καταβιβάσαι, εἰς γῆν Ἁγνὴ ἐπιζητοῦσιν. ἀλλ' ἐκ τούτων προφθάσασα σῶσον με.

Τί σοι δῶρον προσάξω. τῆς εὐχαριστείας, ἀνθ' ὧνπερ ἀπήλαυσα. τῶν σῶν δωρημάτων, καὶ τῆς σῆς ἀμετρήτου χρηστότητος. τοιγαροῦν δοξάζω, ὑμνολογῶ καὶ μεγαλύνω. τὴν σὴν ἄφατον πρός με συμπάθειαν.

Ἀληθῆ Θεοτόκον. πάντες ἐπιγνόντες σε πάναγνε Δέσποινα. τὸν ἐκ σοῦ τεχθέντα, Θεὸν Λόγον εἰδότες κηρύττομεν. ἐν δυσὶν οὐσίαις, θελητικαῖς αὐτεξουσίαις. ὑπὲρ λόγον [illegible] τῆς φύσεως.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ ϛ'. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

ΤΑ' νέφη τῶν λυπηρῶν ἐκάλυψαν. τὴν ἀθλίαν μου ψυχὴν καὶ καρδίαν, καὶ σκοτασμὸν. ἐμποιοῦσί μοι Κόρη, ἀλλ' ἡ γεννήσασα φῶς τὸ ἀπρόσιτον. ἀπέλασον ταῦτα μακράν, τῇ ἐμπνεύσει τῆς θείας πρεσβείας σου.

Παράκλησιν ἐν ταῖς θλίψεσιν ἔχω. καὶ τῶν νόσων ἰατρὸν σὲ γινώσκω, καὶ παντελῆ. συντριμμὸν τοῦ θανάτου, καὶ ποταμὸν τῆς ζωῆς ἀνεξάντλητον. καὶ πάντων τῶν ἐν συμφοραῖς, ταχεινὴν καὶ ὀξεῖαν ἀντίληψιν.

Οὐ κρύπτω σου τὸν βυθὸν τοῦ ἐλέους. καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων, καὶ τὴν πηγὴν. τὴν ἀέναον ὄντως, τῆς πρὸς ἐμὲ συμπαθείας σου Δέσποινα. ἀλλ' ἅπασιν ὁμολογῶ, καὶ βοῶ καὶ κηρύττω καὶ φθέγγομαι.

Ἐκύκλωσαν αἱ τοῦ βίου με ζάλαι. ὥσπερ μέλισσαι κηρίον Παρθένε, καὶ τὴν ἐμὴν, κατασχοῦσαι καρδίαν, κατατιτρώσκουσι βέλει τὸν θλίψεων. ἀλλ' εὕροιμί σε βοηθὸν, καὶ διώκτην καὶ ῥύστην παντὸς πονηροῦ.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

ΦΩ'στὸς ἡ τεκοῦσα Θεοτόκε. σκοτισθέντα με νυκτὶ ἁμαρτημάτων. φωταγώγησον σύ. φωτὸς οὖσα δοχεῖον τὸ καθαρὸν, καὶ ἄμωμον ἵνα πόθῳ σε δοξάζω.

Σκέπη γενοῦ καὶ προστασία. καὶ ἀντίληψις καὶ καύχημα Παρθένε. γυμνωθέντι μοι νῦν ἁπάσης βοηθείας. ἀβοηθήτων δύναμις. καὶ ἐλπὶς ἀπηλπισμένων.

Ὅλῃ ψυχῇ καὶ διανοίᾳ, καὶ καρδίᾳ σε καὶ χείλεσι δοξάζω ἀπολαύσας τῶν σῶν μεγάλων χα-

λων χαρισμάτων. ἀλλὰ τῆς σῆς χρηστότητος, καὶ ἀπείρων σου θαυμάτων. Βλέψον ἱλέῳ ὄμματί σου, καὶ ἐπίσκεψαι τὴν κάκωσιν ἣν ἔχω. Καὶ δεινῶν συμφορῶν, καὶ βλάβης καὶ κινδύνων. καὶ πειρασμῶν με λύτρωσαι, ἀμετρήτῳ σου ἐλέει.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ η'. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Διὰ σπλάγχνα ἐλέους σου Παρθένε. μὴ παρίδῃς σεμνὴ, ποντούμενόν με σάλῳ, βιωτικῶν κυμάτων ἀλλὰ δίδου μοι. χεῖρα βοηθείας. καταπονουμένῳ, κακώσεσι τοῦ βίου.

Περιστάσεις καὶ θλίψεις καὶ ἀνάγκαι. εὕρωσάν με Ἁγνὴ, καὶ συμφοραὶ τοῦ βίου. καὶ πειρασμοί με πάντοθεν ἐκύκλωσαν. ἀλλὰ πρόστηθί μοι. καὶ ἀντιλαβοῦ μου, τῇ κραταιᾷ σου σκέπῃ.

Ἐν ταῖς ζάλαις ἐφεύρωσε λιμένα. ἐν ταῖς λύπαις, χαρὰν καὶ εὐφροσύνην. καὶ ἐν ταῖς νόσοις ταχινὴν βοήθειαν. καὶ ἐν τοῖς κινδύνοις. ῥύσιν καὶ προστάτιν, ἐν τοῖς πειρατηρίοις.

Χαῖρε Θρόνε πυρίμορφε Κυρίου. χαῖρε θεία καὶ μανναδόκε στάμνε. χαῖρε χρυσῆ λυχνία, λαμπὰς ἄσβεστε. χαῖρε τῶν Παρθένων. δόξα καὶ μητέρων, ὡραΐσμα καὶ κλέος. Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανὸς.

Πρὸς τίνα καταφύγω ἄλλην ἁγνήν; ποῦ προσδράμω λοιπὸν καὶ σωθήσομαι; ποῦ πορευθῶ, ποίαν δὲ εὕρω καταφυγήν. ποίαν θερμὴν ἀντίληψιν, ποίαν ἐν ταῖς θλίψεσι βοηθόν; εἰς σὲ μόνην ἐλπίζω, εἰς σὲ μόνην καυχῶμαι, καὶ ἐπὶ σὲ θαρρῶν κατέφυγα.

Οὐκ ἔστιν ἀριθμήσασθαι δυνατὸν, μεγαλεῖα τὰ σὰ Νεονύμφευτε, καὶ τὸν βυθὸν, τὸν ἀνεξερεύνητον ἐξειπεῖν. τῶν ὑπὲρ νοῦν θαυμάτων σου, τῶν τετελεσμένων διηνεκῶς. τοῖς πόθῳ σε τιμῶσι, καὶ πίστει προσκυνοῦσιν. ὡς ἀληθῆ Θεοῦ λοχεύτριαν.

Ἐν ὕμνοις εὐχαρίστοις δοξολογῶ. καὶ γεραίρω τὸ ἄμετρον ἔλεος, καὶ τὴν πολλὴν, δύναμίν σου πᾶσιν ὁμολογῶ. καὶ τὰς εὐεργεσίας σου, ἃς ὑπερκένωσας εἰς ἐμὲ. κηρύττω μεγαλύνω, ψυχῇ τε καὶ καρδίᾳ, καὶ λογισμῷ καὶ γλώσσῃ πάντοτε.

Τὴν δέησίν μου δέξαι τὴν πενιχράν. καὶ κλαυθμὸν μὴ παρίδῃς καὶ δάκρυα, καὶ στεναγμὸν, ἀλλ' ἀντιλαβοῦ μου ὡς ἀγαθή. καὶ τὰς αἰτήσεις πλήρωσον. δύνασαι γὰρ πάντα ὡς πανσθενοῦς. Δεσπότου Θεοῦ Μήτηρ. εἰ νεύσεις ἔτι μόνον, πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε. ὅτι πάντες μετὰ Θεὸν, εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε. ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Τέλος τῆς Παρακλήσεως.

# ἈΚΟΛΟΥΘΙΑ ΤΟΥ ἈΚΑΘΙΣΤΟΥ ὝΜΝΟΥ τῆς Ὑπεραγίας Θεοτόκου.

Στιχηρά. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Βουλὴν προαιώνιον, ἀποκαλύπτων σοι Κόρη. Γαβριὴλ ἐφέστηκε, σὲ κατασπαζόμενος, καὶ φθεγγόμενος. χαῖρε γῆ ἄσπορε, χαῖρε βάτε ἄφλεκτε, χαῖρε βάθος δυσθεώρητον. χαῖρε ἡ γέφυρα, πρὸς τοὺς Οὐρανοὺς ἡ μετάγουσα. καὶ κλίμαξ ἡ μετάρσιος, ἣν ὁ Ἰακὼβ ἐθεάσατο. χαῖρε θεία στάμνε, τοῦ μάννα. χαῖρε λύσις τῆς ἀρᾶς. χαῖρε Ἀδὰμ ἡ ἀνάκλησις μετὰ σοῦ ὁ Κύριος.

Φαίνει μοι ὡς ἄνθρωπος, φησὶν ἡ ἄφθορος Κόρη. πρὸς τὸν Ἀρχιστράτηγον, καὶ πῶς φθέγγῃ ῥήματα ὑπὲρ ἄνθρωπον; μετ᾽ ἐμοῦ ἔφης γάρ, τὸν Θεὸν ἔσεσθαι, καὶ σκηνῶσαι ἐν τῇ μήτρᾳ μου. καὶ πῶς γενήσομαι, λέγε μοι χωρίον εὐρύχωρον. καὶ τόπος ἁγιάσματος, τοῦ τοῖς Χερουβὶμ ἐπιβαίνοντος. μή με δελεάσῃς, ἀπάτῃ· οὐ γὰρ ἔγνων ἡδονήν, γάμου εἰμὶ ἀμύητος, πῶς οὖν παῖδα τέξομαι;

Θεὸς ὅπου βούλεται, νικᾶται φύσεως τάξις. φησὶν ὁ Ἀσώματος, καὶ τὰ ὑπὲρ ἄνθρωπον διαπράττεται. τοῖς ἐμοῖς πίστευε, ἀληθέσι ῥήμασι, Παναγία ὑπεράμωμε. ἡ δὲ ἐβόησε, γένοιτό μοι νῦν ὡς τὸ ῥῆμά σου. καὶ τέξομαι τὸν ἄσαρκον, σάρκα ἐξ ἐμοῦ δανεισάμενον. ὅπως ἀναγάγῃ, τὸν ἄνθρωπον ὡς μόνος δυνατός. εἰς τὸ ἀρχαῖον ἀξίωμα, διὰ τῆς συγκράσεως.

Μή καταπιστεύσῃς με, ἀνθρωπίνῃ προστασίᾳ. Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ ἱκέτου σου. θλῖψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι. τῶν δαιμόνων τὰ τοξεύματα. σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος. πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλὴν σοῦ. Δέσποινα τοῦ Κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν. μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.

Μεταβολὴ τῶν θλιβομένων. Τὴν ταχεῖαν σου σκέπην καὶ τὴν βοήθειαν.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Τὸ ἀπ᾽ αἰῶνος μυστήριον, ἀνακαλύπτεται σήμερον. καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ Υἱὸς ἀνθρώπου γίνεται. ἵνα τοῦ χείρονος μεταλαβὼν, μεταδῷ μοι τοῦ βελτίονος. ἐψεύσθη πάλαι Ἀδὰμ, καὶ Θεὸς ἐπιθυμήσας οὐ γέγονεν. ἄνθρωπος γίνεται Θεὸς, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται. εὐφραινέσθω ἡ κτίσις, χορευέτω ἡ φύσις. ὅτι Ἀρχάγγελος Παρθένῳ μετὰ δέους παρίσταται. καὶ τὸ χαῖρε κομίζει, τῆς λύπης ἀντίθετον. ὁ διὰ σπλάγχνα ἐλέους ἐνανθρωπήσας, Θεὸς ἡμῶν δόξα σοι.

Εἰς τὸν στίχον, ἦχος ά. Τῶν Οὐρανίων ταγμάτων.

Τῶν Οὐρανίων ἁψίδων, ὁ Γαβριὴλ καταπτὰς. εἰς Ναζαρὲτ ἐπέστη, πρὸς Παρθένον

νον Μαρίαν. βοῶν αὐτῇ τὸ Χαῖρε, συλλήψῃ Υἱὸν, τοῦ Ἀδὰμ ἀρχαιότερον. τὸν ποιητὴν τῶν αἰώνων καὶ λυτρωτὴν, τῶν βοώντων σοι τὸ Χαῖρε Ἁγνή.

Στίχος. Ἄκουσον θύγατερ καὶ ἴδε.

Ὁ Γαβριὴλ τῇ Παρθένῳ, τὸ εὐαγγέλιον. ἐξ Οὐρανοῦ κομίσας, ἀνεβόα τὸ χαῖρε. συλλήψῃ ἐν γαστρί σου, τὸν σοὶ χωρητὸν, καὶ τοῖς πᾶσιν ἀχώρητον. καὶ κυοφόρος ὀφθήσῃ τοῦ ἐκ Πατρὸς, πρὸ Ἑωσφόρου ἀνατείλαντος.

Στίχος. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Ὁ συναΐδιος Λόγος, τοῦ προανάρχου Πατρὸς. μὴ χωρισθεὶς τῶν ἄνω, νῦν ἐπέστη τοῖς κάτω. δι' ἄκραν εὐσπλαγχνίαν, οἶκτον λαβὼν, τοῦ καθ' ἡμᾶς ὀλισθήματος. καὶ τοῦ Ἀδὰμ τὴν πτωχείαν ἀναλαβὼν, ἐμορφώθη τὸ ἀλλότριον.

Στίχος. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σε.

Ὁ ἐκ Πατρὸς ἀϊδίως, καὶ ἐκ Μητρὸς χρονικῶς. φανερωθεὶς τῷ Κόσμῳ, ὑπερούσιος Λόγος. μορφὴν δούλου λαμβάνει, καὶ γίνεται σὰρξ. μὴ ἐκστὰς τῆς Θεότητος. καὶ τὸν Ἀδὰμ ἀναπλάττει ἐν τῇ γαστρὶ, τῆς ἀσπόρως συλλαβάσης αὐτόν.

Δόξα, καὶ νῦν. ἦχος β'.

ΕΥαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. χαῖρε ἀνύμφευτε Μῆτερ καὶ ἀπειρόγαμε. μὴ καταπλαγῇς, τῇ ξένῃ μου μορφῇ. μηδὲ δειλιάσῃς Ἀρχάγγελος εἰμί. ὄφις ἐξηπάτησεν Εὔαν ποτὲ, νῦν εὐαγγελίζομαί σοι τὴν χαρὰν. καὶ μενεῖς ἄφθορος, καὶ τέξεις τὸν Κύριον Ἄχραντε.

Εἰς τὸν Ὄρθρον, μετὰ τὸ Θεὸς Κύριος ψάλλομεν Τροπάριον, ἦχος πλ. δ. Τὸ προσταχθὲν μυστικῶς. Ἐκ τρίτου. Μετὰ δὲ τὴν Στιχολογίαν ψάλλομεν, Τῇ ὑπερμάχῳ στρατηγῷ. Εἶθ' οὕτως Οἴκους ἕξ.

ἌΓγελος πρωτοστάτης, Οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τὸ χαῖρε. καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ, σωματούμενόν σε θεωρῶν Κύριε ἐξίστατο, καὶ ἵστατο κραυγάζων, πρὸς αὐτὴν τοιαῦτα. χαῖρε δι' ἧς ἡ χαρὰ ἐκλάμψει. χαῖρε δι' ἧς ἡ ἀρὰ ἐκλείψει. χαῖρε τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις. χαῖρε τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις. χαῖρε ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς. χαῖρε βάθος δυσθεώρητον καὶ Ἀγγέλων ὀφθαλμοῖς. χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα. χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα. χαῖρε ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον. χαῖρε γαστὴρ ἐνθέου σαρκώσεως. χαῖρε δι' ἧς νεουργεῖται ἡ Κτίσις. χαῖρε δι' ἧς προσκυνεῖται ὁ Πλάστης.

Χαῖρε Νύμφη ἀνύμφευτε.

ΒΛέπουσα ἡ Ἁγία, ἑαυτὴν ἐν ἁγνείᾳ, φησὶ τῷ Γαβριὴλ θαρσαλέως. τὸ παράδοξόν σου τῆς φωνῆς, δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται. ἀσπόρου γὰρ συλλήψεως τὴν κύησιν, πῶς λέγεις κράζων. Ἀλληλούϊα.

ΓΝῶσιν ἄγνωστον γνῶναι, ἡ Παρθένος ζητοῦσα. ἐβόησε πρὸς τὸν λειτουργοῦντα. ἐκ λαγόνων ἁγνῶν υἱὸν, πῶς ἐστὶ τεχθῆναι, δυνατὸν λέξον μοι, πρὸς ἣν ἐκεῖνος ἔφησεν, ἐν φόβῳ πλὴν κραυγάζων οὕτως. Χαῖρε βουλῆς ἀπορρήτου μύστις. χαῖρε σιγῆς δεομένων πίστις. χαῖρε τῶν θαυμάτων Χριστοῦ τὸ

προοί-

προοίμιον. χαῖρε τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον. χαῖρε κλίμαξ Ἐπουράνιε, δι' ἧς κατέβη ὁ Θεός. χαῖρε γέφυρα μετάγουσα, τοὺς ἐκ γῆς πρὸς Οὐρανόν. χαῖρε τὸ τῶν Ἀγγέλων πολυθρύλλητον θαῦμα. χαῖρε τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα, χαῖρε τὸ φῶς, ἀῤῥήτως γεννήσασα. χαῖρε τὸ πῶς, μηδένα διδάξασα. χαῖρε σοφῶν ὑπερβαίνουσα γνῶσιν. χαῖρε πιστῶν καταυγάζουσα φρένας.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Δύναμις τοῦ Ὑψίστου, ἐπεσκίασε τότε, πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ. καὶ τὴν εὔκαρπον ταύτης νηδὺν, ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι. τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως. Ἀλληλούϊα.

Ἔχουσα Θεοδόχον, ἡ Παρθένος τὴν μήτραν, ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ, τὸ δὲ βρέφος ἐκείνης εὐθὺς, ἐπιγνοῦν τὸν ταύτης ἀσπασμὸν, ἔχαιρε. καὶ ἅλμασιν ὡς ᾄσμασιν, ἐβόα πρὸς τὴν Θεοτόκον. Χαῖρε βλαστοῦ ἀμαράντου κλῆμα. χαῖρε καρποῦ ἀκηράτου κτῆμα. χαῖρε γεωργὸν γεωργοῦσα φιλάνθρωπον. χαῖρε φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα. χαῖρε ἄρουρα βλαστάνουσα, εὐφορίαν οἰκτιρμῶν. χαῖρε τράπεζα βαστάζουσα, εὐθηνίαν ἱλασμῶν. χαῖρε, ὅτι λειμῶνα τῆς τροφῆς ἀναθάλλεις. χαῖρε. ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις. χαῖρε δεκτὸν πρεσβείας θυμίαμα. χαῖρε παντὸς τοῦ Κόσμου ἐξίλασμα. χαῖρε Θεοῦ πρὸς θνητοὺς εὐδοκία. χαῖρε θνητῶν πρὸς Θεὸν παῤῥησία.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων, λογισμῶν ἀμφιβόλων, ὁ σώφρων Ἰωσὴφ ἐταράχθη. πρὸς τὴν ἄγαμόν σε θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν ἄμεμπτε. μαθὼν δέ σου τὴν σύλληψιν, ἐκ Πνεύματος ἁγίου ἔφη. Ἀλληλούϊα.

Εἶθ' οὕτως τῇ Ὑπερμάχῳ. Εἶτα πάλιν τοὺς Οἴκους ἑξ.

Ἤκουσαν οἱ ποιμένες. τῶν Ἀγγέλων ὑμνούντων, τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν. καὶ δραμόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον, ὡς ἀμνὸν ἄμωμον. ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ὃν ὑμνοῦντες εἶπον.

Χαῖρε ἀμνοῦ καὶ ποιμένος Μήτηρ. χαῖρε αὐλὴ λογικῶν προβάτων.

Χαῖρε ἀοράτων ἐχθρῶν ἀμυντήριον. χαῖρε Παραδείσου θυρῶν ἀνοικτήριον.

Χαῖρε, ὅτι τὰ Οὐράνια συναγάλλεται τῇ γῇ. χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει Οὐρανοῖς.

Χαῖρε τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα. χαῖρε τῶν ἀθλοφόρων τὸ ἀνίκητον θάρσος.

Χαῖρε στεῤῥὸν τῆς Πίστεως ἔρεισμα. χαῖρε λαμπρὸν τῆς χάριτος γνώρισμα.

Χαῖρε δι' ἧς ἐγυμνώθη ὁ ᾅδης. χαῖρε δι' ἧς ἐνεδύθημεν δόξαν.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα, θεωρήσαντες μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ. καὶ ὡς λύχνον κρατοῦντες αὐτὸν, δι' αὐτοῦ ἠρεύνων κραταιὸν Ἄνακτα. καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν αὐτῷ βοῶντες. Ἀλληλούϊα.

Ἴδον παῖδες Χαλδαίων, ἐν χερσὶ τῆς Παρθένου, τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους. καὶ Δεσπότην νοοῦντες αὐτὸν, εἰ καὶ δούλου ἔλαβε μορφὴν, ἔσπευσαν. τοῖς δώροις θεραπεῦσαι, καὶ βοῆσαι τῇ εὐλογημένῃ. Χαῖρε ἀστέρος ἀδύτου Μήτηρ. χαῖρε αὐγὴ μυστικῆς ἡμέρας. χαῖρε τῆς ἀπάτης τὴν κάμινον σβέσασα. χαῖρε τῆς Τριάδος τοὺς μύστας φωτίζουσα. χαῖρε τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς. χαῖρε Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν. χαῖρε ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας. χαῖρε ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων. χαῖρε πυρὸς προσκύνησιν παύσασα. χαῖρε φλογὸς παθῶν ἀπαλλάττουσα. χαῖρε πιστῶν ὁδηγὲ σωφροσύνης. χαῖρε πασῶν γενεῶν εὐφροσύνη.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Κήρυκες Θεοφόροι, γεγονότες οἱ μάγοι, ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα. ἐκτελέσαντές σου τὸν χρησμὸν. καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν. ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν. Ἀλληλούϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ, φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος. τὰ γὰρ εἴδωλα ταύτης Σωτὴρ, μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκεν. οἱ τούτων δὲ ῥυσθέντες, ἐβόων πρὸς τὴν Θεοτόκον. Χαῖρε ἀνόρθωσις τῶν ἀνθρώπων. χαῖρε κατάπτωσις τῶν δαιμόνων. χαῖρε τῆς ἀπάτης τὴν πλάνην πατήσασα. χαῖρε τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα. χαῖρε θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν. χαῖρε πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν. χαῖρε πύρινε στύλε ὁδηγῶν τοὺς ἐν σκότει. χαῖρε σκέπη τοῦ Κόσμου πλατυτέρα νεφέλης. χαῖρε τροφὴ τοῦ μάννα διάδοχε. χαῖρε τρυφῆς ἁγίας διάκονε. χαῖρε ἡ γῆ τῆς ἐπαγγελίας. χαῖρε ἐξ ἧς ῥέει μέλι καὶ γάλα.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Μέλλοντος Συμεῶνος, τοῦ παρόντος αἰῶνος, μεθίστασθαι τοῦ ἀπατεῶνος. ἐπεδόθης ὡς βρέφος αὐτῷ, ἀλλ᾽ ἐγνώσθης τούτῳ, καὶ Θεὸς τέλειος. διόπερ ἐξεπλάγη σου, τὴν ἄρρητον σοφίαν κράζων. Ἀλληλούϊα.

Καὶ πάλιν τὸ Κοντάκιον, Τῇ ὑπερμάχῳ. Εἶθ᾽ οὕτως τοὺς Οἴκους.

Νέαν ἔδειξε Κτίσιν, ἐμφανίσας ὁ Κτίστης, ἡμῖν τοῖς ὑπ᾽ αὐτοῦ γενομένοις. ἐξ ἀσπόρου βλαστήσας γαστρὸς, καὶ φυλάξας ταύτην, ὥσπερ ἦν ἄφθορον. ἵνα τὸ θαῦμα βλέποντες, ὑμνήσωμεν αὐτὴν βοῶντες. Χαῖρε τὸ ἄνθος τῆς ἀφθαρσίας. χαῖρε τὸ στέφος τῆς ἐγκρατείας. χαῖρε ἀναστάσεως τύπον ἐκλάμπουσα. χαῖρε τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα. χαῖρε δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί. χαῖρε ξύλον εὐσκιόφυλλον, ὑφ᾽ οὗ σκέπονται πολλοί. χαῖρε κυοφοροῦσα ὁδηγὸν πλανωμένοις. χαῖρε ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις, χαῖρε Κριτοῦ δικαίου δυσώπησις. χαῖρε πολλῶν πταιόντων συγχώρησις. χαῖρε στολὴ τῶν γυμνῶν παῤῥησίας. χαῖρε στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ Κόσμου, τὸν νοῦν εἰς Οὐρανοὺς μεταθέντες. διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεὸς, ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος. βουλόμενος

ἑλκύ-

ἑλκύσαι πρὸς τὸ ὕψος, τοὺς αὐτῷ βοῶντας. Ἀλληλούϊα.

ΟΛος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδ' ὅλως ἀπῆν, ὁ ἀπερίγραπτος Λόγος. συγκατάβασις γὰρ θεϊκὴ, οὐ μετάβασις δὲ τοπικὴ γέγονε. καὶ τόκος ἐκ Παρθένου Θεολήπτου, ἀκουούσης ταῦτα. χαῖρε Θεοῦ ἀχωρήτου χώρα. χαῖρε σεπτοῦ μυστηρίου θύρα. χαῖρε τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα. χαῖρε τῶν πιστῶν ἀναμφίβολον καύχημα. χαῖρε ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβίμ. χαῖρε οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφίμ. χαῖρε ἡ τἀναντία εἰς ταυτὸ ἀγαγοῦσα. χαῖρε ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα. χαῖρε δι' ἧς ἐλύθη παράβασις. χαῖρε δι' ἧς ἠνοίχθη Παράδεισος. χαῖρε ἡ κλεὶς τῆς Χριστοῦ Βασιλείας. χαῖρε ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε Νύμφη ἀνύμφευτε.

ΠΑσα φύσις Ἀγγέλων, κατεπλάγη τὸ μέγα τῆς σῆς ἐνανθρωπήσεως ἔργον. τὸν ἀπρόσιτον γὰρ ὡς Θεὸν, ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον. ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων οὕτως. Ἀλληλούϊα.

ΡΗτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους, ὁρῶμεν ἐπὶ σοὶ Θεοτόκε. ἀποροῦσι γὰρ λέγειν τὸ πῶς, καὶ Παρθένος μένεις, καὶ τεκεῖν ἴσχυσας. ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν. χαῖρε σοφίας Θεοῦ δοχεῖον. χαῖρε προνοίας αὐτοῦ ταμεῖον. χαῖρε φιλοσόφους ἀσόφους δεικνύουσα. χαῖρε τεχνολόγους ἀλόγους ἐλέγχουσα. χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί. χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί. χαῖρε τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα. χαῖρε τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα. χαῖρε βυθοῦ ἀγνοίας ἐξέλκουσα. χαῖρε πολλοὺς ἐν γνώσει φωτίζουσα. χαῖρε ὁλκὰς τῶν θελόντων σωθῆναι. χαῖρε λιμὴν τῶν τοῦ βίου πλωτήρων.

Χαῖρε Νύμφη ἀνύμφευτε.

ΣΩσαι θέλων τὸν Κόσμον, ὁ τῶν ὅλων κοσμήτωρ, πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε. καὶ ποιμὴν ὑπάρχων ὡς Θεὸς, δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος. ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας, ὡς Θεὸς ἀκούει. Ἀλληλούϊα.

Καὶ πάλιν τὸ Κοντάκιον, Τῇ ὑπερμάχῳ. Εἶτα τοὺς Οἴκους.

ΤΕῖχος εἶ τῶν παρθένων, Θεοτόκε Παρθένε, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων. ὁ γὰρ τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς, κατεσκεύασέ σε ποιητὴς ἄχραντε. οἰκήσας ἐν τῇ μήτρᾳ σου, καὶ πάντας σοι προσφωνεῖν διδάξας. χαῖρε ἡ στήλη τῆς Παρθενίας, χαῖρε ἡ πύλη τῆς σωτηρίας. χαῖρε ἀρχηγὲ νοητῆς ἀναπλάσεως. χαῖρε χορηγὲ θεϊκῆς ἀγαθότητος. χαῖρε σὺ γὰρ ἀνεγέννησας, τοὺς συλληφθέντας αἰσχρῶς. χαῖρε σὺ γὰρ ἐνουθέτησας, τοὺς συληθέντας τὸν νοῦν. χαῖρε ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα. χαῖρε ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα. χαῖρε παστὰς ἀσπόρου νυμφεύσεως. χαῖρε πιστοὺς Κυρίῳ ἁρμόζουσα. χαῖρε καλὴ κουροτρόφε παρθένων. χαῖρε ψυχῶν νυμφοστόλε Ἁγίων.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Ὕμνος ἅπας ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου. ἰσαρίθμους ψαλμοὺς καὶ ᾠδὰς, ἂν προσφέρομέν σοι Βασιλεῦ Ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν τοῖς σοὶ βοῶσιν. Ἀλληλούϊα.

Φωτοδόχον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τὴν Ἁγίαν Παρθένον· τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς, ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας. αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα. Χαῖρε ἀκτὶς νοητοῦ Ἡλίου. χαῖρε βολὶς τοῦ ἀδύτου φέγγους. χαῖρε ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα. χαῖρε ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα. χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν. χαῖρε, ὅτι τὸν πολύρρυτον ἀναβλύζεις ποταμόν. χαῖρε τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον. χαῖρε τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον. χαῖρε λουτὴρ ἐκπλύνων συνείδησιν. χαῖρε κρατὴρ κιρνῶν ἀγαλλίασιν. χαῖρε ὀσμὴ τῆς Χριστοῦ εὐωδίας. χαῖρε ζωὴ μυστικῆς εὐωχίας.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων, ὁ πάντων χρεωλύτης ἀνθρώπων· ἐπεδήμησε δι' ἑαυτοῦ, πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος. καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως. Ἀλληλούϊα.

Ψάλλοντές σου τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες, ὡς ἔμψυχον Ναὸν Θεοτόκε· ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ, ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος. ἡγίασεν ἐδόξασεν ἐδίδαξε, βοᾶν σοι πάντας. Χαῖρε σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου. χαῖρε Ἁγία Ἁγίων μείζων, χαῖρε κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι. χαῖρε θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε, χαῖρε τίμιον διάδημα Βασιλέων εὐσεβῶν, χαῖρε καύχημα σεβάσμιον Ἱερέων εὐλαβῶν. χαῖρε τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος. χαῖρε τῆς Βασιλείας τὸ ἀπόρθητον τεῖχος. χαῖρε δι' ἧς ἐγείρονται τρόπαια. χαῖρε δι' ἧς ἐχθροὶ καταπίπτουσι. χαῖρε χρωτὸς τοῦ ἐμοῦ θεραπεία. χαῖρε ψυχῆς τῆς ἐμῆς σωτηρία.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Ὦ Πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τὸν πάντων Ἁγίων Ἁγιώτατον Λόγον, δεξαμένη τὴν νῦν προσφορὰν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας. καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως, τοὺς σοὶ βοῶντας. Ἀλληλούϊα.

Καὶ πάλιν, Ἄγγελος πρωτοστάτης. Καὶ τὸ Κοντάκιον, Τῇ ὑπερμάχῳ στρατηγῷ.

Εἶθ' οὕτως τὸ νῦν καὶ ὁ Κανὼν τῆς Θεοτόκου. οὗ ἡ ἀκροστιχίς.

Χαρᾶς δοχεῖον σοὶ πρέπει χαίρειν μόνῃ.

Ὠδὴ α'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Χριστοῦ βίβλον ἔμψυχον, ἐσφραγισμένην σε Πνεύματι, ὁ μέγας Ἀρχάγγελος, Ἁγνὴ θεωρούμενος, ἐπεφώνει σοι, χαῖρε χαρᾶς δοχεῖον. δι' ἧς τῆς Προμήτορος ἀρὰ λυθήσεται.

Ἀδὰμ ἐπανόρθωσις, χαῖρε Παρθένε Θεόνυμφε· τοῦ ᾅδου ἡ νέκρωσις, χαῖρε πανάμωμε· τὸ παλάτιον τοῦ μόνου Βασιλέως. χαῖρε Θρόνε πύρινε τοῦ Παντοκράτορος.

Ῥόδον τὸ ἀμάραντον, χαῖρε ἡ μόνη βλαστήσασα. τὸ μῆλον τὸ εὔοσμον, χαῖρε ἡ τέξασα. τὸ ὀσφράδιον τοῦ πάντων Βασιλέως. χαῖρε ἀπειρόγαμε. Κόσμου διάσωσμα.

Ἁγνείας θησαύρισμα, χαῖρε δι᾽ ἧς ἐκ τοῦ πτώματος. ἡμῶν ἐξανέστημεν, χαῖρε ἡδύπνοον. κρίνον Δέσποινα, πιστοὺς εὐωδιάζον. θυμίαμα εὔοσμον, μύρον πολύτιμον.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

ΣΤάχυν ἡ βλαστήσασα τὸν θεῖον, ὡς χώρα ἀνήροτος σαφῶς. χαῖρε ἔμψυχε τράπεζα, ἄρτον ζωῆς χωρήσασα. χαῖρε τοῦ ζῶντος ὕδατος, πηγὴ ἀκένωτος Δέσποινα.

Δάμαλις τὸν μόσχον ἡ τεκοῦσα, τὸν ἄμωμον χαῖρε τοῖς πιστοῖς. χαῖρε ἀμνὰς κυήσασα, Θεοῦ ἀμνὸν τὸν αἴροντα. Κόσμου παντὸς τὰ πταίσματα, χαῖρε θερμὸν ἱλαστήριον.

Ὄρθρος φαεινὸς χαῖρε ἡ μόνη, τὸν Ἥλιον φέρουσα Χριστόν. φωτὸς κατοικητήριον, χαῖρε τὸ σκότος λύσασα. καὶ τοὺς ζοφώδεις δαίμονας, ὁλοτελῶς ἐκμειώσασα.

Χαῖρε πύλη μόνη ἣν ὁ Λόγος, διώδευσε μόνος ἡ μοχλοὺς. καὶ πύλας ᾅδου Δέσποινα, τῷ τόκῳ σου συντρίψασα. χαῖρε ἡ θεία εἴσοδος, τῶν σωζομένων πανύμνητε.

Κοντάκιον, Τῇ ὑπερμάχῳ. καὶ Ἀνάγνωσις εἰς τοὺς ἓξ Οἴκους.

Καὶ πάλιν Τῇ ὑπερμάχῳ. Καὶ εὐθὺς. Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

ἘΝ φωναῖς ᾀσμάτων πίστει, σοὶ βοῶμεν πανύμνητε. χαῖρε πῖον ὄρος, καὶ τετυρωμένον ἐν πνεύματι. χαῖρε λυχνία καὶ στάμνε, μάννα φέρουσα. τὸ γλυκαῖνον, τὰ τῶν εὐσεβῶν αἰσθητήρια.

Ἱλαστήριον τοῦ Κόσμου, χαῖρε ἄχραντε Δέσποινα. χαῖρε κλίμαξ γῆθεν, πάντας ἀνυψώσασα χάριτι. χαῖρε ἡ γέφυρα ὄντως ἡ μετάγουσα. ἐκ θανάτου πάντας, πρὸς ζωὴν τοὺς ὑμνοῦντάς σε.

Οὐρανῶν ὑψηλοτέρα, χαῖρε γῆς τὸ θεμέλιον. ἐν τῇ σῇ νηδύϊ, ἄχραντε ἀκόπως βαστάσασα. χαῖρε κογχύλη πορφύραν θείαν βάψασα. ἐξ αἱμάτων σου, τῷ Βασιλεῖ τῶν δυνάμεων.

Νομοθέτην ἡ τεκοῦσα, ἀληθῶς χαῖρε Δέσποινα. τὸν τὰς ἀνομίας, πάντων δωρεὰν ἐξαλείφοντα. ἀκατανόητον βάθος, ὕψος ἄρρητον. ἀπειρόγαμε, δι᾽ ἧς ἡμεῖς ἐθεώθημεν.

Σὲ τὴν πλέξασαν τῷ Κόσμῳ, ἀχειρόπλοκον στέφανον. ἀνυμνολογοῦμεν, χαῖρε σοι Παρθένε κραυγάζοντες, τὸ φυλακτήριον πάντων, καὶ χαράκωμα. καὶ κραταίωμα, καὶ ἱερὸν καταφύγιον.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

ὉΔὸν ἡ κυήσασα, ζωῆς χαῖρε πανάμωμε, ἡ κατακλυσμοῦ τῆς ἁμαρτίας. σώσασα Κόσμον, χαῖρε Θεόνυμφε. ἄκουσμα καὶ λάλημα φρικτόν. χαῖρε ἐν-

διαίτη-

διαίτημα, τοῦ Δεσπότου τῆς Κτίσεως.

Ἰσχὺς καὶ ὀχύρωμα, ἀνθρώπων χαῖρε ἄχραντε, τόπε ἁγιάσματος τῆς δόξης· νέκρωσις ᾅδου, νυμφὼν ὁλόφωτε. χαῖρε τῶν Ἀγγέλων χαρμονή. χαῖρε ἡ βοήθεια, τῶν πιστῶς δεομένων σου.

Πυρίμορφον ὄχημα τοῦ Λόγου χαῖρε Δέσποινα, ἔμψυχε Παράδεισε τὸ ξύλον· ἐν μέσῳ ἔχων ζωῆς τὸν Κύριον. οὗ ὁ γλυκασμὸς ζωοποιεῖ, πίστει τοὺς μετέχοντας, καὶ φθορᾷ ὑποκύψαντας.

Ῥωννύμενοι σθένει σου, πιστῶς ἀναβοῶμεν σοι, χαῖρε πόλις τοῦ Παμβασιλέως· δεδοξασμένα καὶ ἀξιάκουστα· περὶ ἧς λελάληται σαφῶς. ὄρος ἀλατόμητον, χαῖρε βάθος ἀμέτρητον.

Εὐρύχωρον σκήνωμα, τοῦ Λόγου χαῖρε Ἄχραντε, κόχλος ἡ τὸν θεῖον μαργαρίτην. προαγαγοῦσα, χαῖρε πανθαύμαστε. πάντων πρὸς Θεὸν καταλλαγή. τῶν μακαριζόντων σε, Θεοτόκε ἑκάστοτε.

Ὠδὴ ϛ΄. Τὴν θείαν ταύτην, καὶ πάντιμον.

Πάσας τοῦ Λόγου ἀμόλυντε. αἰτία τῆς τῶν πάντων θεώσεως, χαῖρε πανάχραντε, τῶν Προφητῶν περιήχημα. χαῖρε τῶν Ἀποστόλων τὸ ἐγκαλλώπισμα.

Ἐκ σοῦ ἡ δρόσος ἀπέσταξε· φλογμὸν πολυθεΐας ἡ λύσασα, ὅθεν βοῶμεν σοι· χαῖρε ὁ πόκος ὁ εὔδροσος. ὃν Γεδεὼν Παρθένε προεθεάσατο.

Ἰδοὺ σοι χαῖρε κραυγάζομεν· λιμὴν ἡμῖν γενοῦ θαλαττεύουσι, καὶ ὁρμητήριον, ἐν τῷ πελάγει τῶν θλίψεων. καὶ τῶν σκανδάλων πάντων τοῦ πολεμήτορος.

Χαρᾶς αἰτία χαρίτωσον. ἡμῶν τὸν λογισμὸν τοῦ κραυγάζειν σοι, χαῖρε ἡ ἄφλεκτος, βάτος νεφέλη ὁλόφωτε. ἡ τοὺς πιστοὺς ἀπαύστως ἐπισκιάζουσα.

Κοντάκιον. Τῇ ὑπερμάχῳ. Καὶ ἀνάγνωσις εἰς τοὺς ἓξ Οἴκους.

Πάλιν, Τῇ ὑπερμάχῳ. καὶ εὐθὺς. Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ἀνυμνοῦμεν σε βοῶντες, χαῖρε ὄχημα, ἡλίου τοῦ νοητοῦ, ἄμπελος ἀληθινή. τὸν βότρυν τὸν πέπειρον ἡ γεωργήσασα. οἶνον στάζοντα. τὸν τὰς ψυχὰς εὐφραίνοντα. τῶν πιστῶς σε δοξαζόντων.

Ἰατῆρα τῶν ἀνθρώπων ἡ κυήσασα, χαῖρε Θεόνυμφε, ἡ ῥάβδος ἡ μυστική. ἄνθος τὸ ἀμάραντον ἡ ἐξανθήσασα. χαῖρε Δέσποινα. δι᾽ ἧς χαρᾶς πληρούμεθα, καὶ ζωὴν κληρονομοῦμεν.

Ῥητορεύουσα οὐ σθένει γλῶσσα Δέσποινα, ὑμνολογῆσαι σε, ὑπὲρ γὰρ τὰ Σεραφὶμ ὑψώθης κυήσασα τὸν Βασιλέα Χριστὸν. ὃν ἱκέτευε πάσης νῦν βλάβης ῥύσασθαι, τοὺς πιστῶς σε προσκυνοῦντας.

Εὐφημεῖ σε μακαρίζοντα τὰ πέρατα, καὶ ἀνακράζει σοι, χαῖρε ὁ τόμος ἐν ᾧ δακτύλῳ ἐγγέγραπται. Πατρὸς ὁ Λόγος Ἁγνή. ὃν ἱκέτευε. Βίβλῳ ζωῆς τοὺς δούλους σου, καταγράψαι Θεοτόκε.

Ἱκετεύομεν οἱ δοῦλοί σου, καὶ κλίνομεν γόνυ καρδίας ἡμῶν, κλῖνον τὸ οὖς σου Ἁγνή,

καὶ σῶσον τοὺς θλίψεσι βυθιζομένους ἡμᾶς. καὶ σωτήρισον. πάσης ἐχθρῶν ἁλώσεως, τὴν σὴν πόλιν Θεοτόκε.

Ὠδὴ η. Παῖδας εὐαγγεῖς ἐν τῇ καμίνῳ.

ΝΗδύϊ τὸν Λόγον ὑπεδέξω, τὸν πάντα βαστάζοντα ἐβάστασας. γάλακτι ἐξέθρεψας, νεύματι τὸν τρέφοντα. τὴν Οἰκουμένην ἅπασαν, Ἁγνὴ ᾧ ψάλλομεν τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα. καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μωσῆς κατενόησεν ἐν βάτῳ, τὸ μέγα μυστήριον τοῦ τόκου σου. παῖδες προεικόνισαν, τοῦτο ἐμφανέστατα. μέσον πυρὸς ἱστάμενοι, καὶ μὴ φλεγόμενοι. ἀκήρατε ἁγία. Παρθένε. ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Οἱ πρώην ἀπάτῃ γυμνωθέντες, στολὴν ἀφθαρσίας ἐνεδύθημεν, τῇ κυοφορίᾳ σου, καὶ οἱ καθεζόμενοι. ἐν σκότει παραπτώσεων, φῶς κατωπτεύσαμεν. φωτὸς κατοικητήριον Κόρη. ὅθεν σὲ ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Νεκροὶ διὰ σοῦ ζωοποιοῦνται, ζωὴν γὰρ τὴν ἐνυπόστατον ἐκύησας. εὔλαλοι οἱ ἄλαλοι, πρώην χρηματίζοντες. λεπροὶ ἀποκαθαίρονται, νόσοι διώκονται. πνευμάτων ἀερίων τὰ πλήθη. ἥττηνται Παρθένε, βροτῶν ἡ σωτηρία.

Ἡ Κόσμῳ τεκοῦσα σωτηρίαν, δι᾽ ἧς ἀπὸ γῆς εἰς ὕψος ἤρθημεν. χαίροις παντευλόγητε, σκέπη καὶ κραταίωμα. τεῖχος καὶ ὀχύρωμα, τῶν μελῳδούντων ἁγνή. τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύματι.

ΙΝα σοι πιστοὶ, τὸ χαῖρε κραυγάζωμεν, οἱ διὰ σοῦ τῆς χαρᾶς μέτοχοι γενόμενοι, τῆς ἀϊδίου ῥῦσαι ἡμᾶς πειρασμοῦ. βαρβαρικῆς ἁλώσεως, καὶ πάσης ἄλλης πληγῆς. διὰ πλῆθος, Κόρη παραπτώσεων. ἐπιούσης βροτοῖς ἁμαρτάνουσιν.

Ὤφθης φωτισμὸς, ἡμῶν καὶ βεβαίωσις ὅθεν βοῶμεν σοι. χαῖρε ἄστρον ἄδυτον, εἰσάγον Κόσμῳ τὸν μέγαν Ἥλιον. χαῖρε Ἐδὲμ ἀνοίξασα, τὴν κεκλεισμένην ἁγνή. χαῖρε στύλε, πύρινε εἰσάγουσα, εἰς τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον.

Στῶμεν εὐλαβῶς, ἐν Οἴκῳ Θεοῦ ἡμῶν καὶ ἐκβοήσωμεν. χαῖρε Κόσμου Δέσποινα, χαῖρε Μαρία Κυρία πάντων ἡμῶν. χαῖρε ἡ μόνη ἄμωμος, ἐν γυναιξὶ καὶ καλή. χαῖρε σκεῦος, μύρον τὸ ἀκένωτον. ἐπὶ σὲ κενωθὲν εἰς δεξάμενος.

Ἡ περιστερὰ, ἡ τὸν ἐλεήμονα ἀποκυήσασα. χαῖρε Ἀειπάρθενε, Ὁσίων πάντων, χαῖρε τὸ καύχημα. τῶν Ἀθλητῶν στεφάνωμα, χαῖρε ἁπάντων τε. τῶν Δικαίων θεῖον ἐγκαλλώπισμα. καὶ ἡμῶν τῶν πιστῶν τὸ διάσωμα.

Φεῖσαι ὁ Θεὸς τῆς κληρονομίας σου, τὰς ἁμαρτίας ἡμῶν. πάσας παραβλέπων νῦν, εἰς τοῦτο ἔχων ἐκδυσωποῦσάν σε. τὴν ἐπὶ γῆς ἀσπόρως σε, κυοφορήσασαν. διὰ μέγα, ἔλεος θελήσαντα. μορφωθῆναι Χριστὲ τὸ ἀλλότριον.

Ἐξαποστειλάριον. Πρὸς τὸ Γυναῖκες ἀκουτίσθητε.

ΣΚιρτήσατε χορεύσατε, μετ᾽ εὐφροσύνης ᾄσατε. ὁ Γαβριὴλ τῇ Παρθένῳ, χαρὰν κομίζων ἐπέστη, εἰς Ναζαρὲτ νῦν τὴν πόλιν. χαρᾶς τὰ εὐαγγέ-

λια. χαῖρε ἁγνὴ καὶ ἄμωμε. τοῦ Κόσμου ἡ προστασία χαῖρε Οὐράνιε Θρόνε.

Εἰς τοὺς Αἴνους, στιχηρὰ ἦχος δ΄. πρὸς τὸ, Ὡς γενναῖον ἐν Μάρτυσιν.

ΚΕκρυμμένον μυστήριον, καὶ Ἀγγέλοις ἀγνώριστον, Γαβριὴλ πιστευθεὶς ὁ Ἀρχάγγελος. καὶ ἐπὶ σὲ νῦν ἐλεύσεται, τὴν μόνην ἀκήρατον, καὶ καλὴν περιστεράν. καὶ τοῦ γένους ἀνάπλασιν, καὶ βοήσει σοι. Παναγία τὸ Χαῖρε, ἑτοιμάζου. διὰ λόγου Θεὸν Λόγον, σου ταῖς λαγόσιν εἰσδέξασθαι.

Φωτοφόρον παλάτιον, ἡτοιμάσθη σοι Δέσποτα, ἡ νηδὺς ἡ ἄχραντος τῆς Θεόπαιδος. δεῦρο πρὸς τοῦτο κατάβηθι, οἴκτειραι τὸ πλάσμα σου, φθονερῶς πολεμηθὲν, καὶ δουλείᾳ κρατούμενον, τοῦ ἀλάστορος. καὶ τὸ κάλλος τὸ πρῶτον ἀπολέσαν. καὶ τὴν σὴν σωτηριώδη, προσαναμένον κατάβασιν.

Γαβριὴλ ὁ Ἀρχάγγελος, ἐπὶ σὲ Παναμώμητε, ἐμφανῶς ἐλεύσεται, καὶ βοήσει σοι. χαῖρε κατάρας λυτήριον, πεσόντων ἀνόρθωσις, χαῖρε μόνη ἐκλεκτὴ τῷ Θεῷ χρηματίσασα, χαῖρε ἔμψυχε τοῦ Ἡλίου νεφέλη, ὑποδέχου τὸν ἀχώρητον ἐν μήτρᾳ, τῇ σῇ οἰκῆσαι θελήσαντα.

Δόξα, καὶ νῦν. ἦχος δ΄.

ΓΛῶσσαν ἣν οὐκ ἔγνω, ἤκουσεν ἡ Θεοτόκος. ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος, τοῦ εὐαγγελισμοῦ τὰ ῥήματα. ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν. διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι. ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεὸς, εἰρήνην τῷ Κόσμῳ δώρησαι. καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

BIBLIOTHECA NACIONAL DE LISBOA

Τέλος τοῦ Ἀκαθίστου Ὕμνου.

BIBLIOTHECA NACIONAL DE LISBOA

Inc. 1346